BRU
B y
ΑΡ 1558

ΙΩΣΗΦ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΒΡΥΕΝΝΙΟΥ

ΠΑΡΑΛΕΙΠΟΜΕΝΑ

ΕΦ ΟΙΣ ΚΑΙ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΝΟΒΟΓΡΟΔΙΑΣ
ΘΕΟΦΑΝΟΥΣ ΤΟΥ ΠΡΟΚΟΠΟΒΙΤΖ

ΙΣΤΟΡΙΑ

ΠΕΡΙ ΤΗΣ ΔΙΑΦΟΡΑΣ
ΤΗΣ
ΠΕΡΙ ΤΗΣ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ
ΕΚ ΤΗΣ ΛΑΤΙΝΩΝ ΦΩΝΗΣ ΕΞΕΛΛΗΝΙΣΘΕΙΣΑ
ΚΑΙ ΕΤΙ
ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΠΡΩΗΝ
ΣΛΑΒΗΝΙΟΥ ΤΕ ΚΑΙ ΧΕΡΣΩΝΟΣ ΚΥΡΙΟΥ
ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

ΑΝΑΚΡΙΣΙΣ

ΠΕΡΙ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ.

ΗΔΗ ΠΡΩΤΟΝ
ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΝΤΑ
ΕΠΙΜΕΛΕΙΑΤΕ ΚΑΙ ΔΑΠΑΝΗ
ΘΩΜΑ ΜΑΝΔΑΚΑΣΟΥ
ΙΑΤΡΟΥ ΤΟΥ ΕΚ ΠΟΛΕΩΣ ΚΑΣΤΟΡΙΑΣ.

ΤΟΜΟΣ Γ.

Ἐν Λειψίᾳ τῆς Σαξονίας
ἐν τῇ Τυπογραφίᾳ τοῦ Βρειτκόπφ.
Ἔτει ᾳψπδ'.


ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΤΟΙΣ

Ἁγιωτάτοις, Σοφωτάτοις, καὶ Θεοφιλεσάτοις, τῆς ἐν Ῥωσσίᾳ ἱερωτάτης καὶ ὑπερτίμιε Συνόδε, Μέλεσι: Τῷ τε Πανιερωτάτῳ, Σοφωτάτῳ, καὶ Ἐπιφανεσάτῳ Ἀρχιεπισκόπῳ ΝΟΒΟΓΡΟΔΙΑΣ τε καὶ ΠΕΤΡΟΥΠΟΛΕΩΣ, καὶ Ἀρχιμανδρίτῃ τῆς Ἱερᾶς καὶ Σεβασμίας Μονῆς τε Ἁγίε Ἀλεξάνδρε ΝΕΥΣΚΙ, ΚΥΡΙΩ ΚΥΡΙΩ ΓΑΒΡΙΗΛ. Καὶ τῷ Πανιερωτάτῳ, Σοφωτάτῳ, καὶ Ἐπιφανεσάτῳ Ἀρχιεπισκόπῳ ΜΟΣΧΟΒΙΑΣ τε καὶ ΚΑΛΟΥΓΑΣ, καὶ Ἀρχιμανδρίτῃ τῆς Ἱερᾶς καὶ Σεβασμίας Μονῆς τῆς Ἁγίας τριάδος, ΚΥΡΙΩ ΚΥΡΙΩ ΠΛΑΤΩΝΙ. Καὶ τῷ Πανιερωτάτῳ, Σοφωτάτῳ, καὶ Ἐπιφανεσάτῳ Ἀρχιεπισκόπῳ

ΠΛΕΣΚΟΒΙΑΣ τε καὶ ῾ΡΙΓΑΣ, ΚΥΡΙΩ ΚΥΡΙΩ ΙΝΝΟΚΕΝΤΙΩ. Καὶ τοῖς λοιποῖς ᾽Αγιωτάτοις, Σοφωτάτοις, καὶ ᾽Επιφανεσάτοις ᾽Ανδράσι, τοῖς ἐμοῖς μεγαλοπρεπέσιν Εὐεργέταις ἅπασιν, ὁπόσοι τῷ αὐτῷ Συνοδικῷ ἱερωτάτῳ καὶ ὑπερτίμῳ Συλλόγῳ τυγχάνεσιν ᾽Εναρίθμοι, τὴν μετ᾽ εὐλαβείας ὀφειλομένην προσκύνησιν. —

VIRI

VIRI EMINENTISSIMI

ATQVE

ILLVSTRISSIMI

DIVINA HVMANAQVE SAPIENTIA

CLARISSIMI

FAVTORES ET PATRONI MAXIME COLENDI.

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

Si grata et perpetua beneficiorum acceptorum recordatio adeo omni vitio caret, vt in virtutibus etiam numeretur: magis mihi timendum videtur, ne VOBIS pro

pro VESTRIS erga me beneficiis longo tempore poſt gratiam referens, lentus ac tardus, quam importunus et audax reperiar. Sed tarditatem meam, cum VESTRA indulgentia, VIRI SANCTISSIMI SVMMEQVE REVERENDI, tum officii mei memoria, quam adhuc indelebilem ſeruaui, excuſat. Quod enim nunc demum pro exiguis viribus meis gratum VOBIS me commonſtro, id ſatis, vt arbitror, declarat, antea quoque non tam voluntatem mihi, quam opportunitatem defuiſſe. Beneficium autem, quod VOBIS acceptum refero, quodque VOS pro VESTRA animi magnitudine dudum obliuioni tradidiſtis, in eo cernitur, quod me, gente Graecum,

cum, imperante ELISABETHA PETRI MAGNI Filia, in Rossiam delatum, iuuenem admodum benignissime excepistis, et in inclito Monasterii Sanctissimae Trinitatis Gymnasio liberalibus artibus ac disciplinis erudiendum curastis. Vehementer ergo laetor, me summo Dei beneficio tam diu vixisse, vsque dum mihi contigerit, VOBIS, VIRI EMINENTISSIMI, certe aliqua ex parte gratiam persoluere, καὶ τὰ τῶν λόγων θρέπτρα ἀποδοῦναι. Verum tamen, etiamsi nullo tali beneficio a VOBIS affectus essem, quorum tandem virorum examini et iudicio hunc Libellum, qui totus in rebus Ecclesiasticis explicandis versatur, ab homine Graeco

magis conueniebat commendari, quam VOBIS, quorum doctrina, vigilantia, auctoritate, prudentia, vitaeque ſanctitate et exemplo Orthodoxa Graeco-Roſſica Religio per ampliſſimum imperium Roſſicum latiſſime viget ac floret? Quin etiam ab ipſis horum libellorum auctoribus multum gratiae accedit, quae eos VOBIS acceptos reddere ac commendare poſſit. Nam IOSEPHI BRVENNII ſtrenui orthodoxae Fidei defenſoris opera, quae ſuperioribus annis EVGENII ſtudio duobus voluminibus comprehenſa prodierant, nunc eiusdem ſummi viri induſtria ex Moſquenſibus Bibliothecis VESTRIS notabiliter aucta ſunt, vt iam illius membra omnia

per

per varias Bibliothecas disiecta, in vnum corpus videantur coaluisse. Quid dicam de THEOPHANE PROCOPOWITZ, illo quondam, nescio vtrum dicam VESTRO, an Ecclesiae vniuersae, qui PETRO MAGNO imperante, Nouogrodensis Archiepiscopus, principem in sanctissimo collegio VESTRO locum obtinuit? Quid de Libello eius, quo Quaestionis illius πολυηρότε τε καὶ πολυταράχε Historiam, de Processione Spiritus Sancti subtili et eleganti oratione persecutus est? Eam nunc in hoc Libello, Graeco sermone explicatam inuenitis. Et a quo? ab EVGENIO VESTRO, Graecorum longe doctissimo, quem IPSI auctoritate CATHARINAE MAGNAE

Imperatricis Sapientissimae in Collegium Vestrum cooptastis, ac nouae dioeceſi SLAVINII et CHERSONIS praefeciſtis Archiepiſcopum. Acceſſit etiam eiusdem EVGENII opera, diſſertatio copioſa et docta, de NICEPHORI BLEMMYDAE mente et animo erga Religionis placita, Viri inter ſuae aetatis homines doctrina et pietate Clariſſimi, quem vtraque Eccleſia, Orientalis et Occidentalis, ſibi vindicat. Tandem etiam adiecta eſt DOSITHEI olim Patriarchae Hieroſolymitani opinio de Fide BLEMMYDAE, quam idem EVGENIVS ex iſtius Hiſtoria de Patriarchis Hieroſolymitanis, opere ampliſſimo, repetiit. Qua in re, magna cum voluptate

te agnoui *EVGENII*, eminentissimi *Viri*, dudum perspectam integritatem, animumque ab omni partium studio liberum, qui *DOSITHEI* opinionem, suae sententiae contrariam, non solum non reticendam, sed diuulgandam etiam censuit. Si ergo partim pietate et officio, partim ipsius libri argumento, partim etiam auctorum celebritate motus sum, vt hunc Libellum *VOBIS* offerre auderem, a *VESTRA* humanitate facile me veniam impetraturum spero, si mihi, vt Editori, acciderit, vt meum iudicium in *EVGENII* autographo, cuius industriae et doctrinae totus hic Libellus debetur, aestimando aberraret. Servet *VOS* Deus omnipotens per longam

seriem

seriem annorum in vsum Ecclesiae Patriaeque saluos et incolumes: Seruet quoque VOS Patronos et Fautores mihi

VIRI EMINENTISSIMI
ET ILLVSTRISSIMI
VENERANDIS NOMINIBVS VESTRIS

LIPSIAE,
a. d. VI. Idus Mart.
A. C. CIↃIↃCCLXXXIIII.

EX ANIMI SENTENTIA DEVOTVS
THOMAS MANDACASIS
CASTORIANVS, MACEDO.
MEDICVS.

ETTE-



ΕΥΓΕΝΙΟΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΠΡΩΗΝ

ΣΛΑΒΗΝΙΟΥ ΤΕ ΚΑΙ ΧΕΡΣΩΝΟΣ

ΤΟΙΣ

ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

Πρὸς τοῖς ἄλλοις, πολλοῖς τε δὴ τούτοις, καὶ πολλῷ ἀξίοις Κώδιξι Χειρογράφοις, οἷς, ἡ τῆς Ἱερᾶς Ῥωσσιακῆς Συνόδου ἐν Μοχοβίᾳ τῇ Αὐτοκρατορικῇ Πόλει διασωζομένη Βιβλιοθήκη πλουτεῖ, ἀπόκειται καὶ ὁ διάφορα περιέχων, τῶν ἹΩΣΗΦ τοῦ ΒΡΥΕΝΝΙΟΥ φιλοπονήματα. Ὁ δὲ Κώδιξ, καταλέλεκται μὲν, τῶν ἐκεῖ, ἐννενηκοστὸς ἕβδομος ἐπὶ τῷ διακοσιοστῷ ἀριθμούμενος·

μενος· κεχάραντα δὲ ἐν χάρτῃ τῷ κοινοτέρῳ· ἀπήρτισα δ' ἐν Φύλλοις διακοσίοις καὶ ἐννέα πρὸς τοῖς ἑξήκοντα· Φέρει δ' ἐνσεσημασμένον καὶ τὄνομα τὸ περὶ τὴν ἀ-
„ πογραφὴν ἐκπονήσαντος, ὅτως „ΙΩΑ-
„ ΚΕΙΜ ΕΥΤΕΛΟΥΣ ΜΟΝΑΧΟΥ,
„ ΚΑΙ ΞΕΝΟΥ ΠΑΣΗΣ ΑΡΕΤΗΣ,
„ ΠΟΝΟΣ. ΤΕΛΟΣ ΑΓΑΘΩΝ ΧΡΙ-
„ ΣΤΕ ΧΑΡΙΣΑΙ ΤΗ ΨΥΧΗΜΟΥ.
Ἔοικε δ' ἀπογεγράφθαι κατὰ τὴν ΙΓ'. Ἑκατονταετηρίδα τῶν ἀπὸ Χριστοῦ Σωτῆρος ἐνιαυτῶν, ᾗ καὶ Χριστιανῷ Φριδερίκῳ Ματθαίᾳ δοκεῖ, Ἀνδρὶ τῶν ἐπὶ λόγοις ἐν ἀσήμων· τῷ μεθ' ὅσης πλείστης σπουδῆς καὶ ἐπιμελείας, τὰς εἰρημένας Κώδικας ἀναδιφῶντι, καὶ τὸν ἐν αὐτοῖς ἐναποκρυπτόμενον πλοῦτον, ἐπὶ κοινῇ ὠφελείᾳ, τοῖς Φιλολογοῦσι δημοσιεύοντι.

Τούτῳ ἐγὼ τῷ Κώδικι περιτυγὼν, ἐν ᾧ κατὰ τὸ ἄψος. ἐν ἐκείνῃ τῇ Μεγαλοπόλει διατρίβων ἐτύγχανον, Ἑρμαίῳ ἄντικρυς ἔδοξα κατ' εὐκληρίαν περιτυχεῖν· Ἐλπὶς γάρ τις αὐτίκα με ὑπέσανεν ἀσμενῆ, διελθόντα τὸ Βιβλίον, εἰς τὴν τοῦ πόθου πλήρωσιν ἥξειν, ὃ πάλαι ὤδινον. Ἀμέλειαι ἐν αὐτῷ ἐδόκουν ἂν εὑρήσειν

σειν τι περιτλὸν, ὃ τοῖς ἐνδοθῆναι φθάσασι τᾷ ΒΡΥΕΝΝΙΟΥ μελετήμασιν, ἐν ἐπιθήκης μοίρᾳ παρασυναφθὲν, πληρεσέραν ἡμῖν ἀποδώσει τὴν ἐν Ἔτει ἀψεύδη. τῶν ἐκείνᾳ Συγγραμμάτων προκύψασαν ἔνδοσιν. Ἐμὲ γὰρ ἤδη καὶ πρότερον ἐνῆγεν ἔτως ἐλπίζειν, ἁπάντων μονονεχὶ τῶν, ὅσα τε ἐν χερσὶν ἦκεν, Ἀπογράφων ἄλλοτε ἄλλων· καὶ μὲν δὴ, καὶ ὅσοι τὰ τᾷ Ἀνδρὸς τάτᾳ Σπαδάσματα εἰς τόδε ἀνεβάλοντο ἡμῖν καταλέξαθαι, τὸ παρημελημένον, καὶ ἤνιξα σύμφωνον. Τῶν μὲν γὰρ πλείονα προφερόντων, ἢ ἰσορρέντων· τῶν δὲ ἐλάσσονα· ἄλλως δὲ, καὶ Λόγων τινῶν τᾷ ΒΡΥΕΝΝΙΟΥ ἐν αὐτοῖς ἀπομνημονευομένων, ἄχρι τῆς ἐπιγραφῆς μόνης, ἢ καὶ τῆς καταρχῆς τὸ πλέον, ἐν πρώταις λέξεσι· τίς ἂν ἀπ' ἐλπίδος εἶναι ἔθετο, τὴν τῶν ἔτι πᾳ ἐπηλυγαζομένων, ἤτοι πάντων, ἢ καὶ ἐνίων τᾷ αὐτᾷ Συγγραφέως πόνων ἀνεύρεσίν τε καὶ ἀνακάλυψιν; Εἰ γὰρ τὸν μὲν ταῦτ' ἔλαθε, τὸν δ' ἐκεῖνα, ἧπερ ἑκάτῳ δηλονότι τελεωτέρας τυχεῖν, ἢ ἀτελεσέρας τῆς Συλλογῆς ἐξεγένετο· εἰκὸς δήπᾳ τινὰ περιεῖναι καὶ ἄλλα, τὰ λελησθότα ἐπίσης ἐκείνᾳς ἅπαντας, ὧν

ἄντις

ἄντις μέρος γῆν, ἐμὴ πάντα, ἐκ τῆ βυθῆ τῆς λήθης ὕστερόν ποθεν ἀνελκύσειεν.

Ἀλλὰ γὰρ ἔμοιγε πρὸς τοῖς εἰρημένοις, καὶ μᾶλλον ἔτι ἐπερρώνυε τὴν ἐλπίδα τὸ ἐφεξῆς Ἀποσπασμάτιον· τὸ παρ' Ἀνδρὸς ἀρίστ(1) καὶ ἐκ ἐν δευτέρῳ τὰ τῆς Φιλολογίας τιθεμένε, ἐκ παλαιῆ τινος Χειρογράφε ἀναλεχθὲν, καὶ ἡμῖν κοινολογηθέν· Ὅπερ, ὡς ὑστερῆσαν τῆς τῶν δύο

(1) Εἷς ἦτος τῶν ἐν Κωνσταντινοπόλει Εὐπατριδῶν, Νικόλαος ὁ Σκαρλάτε Καρανζᾶς, ὁ τὴν περικοπὴν ἡμῖν ταύτην ἐπιστείλας· „ἣν αὐτὸς καὶ ἀπογεγραφέναι, φησὶν, εὑρηκὼς ἐν Συμμίκτῳ Χειρογράφῳ Βιβλίῳ, τῆ πρώην Τορνόβε Μητροπολίτε, καὶ Ἀναχωρητῆ Ἰωσὴφ τῆ ἐξ Ἰωαννίνων, καὶ μονάσαντος ἐν τῇ Λαύρα τῆ Ἁγίε Ἀθανασίε τῆ Ἀθωνίτε. Συναποστείλας ἅμα τῷδε τῷ Ἀποσπάσματι, καὶ τέσσαρα Ἐπιγράμματα. Δύο μὲν τετράστιχα Ἰαμβικά. Τὸ μὲν, εἰς ΒΡΥΕΝΝΙΟΝ τὸν Συγγραφέα· τὸ δὲ, πρὸς τὰς Ἀναγινώσκοντας. Οὓς σίχας παλαιὰς, ὁ ῥηθεὶς Νικόλαος ὀνομάζει· δύο δὲ ἕτερα, ἃ καὶ ἐπιγράφει Μεταγενέστερα, ἐν Ἰσαρίθμοις σίχοις καὶ τούτων ἑκάτερον· Τὸ μὲν, εἰς τὸν Συγγράψαντα παραπλησίως, τὸ δὲ εἰς τὴν μέλλουσαν τὸ τηνικαῦτα προκύψειν ἔκδοσιν. Ἡρωελεγεῖα μὲν ταῦτα εἶναι θέλοντα, ἢ δοκεῖ· ἀδὲν δ', ἐπιεικῶς εἰπεῖν, ὅ, τι καὶ ἄξιον, ὧδε ἀναγραφῆναι τυγχάνοντα. Διὸ καὶ ταῦτα παριδόντες, τὰ δύο ἐκεῖνα τὰ παλαιότερα κατωτέρω ὑποθήσομεν· μετὰ καὶ ἑτέρων τινῶν Ἰαμβείων, ὧν ἐν τῷ Ῥωσσιακῷ Κώδικι γεγραμμένων εὕρομεν.

δύο προτέρων τῦ ΒΡΥΕΝΝΙΟΥ Τόμων ἐκτυπώσεως, μὴ φθάσας τότε ἐνδῦναι, ἐκών σοι ὧδε, Ὦ ΦΙΛΤΑΤΕ ΑΝΑΓΝΩΣΤΑ νυνὶ παραδήσομαι. „Οὗτος " ὁ τῶν Διδασκάλων Διδάσκαλος (τὸν " ΒΡΥΕΝΝΙΟΝ ἔτως ἐπικλείζει, ὡς, ἐξ " ἓ τῶν Διδασκαλικῶν λαγόνων, καθάπερ " ἐκ τῦ Τρωϊκῦ, φασὶν, ἵππυ· Πολ- " λοὶ ἐξεύρησαν Ἄνδρες ἐπίσημοι, ἐς ἀκρό- " τητα παιδείας ἐλάσαντες·) συνεγράψα- " το εἰς Φιλοσοφίαν, καὶ Θεολογίαν, ὅθεν " Βιβλία πολλὰ, πολλαχῦ νῦν εὑρι- " σκόμενα. Ἡρμήνευσε δὲ, καὶ ἀπὸ τῆς " Λατίνων σοφίας καὶ γλώττης εἰς τὴν " Ἑλληνικὴν πολλὰ Βιβλία. Ῥητορικὰς " δὲ λόγυς ἐν πᾶσιν ἕδεσιν ἀναριθμήτυς " σχεδὸν, καὶ διαφόρυς ἰδέας· καὶ περὶ " Γραμματικῆς πολλὰ συνετάξατο· πολλὰς " δὲ σοφωτάτυς ἐν πᾶσιν ἐποίησε Μαθη- " τὰς ἐν ἑκατέρᾳ τῇ γλώττῃ· ὧν βραχεῖς " καὶ ὧδε, καὶ ἐν Ἰταλίᾳ σώζονται. (Πάρε- " στι δὲ ἄρα σημεῖον ἐντεῦθεν, ὡς, ὁ ταῦ- " τα ἡμῖν περὶ Βρυεννίυ καθιςορῶν, ὀ πολὺ ὕςερον τῶν ἐκείνυ χρόνων γενέσθαι ἔοικεν·) οἱ δὲ πάντες σχεδὸν, οἱ μὲν, " πρὸ τῆς ἁλώσεως, οἱ δὲ, ἐπὶ τῇ ἁλώσει " τῆς Πατρίδος· (ὥςε καὶ Κωνσαντινυπο- "

λίτης ἦν, ὁ ταῦτα μαρτυρῶν·) οἱ δὲ, „ μετ' αὐτὴν τεθνήκασιν. Οὐ μισθὸ τοῦτο „ ποιῶν, ἀλλὰ καὶ οἴκοθεν αὐτοῖς πολλὰ „ φιλοτιμούμενος· καὶ ἐκ Βασιλέων σιτη- „ ρέσια (*) αὐτὸς τάτλων, ἵνα δύναιντο „ Σοφίας ἐπιμελεῖσθαι ἀπερισπάστως· καὶ „ τὸ σύμπαν εἰπεῖν, ὥσπερ Πατὴρ κοινὸς „ ἐν πᾶσι τῆς πόλεως ἐχρημάτισε. Πολ- „ λὰ δὲ καὶ ὑπὲρ τῆς πίστεως ἠγωνίσατο· „ Πολλὰ δὲ προεῖπε, καὶ συνεβούλευσεν „ αὐτοῖς πρὸ τῶν δεινῶν. Καὶ ἦν Διδάσκα- „ λος τῆς Ἱερᾶς τῶν Χριστιανῶν Θεολογίας, „ διδάσκων ἐν τῷ Τριπλίνῳ τοῦ Παλατίου, „ ἐπὶ Βασιλέως Μανουὴλ, καὶ τῆς Συγ- „ κλήτου, καὶ τῆς Ἐκκλησίας, καὶ τῆς „ Πόλεως παρούσης καὶ ἀκροωμένης· καὶ „ Διδάσκαλος τῶν Ἐπισημῶν ἐκ Βασιλέως „ κεχειροτονημένος.

Τοσαῦτα τοίνυν ἐν παντοίοις εἴδεσι, καὶ ὑπὲρ ἀριθμὸν (ὡς εἴρηται) τοῦ ΒΡΥΕΝΝΙΟΥ συντεταχότος, ὃν ἦν ἐκ τῆς παρατεθείσης μαρτυρίας μαθόντας, ἀνέλπιστον τὴν φθάσασαν προεκδοθῆναι τῶν ἐκείνου Φιλοπονημάτων οἴεσθαι Συλλογήν. Παρῆν δὲ δήπου τοσοῦτον κρίνειν ἐν αὐτῇ τὸ ἐνδέον, ὅσον καὶ ὐδὲ νῦν ὁπότε τὰ ἀρ-

τίως

τίως εὑρεθέντα ἐπὶ τοῖς προτέροις ἐκείνοις προσίθεται, αὐξήσεως αὐτὴν τῆς ἔτι περαιτέρω ἡγούμεθα ἀνεπίδεκτον. Ἀλλὰ γὰρ, ἔτι καὶ ἄλλο ἀναλύσει τῶν ἐκείνῳ ἐκ περισσίας ὁ ἐς ὕστερον χρόνος, ὃν ἐπιλείψουσι πάντως ἐν τοῖς Φιλολογοῦσιν, οἱ μεθ' ἡμᾶς οἷα βλωμοὶ, ἢ ψιχία· ἢ, ἄλλως φάναι, ἀπὸ πλουσίας τῆς ἐσιάσεως λείψανα ἄτλα, ὡς ἥδιστα ἐπαναλεξόμενοι. Ἡμεῖς δὲ ἤδη καὶ αὐτοὶ, ἱκανῶς τοῖς Φιλοβρυεννίοις δουλεύσαντες ἀφοσιώσασθαι, ἐπὶ τοῖς πρὸ τούτων καὶ ταῦτα ἐς φῶς προβαλέσθαι σπουδάσαντες. Καὶ γὰρ, οὐδὲ λιτήν τινα τῷ ὄντι, καὶ πάντῃ πενιχρὰν ἡμῖν τὴν Συναχυολογίαν ὁ Ῥωσσιακὸς Κώδιξ παρεχορήγησε· πλήρη δ' ἐπαμήσασθαι ἐνέδωκεν ἐπιδαψιλευσάμενος δράγματα, καὶ ὅλας ἀμάλλας. Διὸ δὴ τὸν καλὸν τοῦτον ἄμητον εὐτυχήσαντας, ἐδέησεν ἡμᾶς καὶ Τρίτον τόδε Τεῦχος ἐπὶ τοῖς δυσὶ προτέροις ἐπιμελὲς θέσθαι διὰ τῆς Τυπογραφίας ἐκδοθῆναι, τὸ ἡμέτερον περιέχον ΙΩΣΗΦ τὰ ΠΑΡΑΛΕΙΠΟΜΕΝΑ. Ἐχρῆν γὰρ, ὡς ἥκιστα μὲν τὰς Ἀποθήκας καθελεῖν τὰς προϋφεσώσας, κατὰ τὸν ἐν τῇ Παραβολῇ ἄφρονα· ἐκείνας δὲ κατὰ χώραν

μένειν ἐάσαντας, ὥσπερ ἔχουσι, καλῶς ἐχόσας, ἑτέραν ἐπ' αὐτοῖς ἐν μέρει προσεποικοδομῆσαι πειράσασθαι, τὸν σιτοδοτήσαντα Αἴγυπτον Ἰωσὴφ ἐζηλωκότας, καὶ ἐπὶ ταῖς Πυραμίσι Πυραμίδα ἄλλην ἐπανεγείραντας, ἐν ᾗπερ ἂν ἐναποτεθείη καὶ τὸ λοιπὸν τῷ καρπῷ, ὁπόσον ἔβρυσεν ἡμῖν εὐφορῆσαν τὸ ΙΩΣΗΦ τῷ ΒΡΥΕΝΝΙΟΥ γεώργιον.

Τοιγαροῦν καὶ ἔχεις παρ' ἡμῶν ἐκ τῆς συγκομιδῆς ταύτης, Ὦ ΦΙΛΕ ΑΝΑΓΝΩΣΤΑ, καὶ τόδε τὸ ἐν χερσὶ τρίτον Τεῦχος· Ἐν ᾧ σοι Α'. περιέχεται τὸ εἰς τὴν Γέννησιν τῆς Θεοτόκου Ὑπόμνημα. Β'ον. καὶ Λόγος ἕτερος εἰς τὴν αὐτὴν Ἑορτὴν τῆς Θεομήτορος. Γ'ον. Ὁμιλία ῥηθεῖσα εἰς τὴν Σταύρωσιν τοῦ Κυρίου, ἐν Κεφαλαίοις τισὶ διηρημένη· ἥτις ἡ αὐτὴ χεδὸν ἐστὶ τὸ πλεῖσον μέρος, τῇ προεκδοθείσῃ, ἐν τῷ Δευτέρῳ τῶν εἰς τὴν Σταύρωσιν Λόγῳ· (Τόμ. Β'. Σελ. 161.). Διὸ ἁδὲ παρατίθεται αὕτη ὁλοχερὴς ἐπὶ τοῦ παρόντος· μόνα δὲ Προοίμιά τινα τὰ ἐν αὐτῇ, ὡς ἐν μέρει ταῦτα τῶν ἀναγινωσκομένων ἐκεῖ διαφέροντα. Δ'ον. Λόγος Πανηγυρικὸς εἰς τὴν Λαμπρὰν Κυριακήν. Ε'ον. Λόγος

γος εἰς τὴν Μεταμόρφωσιν· καὶ περὶ τῦ ἐν τῷ Θαβωρίῳ φωτός· ἔνθα ταῖς αὐταῖς ὁ Συγγραφεὺς προσεχρήσατο μαρτυρίαις, ὧν ἔχε τὴν χρῆσιν καὶν τῷ περὶ τῆς Θείας ἐνεργείας Λόγῳ ὃν ἐν τῷ Τρικλίνῳ τῦ Παλατίυ περὶ τῆς αὐτῆς ὑποθέσεως ἐμελέτησεν. (Ὅρα ἐν τῷ Β΄. Τόμ. ἀπὸ Σελ. 120 --- 140.) Καὶ ἔτος ἦν ἄρα, ὃν ἂν ἀπεικότως Οὐάρτων (ἐν ταῖς εἰς τὰ Καβέυ, περὶ τῶν Ἐκκλησ. Συγγραφ. Προοιμίοις·) ἐκείνυ διάφορον ἡγεῖτο· περὶ ἃ ἡμεῖς (ἐν τῷ ἐπὶ τῦ Α΄. Τόμ. προλόγῳ τοῖς Ἐντευξομ.) ἀγνοεῖν ἐλέγομεν, πόθεν ἆρ' ἂν ἔχοι Οὐάρτων λαβών; Τῷ γὰρ ὄντι, καὶν μὴ ἁπλῶς, ἀλλ' ἔστιν ὅπη ἐπ' ἂν ὀλίγοις, ὁ Λόγος ἔτος ἐκείνυ ἐναντία διάφορος, εἴτις παραθέσθαι μὴ κατοκνήσειεν. Ε΄ου. Λόγος πρόσκειται καὶ ὁ πρὸς Κρῆτας Ἐξιτήριος. Ζ΄ου. Μετὰ τὸς καταλεχθέντας Λόγυς, ἔπεται Πραγματεία τις Ποικίλη καὶ Σύμμικτος, ἐν Κεφαλαίοις ἐκπεραινομένη (ὡς αὐτὸς ἐπέγραψεν.) Ἑπτάκις ἑπτά. Ἐν οἷς περὶ διαφόρων διείληφεν· ὧν ἕνια καὶν τοῖς προεκδοθεῖσι τεμμάχια, ὧδε καὶκεῖσε παρενέσπαρται· ὥςε εἰκάζειν εἶναι, τὰ Συμμίγματα ταῦτα, τὸν Βρυέννιον, ἤτοι

καθ' ἑαυτὸν χολῇ χρησάμενον μελετῆσαί τε καὶ χεδιάσαι· ἢ καὶ παρ' ἄλλων τὰς ἀφορμὰς παρεχηκότων ἐνθέσθαι· ὡς ἂν ἐξ αὐτῶν, ὡς ἐκ τόπων τινῶν προαποκειμένων, ῥᾳδίως ἔχειν ἐπιχειρήματα πορίζεσθαι, ὅποι παρείκοι, πρὸς τὸν σκοπὸν τείνοντα, ἔπότε αὐτῷ δεήσειεν ἐξ ὑπογυίου εἰπεῖν, ἢ καὶ ἄλλως σωτεταγμένον ἐκκλησιάσασθαι. Ὅπερ αὐτὸν καὶ πεποιηκέναι, ὅτε παρέσχε, ἐν αὐτοῖς ἐκείνοις τοῖς Κεφαλαίοις, ἡμῖν παρασεσημείωται. Η'. Ἐπὶ πᾶσιν, αἱ τῦ ΒΡΥΕΝΝΙΟΥ Ἐπισολαὶ τλὼ Συλλογλὼ ἡμῖν ταύτλω κατασφραγίζεσιν, ἃς τὸν ἀριθμὸν πέντε πρὸς εἴκοσι πρὸς διαφόρες γραφείσας, ὁ Κώδιξ διέσωσεν· ὧν ἑκάσης καὶ ἡ ἐπιγραφὴ ἰδίᾳ, ἐν τῷ ἐφεξῆς Ἐλέγχῳ παρατεθείσεται.

Ἃ μὲν ἂν ἡμῖν ἐκ τῦ ἐρημένε Κώδικος παρεῖν ἀναλέξαθαι, καὶ τύποις ἐνδῦναι, ταῦτα λῶ· Ἐπεὶ δ' ἐκ ἀποχρήσειν ἐδόκει μόνα αὐτὰ, εἰς ὁλοχερῆς Τύχες συμπλήρωσιν, μὴ πάνυ τῶν προτέρων δύο τῷ μεγέθει διοίσοντος· Τέτε δὴ χάριν ἐκ ἀσωτελὲς ἡγησάμεθα, δισσὰ ἔτι ἐπὶ τέτοις παρασωιάψαι ὧδε Συγγραμμάτια,

τια, ἂν ἀπροσφυῆ ταῦτα τῷ σκοπῷ δ' ἀσύμφυλα, ἅτε δὴ περὶ τὸ αὐτὸ στάδιον πολλάντα, ἐν ᾧ ΒΡΥΕΝΝΙΟΣ συχνὰ παρῆλθε τὰς ἀγῶνας τὰς ἑαυτῷ ἐνσησάμενος. Τούτων δὲ, τὸ μὲν ἐστὶν, Ἱστορικήτις Ἀφήγησις, ἣν ὁ περικλεὴς Νοβογροδίας Ἀρχιεπίσκοπος Θεοφάνης ὁ Προκοπόβιτζ (2) ἐξέθετο· τὰ ἀπὸ τῆς Διαφορᾶς ἀρξαμένης κινεῖσθαι, καὶ διὰ πολλῶν προϊούσης δραματουργημάτων, ἄχρι τέλους διεξιὼν, περὶ τὸ πολύκροτον καὶ πολυτάραχον Ζήτημα, τὸ περὶ τῆς

(2) Οὗτος ἐκ Κιοίβε ὥρμητο. Ἐτ. 1681. γεννηθεὶς ἔνθα τὰ πρῶτα τῶν Ἐγκυκλίων στοιχειωθεὶς, ἐπ' Ἰταλίας ἔπειτα ἀπῆρε· Τοῖς ἐκεῖ δὲ παιδευτηρίοις ἐνδιατρίψας, καὶ ἰδίᾳ ἐν Ῥώμῃ, βαθύν τινα τὸν τῆς Σοφίας πλοῦτον συνέλεγεν· ἐπανιὼν δ' ἐπὶ τὴν ἐνεγκαμένην, τοῖς ὁμογενέσι διὰ τῆς Διδασκαλίας, πολλῆς κατέστη ὠφελείας παραίτιος. Διὸ καὶ ὑπὸ Πέτρε τε Μεγάλε τῶν Ῥωσσιῶν Αὐτοκράτορος, εὐνοίας τε ἠξίωται καὶ προνοίας Βασιλικῆς, καὶ ἐπὶ τὸν Ἀρχιερατικὸν ἀρθεὶς θρόνον, προήχθη τέως καὶ Νοβογροδίας Ἀρχιεπίσκοπος, καὶ ἐπὶ τῆς Ἱερᾶς ἐν Ῥωσσίᾳ Συνόδε διοικήτωρ κατέστη καὶ πρόεδρος. Μετήλλαξε δὲ τὸ ζῆν, κατὰ τὸ 1736. ἔτος ἄγων τῆς ἡλικίας αὐτῷ πέμπτον ἐπὶ τῷ πεντηκοστῷ· πολὺ καταλιπὼν ἑαυτῷ τὸ κλέος, ἐξ ὧν τε διεπράξατο, καὶ ἐξ ὧν συνέγραψε Φιλοσοφικῶν τε καὶ Θεολογικῶν, καὶ ἄλλων· ὧν τὰ μὲν τύποις ἐξεδόθη, τὰ δὲ, ἐν ταῖς κατὰ Ῥωσσίαν Βιβλιοθήκαις, χειρόγραφα διασώζεται.

Ἐκπορεύσεως τ̃ ἁγίου Πνεύματος· ἥτις δὴ Ἱσορία Λατινιστὶ μὲν συγγέγραπται ὑπ' ἐκείνου, ἐξελληνισθεῖσα δὲ ὧδε παρατέθη τοῖς, ὅσοι τῶν ἡμετέρων τ̃ Λατίνων φωνῆς εἰσὶν ἀδίδακτοι. Καλὸν δὲ, καὶ ὡς λίαν ὀνησιφόρον, ἐπὶ παντὸς μὲν ζητήματος, ἄνωθεν πολυπραγμονεῖν, ὅθεν τε λαβὸν αὐτὸ τὰς ἀφορμὰς ἐκινήθη, καὶ ὑφ' ὅτου δὴ πρῶτον, καὶ ὅτου χάριν, καὶ ὅπως ἐξ ἀρχῆς προβὰν ἄχρι πόρρω προήχθη, καὶ ἐφ' ὃ τέρμα τέως κατέληξεν· Ἐπὶ παντὸς μὲν ἄν, ἐπὶ δὲ τ̃ περὶ ἃ ἡμῖν ὁ λόγος, τοσούτῳ μᾶλλον ἡ τῶν εἰρημένων πρᾶγμα ἂν γένοιτο παρατήρησις καὶ ἐπισασία, ὅσῳ καὶ αὐτὸν, οἶμαι, μόνον τὸν τρόπον τ̃ ἐφόδου τε καὶ προόδου τῶν ἐν αὐτῷ κατὰ διαφόρους καιροὺς τραπ]αϊωθέντων καὶ ἐπιχειρισθέντων, μέγα τι καὶ λαμπρὸν τὸ φῶς ἐπιχέειν, τοῖς μὴ τὸ παράπαν τὰς τ̃ διανοίας ὄψεις πεπηρωμένοις, ἀπαθῶς δὲ καὶ ἀπρολήπ]ως κρίνειν δυναμένοις, πρὸς ὁπότερον δὴ τῶν διαφερομένων μερῶν τὰ τ̃ πλάσιγγος νένευκεν.

Τὸ δὲ ἕτερον Συγγραμμάτιον, Ἀνάκρισίν τινα ἐσὶ περιέχον, περὶ Νικηφόρου τ̃

τῦ Βλεμμίδυ· Ἀνδρὸς δήπυ, τὰ μὲν ἄλλα, χρηςῦ καὶ ἀγενν ῦς· τῦτον δ' ἔμπης ἀναπόνιπλον ἑαυτῷ τὸν μῶμον προςρίψαντος, καὶ βαρείᾳ διὰ τῦτο τῇ δίκῃ ἐνιχημένυ, ὅτι πέρα, ἧ δοκεῖ, τῦ δέοντος ἐφ' ἑαυτῷ πεποιθὼς, οἷος αὐτὸς εἶναι καὶ ὁροθετῆσαι ὑπέληφε τοῖς ἀντιφθεγγομένοις ἐπὶ τῦ ἐκμελῦς καὶ ἀναρμόςυ μέλυς τὸ σύμφωνον. Διὸ δὴ καὶ θρασύτερον παρελθὼν εἰς τὸ μέσον, ὡς δῆθεν εὐπετῶς τὰς διαλύσεις τοῖς ἐν ἀντιπαρατάξει πραγματευσόμενος, πρὸς τῷ μηδέν τι καὶ δωηθῶναι ἀνῦσαι, δεόντως ὤφλε καὶ γέλωτα· μᾶλλον δὲ καὶ δακρύων ἐφάνη ἄξιος. Μεσότητας γὰρ, ὃν οἶδ' ἅς τινας, μάτην θηρεύων ἀσυςάτυς, ἀφ' ἧς ἔχεθαι δοκεῖν ἐβάλετο μεσότητος τῆς ἀληθείας, ἐξέκλινε· καὶ ὄρνεα διώκων πτερωτὰ, τὸ τῆς παροιμίας, εἰς ἀνοδίας τε καὶ ἐρημυὰς ἀθλίως παραῤῥυεὶς περιπέπτωκεν.

Ἀλλὰ περὶ τύτυ, ἐν αὐτῇ τῇ Ἀναιρίσει πάρεσι μαθεῖν, ἃ δικαίως Βλεμμίδης τὸν τῦ λειποταξίυ ἀπωθέγκατο ἔλεγχον. Σὺ δέμοι, ΦΙΛΕ ΑΝΑΓΝΩΣΤΑ, εὐμενῶς καὶ εὐγνωμόνως ἅμα ἀπε-

δεξάμενος καὶ τόδε τὸ ὁποιονδῆν ἡμῶν σπέδασμα, εἴης γε διὰ βίϐ μένων ἀκλινὴς καὶ ἑδραῖος ἐπὶ τῆς Ὀρθοδόξϐ Ὁμολογίας, ἧς παρὰ τῶν Πατέρων κεκλήρωσαι, τῇ τϐ Θεϐ χάριτι σηριζόμενος.

Ταῦτα ἔγραφον Ἔτει ͵ασπ β.
Φευρ*. ιέ.

Οὐκ ἀποσκοπῶ ἔδοξε καμοὶ τῷ τὴν Βίβλον ταύτην ἐκδόντι, Ἀναγνῶσα φίλτατε, καὶ τὴν ὑπὲρ τϐ Βλεμμίδϐ ἀπολογίαν, ἥπερ ἐν τῷ τέλει τῆς Ἀνακρίσεως ἀπαντήσεις, ἐνταῦθα σοι προϋποδηλῶσαι. Καὶ ταύτην μὲν αὐτὸς ὁ τὴν Ἀνάκρισιν ξυγγράψας ἐξ ἐκείνης τῆς διεξοδικῆς τῶν ἐν Ἱεροσολύμοις Πατριαρχϐσάντων ἱστορίας εἰλικρινῶς ἀναλεξάμενος, τῷ τέλει τῆς Ἀνακρίσεως αὐτολεξεὶ προσέθηκεν, ἐναντίαν καίτοι ἔσαν τῇ, ἥν περ αὐτὸς ἔχων τυγχάνει περὶ τϐ Βλεμμίδϐ, δόξῃ· παρεὶς ἑκάστῳ τῶν ἐντϐξομένων τόγε πιθανώτερον οἶ δοκεῖν περὶ τϐ Βλεμμίδϐ φρονεῖν. Ὁ γάρ τοι σοφώτατος, καὶ Φερώνυμος τῷ ὄντι ΕΥΓΕΝΙΟΣ φίλος ὢν τϐ ἀληθϐς (ἔπερ ἐδὲν τιμιώτερον γένοιτ' ἂν τοῖς γε νῶν ἔχουσιν) ἐχ ἕτω τὴν ἑαυτῷ ἐναγκαλίζεται δόξαν, ὥσε πάντη ἀδιά-

ἀδιάψευδον ἡγεῖσθαι, ἀλλ' ἑτέροις ἐκείνην ἐξετάζειν ἀκριβῶς καὶ κρίνειν ἀπαθῶς ἐπιτρέπει. Πᾶς δὲ σοφὸς καὶ δίκαιος κριτὴς τὰς μὲν τῶν ἄλλων σοφῶν δόξας ἐκ τῶν οἰκείων λόγων τε καὶ συγγραμμάτων ὀρθῶς κρίνειν δύναται, τὴν δὲ περὶ τὰ θεῖα δυσέβειαν αὐτῶν καὶ πίσιν ἐκ τοῦ περὶ τὸ ζῆν τέλος πέφυκεν ἀσφαλῶς διαγινώσκειν. Ὅτι δὲ Βλεμμίδης ἀγαθὸν τοῦ κατ' αὐτὸν βίου τέλος ἔσχεν ἐπιμείνας τῷ πατρίῳ δόγματι, πάντες οἱ σοφοὶ καὶ δίκαιοι κριταὶ συνῳδὰ τῷ σοφωτάτῳ ΕΥΓΕΝΙΩ ἀδιστάκτως ὁμολογοῦσιν. Σοφώτατος δὲ ὢν ὁ Βλεμμίδης ἀνὴρ καὶ τῶν θείων γραφῶν ἐμπειρότατος οἷος εἶναι εἷς αὐτὸς ὑπείληφε τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ τὴν ἀντίδοξον ἑνῶσαι, καὶ ἐπὶ λόγοις μέγα φρονῶν ἐπεχείρισε συμβιβᾶσαι τὰ πάντη δὴ ἀσύμβατα· ᾗ διεπράξατο μὲν οὐδέν, ἀφορμὴν δὲ παρέσχε τοῖς τῶν ὀρθοδόξων σοφοῖς εἰκότως ὑπονοεῖν, ἐκεῖνα τὰ περιφερόμενα δύω συγγράμματα, τὰ συγκροτεῖν δοκοῦντα τῷ λατινικῷ δόγματι, γνήσια εἶναι τοῦ αὐτοῦ Βλεμμίδου γεννήματα. Ἅπερ καὶ ὁ Μακαριώτατος, καὶ Σοφώτατος τῶν Ἱεροσολύμων Πατριάρχης Δοσίθεος, ἐν τῇ κατ' αὐτὸν ὑπὲρ τοῦ Βλεμμίδου ἀπολογίᾳ, μὴ ἔχων ὅλως ἀρνήσασθαι μὴ εἶναι τοῦ Βλεμμίδου ἐκεῖνα, πρὸς τοῖς

ἄλ-

„ ἄλλοις δὴ πολλοῖς ἢ ταῦτα φησίν: „Εἰ ἔγραψεν
„ ὁ Βλεμμίδης μαρτυρίας συγκροτεῖν δοκέσας τῶν
„ λατίνων δόγματι, ἀλλ' ἔγραψεν ἕνεκεν ἀσκήσε-
„ ως καὶ μελέτης. (καὶ πάλιν) Εἰ ὁ Βλεμμίδης
„ ποτὲ μὲν ἔγραφεν ἀσεβῶς, ποτὲ δὲ αἱρετικῶς,
„ δεχόμεθα τὰ καλὰ, ἀποβάλλομεν τὰ ἀντίδοξα·
ἐκ τῆ παραγράφῳ ΙΓ. Τά γε μὴν ἀντίδοξα ἅτως
ὑπὸ τῶν αἱρετικῶν τοῖς ὀρθοῖς ἐξείκασο δόγμα-
σιν, ὥσε σχολῇ γε καὶ αὐτὲς τὲς σοφωτάτες
καὶ τῶν θείων γραφῶν ἐμπειροτάτες τῶν ὀρθο-
δόξων διδασκάλες οἵες τε εἶναι διαγνῶναι. Τί ἄν-
τις εἴποι περὶ τῶν ἁπλεσέρων; Διὰ τῆτο μέγα κα-
λὸν ἐκ τῆς περὶ τῆ Βλεμμίδε Ἀνακρίσεως τοῖς ὀρ-
θοδόξοις προσγίνεται. Ὅσα γὰρ συνηγορεῖν δοκεῖ
τῷ λατινικῷ δόγματι πάντα σοφίσματα δολερώ-
τατα ἢ ὑπελότατα τυγχάνει γε ὄντα· Τέτων, ὁ
Σοφώτατος καὶ Θεοφιλέσατος ΕΥΓΕΝΙΟΣ ἐν
τῇ περὶ τῆ Βλεμμίδε Ἀνακρίσει, τὸ ἐναποκρυπ]όμενον Ἰοβόλον δέλεαρ (ὥπερ οἱ αἱρετικοὶ τὰς τῶν ἀκεραιοτέρων ψυχὰς παραλογιζόμενοι, ῥαδίως ἀγρεύσι ἢ ἀφειδῶς ἀποκ]είνεσιν) ἐπὶ λεπ]ῆ διανοίγων, πᾶσι καταφανὲς τοῖς ὀρθοδόξοις ποιεῖ· ἢ ἅτω τὰς τῶν ἁπλεσέρων ψυχὰς ἁπάσας προασφαλίζεται, αἷς καὶ ἦν ἔμελλον ἀπολέσειν, τὴν ζωὴν χαρίζεται. —

ΜΑΡΚΟΥ



ΜΑΡΚΟΥ ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ (*)
ΣΤΙΧΟΙ
ΕΙΣ ΤΟΝ ΤΑΦΟΝ ΤΟΥ ΔΙΔΑΣΚΑΛΟΥ
ΚΥΡΟΥ
ΙΩΣΗΦ ΤΟΥ ΒΡΥΕΝΝΙΟΥ.

Οὐδέν τι καινὸν εἰ σιγᾷ κωφὸς λίθος,
Τὴν ἔνθεον σάλπιγγα σιγῶσαν φέρων.
Ἀλλ' ὦ λόγοι χρήσατε φωνὴν τῷ λίθῳ·
Μᾶλλον δ' ὑμεῖς φράσατε, τίς ὁ σιγῶν ἐνθάδε·
Ἐκεῖνος ἔτος Ἰωσὴφ ὁ πυρίπνους,
Ἐν τῇ δυνάμει τῶν λόγων καὶ δογμάτων·
Ἐν ταῖς χάρισι τῶν σοφῶν διδαγμάτων·
Ἐκεῖνος ἔτος, ἡ Θεηγόρος βρύσις·

Ὁ

(*) Οἱ στίχοι, μετὰ τῆς Ἐπιγραφῆς, ἔτως ὡς ὧδε, ἔκκεινται ἐν τῷ Ῥωσσιακῷ Χειρογράφῳ Κώδικι· ἐν Φύλ. 255.

Ὁ τῆ Λόγῃ πρόμαχος ἐνθέοις λόγοις.
Ὁ σεβάσματος τῆς ἀληθείας σύλος,
Καὶ φανότατος ὀρθοδοξίας λύχνος.
Ὁ λαμπρότατος τῶν ἀγαθῶν ἐργάτης,
Καὶ τερπνότατος τῶν καλῶν ἐπαινέτης.
Ὁ Δογματισὴς ἀκριβὴς πλανωμένοις,
Καὶ σωφρονισὴς ἐμμελὴς χαυνωμένοις.
Ἀλλ' ὦ Πάτερ μέγισε, Πατέρων κλέος,
Μέμνησο καὶ νῦν τῶν ποθεινῶν σε τέκνων,
Θεῷ παρεσὼς, τῇ μεγάλῃ Τριάδι.

ΑΛΛΟΙ (*) ΣΤΙΧΟΙ
ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Τὴν ἔνθεον σάλπιγγα τῆ Θείᾳ λόγῃ
Σιγὴ κατέσχεν. Ὢ μεγίσης ζημίας!
Ἀλλ' ἐσχάτης σάλπιγγος ἠχέσης μέγα,

Πάλιν

(*) Ὁμοίως καὶ ἔτοι ἐπὶ τῆ αὐτῆ Ῥωσσιακῆ Κώδικος κεῖνται, ἐν τῷ αὐτῷ Φύλλῳ, ὡς οἱ ἀνωτέρω.

Πάλιν πρὸς ἀνάσασιν ἐλθῶσα ξέννη,
Ὡς ἀγαθὰ πράξασα καὶ φθεγξαμένη,
Πάλιν κροτήσει τὰς θεηγόρους ὕμνους,
Τῷ Δεσπότῃ κρίνοντι τὴν οἰκουμένην.

ΑΛΛΟΙ (*)

ΕΙΣ ΤΟΝ ΣΤΓΓΡΑΦΕΑ ΙΩΣΗΦ ΤΟΝ ΒΡΥΕΝΝΙΟΝ

ΣΤΙΧΟΙ ΠΑΛΑΙΟΙ.

Βρύειν ἐννοίας καὶν δέδωται καὶ ἄλλοις,
Οὐχ ἧττον Σοίγε ὦ ἸΩΣΗΦ δωρεῖται,
Θνητῷ γε ὄντι, ἐκ τῦ Πατρὸς τῶν Φώτων·
Ἔνθεν καὶ τὸπώνυμον ἔσχες ἐνδίκως.

(*) Οἱ στίχοι ἔτοι, καὶ οἱ ἑφεξῆς, ἐκ τῦ χειρογράφυ ἐλήφθησαν τῦ πρώην Τορνόβυ, περὶ ὧν ἀνωτέρω ἐλέγομεν· (τοῖς ἐντευξομ. Σημ. (1).)

ΑΛΛΟΙ

ΠΡΟΣ ΤΟΥΣ ΑΝΑΓΙΝΩΣΚΟΝΤΑΣ.

Ἄνθρωπε γυμνώθητι τὴν Βίβλον βλέπων.
Νοημάτων γάρ ἐσι βυθὸς ἐνθέων,
Ὃν ἐκ ἐφικτὸν ἐδενὶ πλεῖν ἀβρόχως,
Πρὶν ἐξενεγκεῖν τῆς ψυχῆς τὰ φορτία.





ΠΙΝΑΞ
ΤΩΝ
ΕΝ ΤΩ Γ΄. ΤΩΔΕ ΤΟΜΩ
ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΙΩΣΗΦ ΒΡΥΕΝΝΙΟΥ
ΤΑ
ΠΑΡΑΛΕΙΠΟΜΕΝΑ.

Ὑπόμνημα εἰς τὴν Γέννησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκε, καὶ ἀειπαρθένε Μαρίας. — — — Σελ. 1

Λόγος ἕτερος, εἰς τὴν Γέννησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκε. — — Σελ. 14

Ὁμιλία ῥηθεῖσα εἰς τὴν Σταύρωσιν τῦ Κυρίε ἡμῶν Ἰησῦ Χριςῦ. Ἐῤῥέθη δὲ τῇ Ἁγίᾳ καὶ Μεγάλῃ παρασκευῇ. — — Σελ. 18

Λόγος Πανηγυρικὸς, εἰς τὴν Λαμπρὰν Κυριακήν. — — — Σελ. 21

Λόγος εἰς τὴν Μεταμόρφωσιν τῦ Κυρίε καὶ Θεῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησῦ Χριςῦ. Ὅτι τὸ φανὲν

ἐν τῷ Θαβωρίῳ φῶς, ἄκτιστον, ἀίδιον, καὶ δόξα ἐστὶ τῆς Θεότητος. — — Σελ. 25

Λόγος Ἐξιτήριος πρὸς Κρῆτας. — Σελ. 36

ΤΟΥ ΑΥΤΟΥ

ΙΩΣΗΦ ΜΟΝΑΧΟΥ

ΤΟΥ ΒΡΥΕΝΝΙΟΥ

ΚΕΦΑΛΑΙΑ ΕΠΤΑΚΙΣ ΕΠΤΑ.

ΠΡΟΘΕΩΡΙΑ ΤΟΥ ΣΥΓΓΡΑΜΜΑΤΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Αον.

Περὶ Αἱθητῶν ἡδυτέρων. — — Σελ. 49

ΚΕΦΑΛ. Βον.

Περὶ τῆς τοῦ Θεοῦ εἰς ἡμᾶς ἀγαθότητος καὶ Φιλανθρωπίας. — — Σελ. 50

ΚΕΦΑΛ. Γον.

Ὅτι χρὴ τοῖς καλοῖς τοῦ νοῦ προσέχειν κινήμασιν. Σελ. 51

ΚΕΦΑΛ. Δον.

Περὶ Βίβλων εἰς γνῶσιν ἅπασι προκειμένων. Σελ. 52

ΚΕΦΑΛ. Εον.

Ὅτι πάντα χρὴ προσδοκᾶν τὰ τῆς προθέσεως ἐναντία. — — — Σελ. 52

ΚΕΦΑΛ. ϛον.

Ὅτι χρὴ προσέχειν Διαλεγόμενον. — Σελ. 53

ΚΕΦΑΛ. Ζον.

Περὶ τῶν μετὰ τὴν Ἀνάςασιν τοῖς δικαίοις χαριζομένων. — — — Σελ. 54

ΚΕΦΑΛ. Ηον.

Περὶ τῆς ἐν ταῖς ὕβρεσι Καρτερίας. — Σελ. 55

ΚΕΦΑΛ. Θον.

Περὶ ὀφειλῆς καὶ ἀποτίσεως τῶν ληφθέντων παρὰ Θεοῦ. — — — Σελ. 56

ΚΕΦΑΛ. Ιον.

Ὅτι πολλὰ τῶν ἀγαθῶν ἡ Ἐκκλησία πέφυκεν. Σελ. 57

ΚΕΦΑΛ. ΙΑον.

Περὶ ἐκπιπλόντων τῆς τοῦ Θεοῦ βοηθείας. — Σελ. 58

ΚΕΦΑΛ. ΙΒον.

Ὅτι χρὴ τῷ ἀνθρώπῳ ὑπὲρ πάντα δωροφορεῖν τῷ Θεῷ. — — — Σελ. 59

ΚΕΦΑΛ. ΙΓον.

Ὅτι τὸν πάλαι Παράδεισον ὁ Κόσμος ὅ δε ἐξεικονίζει. — — — Σελ. 60

ΚΕΦΑΛ. ΙΔον.

Ὅτι πολυφορώτατον δένδρον ὁ ἄνθρωπος. — Σελ. 61

ΚΕΦΑΛ. ΙΕον.

Ὅτι τῶν Κτισμάτων πάντων Ἀρχέτυπον καὶ ὅμοιον ὁ ἄνθρωπος ἐςίν. — — Σελ. 62

ΚΕΦΑΛ. Ιϛον.

Περὶ τῆς Μακαρίας καὶ ὑπερθέε Τριάδος. — Σελ. 63

ΚΕΦΑΛ. ΙΖον.

Περὶ τε͂ μέλλοντος κοινε͂ γνωρισμε͂. — Σελ. 64

ΚΕΦΑΛ. ΙΗον.

Περὶ τῆς ἀτρέπτε καὶ Θείας Μεγαλειότητος. Σελ. 65

ΚΕΦΑΛ. ΙΘον.

Ὅτι δεῖ τ' ἀγαθὸν πᾶσι τρόποις πράττειν ἀεί-
ποτε. — — — Σελ. 66

ΚΕΦΑΛ. Κον.

Ὅτι δεῖ ἐφ' ἕνα σκοπὸν βάλλειν ἀεί. — Σελ. 68

ΚΕΦΑΛ. ΚΑον.

Ὅτι ὁ ἑαυτὸν γινώσκων, πᾶσι τὰς ὀφειλὰς ἀπο-
δίδωσι. — — — Σελ. 70

ΚΕΦΑΛ. ΚΒον.

Ὅτι φυσικῶς πάντων τῶν ἐν τῷ Κόσμῳ μετέχο-
μεν. — — — Σελ. 71

ΚΕΦΑΛ. ΚΓον.

Ὅτι πάντα τὰ ἐπαγόμενα πρὸς Θεὸν τοῖς ἀνθρώ-
ποις φιλάνθρωπα, καὶ ἐπωφελῆ. — Σελ. 73

ΚΕΦΑΛ. ΚΔον.

Περὶ τε͂ Σταυρικε͂ Τύπε. — — Σελ. 74

ΚΕΦΑΛ. ΚΕον.

Περὶ τῆς ἐν ταῖς πράξεσιν Εἰδωλολατρείας. Σελ. 76

ΚΕΦΑΛ.

ΚΕΦΑΛ. Κζον.

Περὶ τῆς ἡμῶν Παροικίας, καὶ τῶν ἡμετέρων τῆς εἰς τὰ κρείττω μετακομιδῆς. — Σελ. 77

ΚΕΦΑΛ. ΚΖον.

Περὶ μνήμης τῶν ἐν τῇ Κρίσει. — — Σελ. 79

ΚΕΦΑΛ. ΚΗον.

Ὅτι χρὴ συνιέντας τίνος ἕνεκα πάντα παρήχθη, ὑπερευχαριστεῖν. — — Σελ. 84

ΚΕΦΑΛ. ΚΘον.

Ὡς ἐστὶ ταδιοδρόμος πᾶς ὁ σωθῆναι βελόμενος. Σελ. 85

ΚΕΦΑΛ. Λον.

Περὶ τῆς Ἱερᾶς Λειτουργίας. — Σελ. 87

ΚΕΦΑΛ. ΛΑον.

Περὶ Ὑπομονῆς. — — Σελ. 88

ΚΕΦΑΛ. ΛΒον.

Περὶ τῆς τοῦ Κόσμου Διαιρέσεως, καὶ τῶν ἐν αὐτῷ Διαφορῶν. — — — Σελ. 90

ΚΕΦΑΛ. ΛΓον.

Εἰκόνες Βίου. — — — Σελ. 92

ΚΕΦΑΛ. ΛΔον.

Πῶς χρὴ διιέναι τὸν βίον ἡμῶν. — Σελ. 94

ΚΕΦΑΛ. ΛΕον.

Ὅτι συμφέρει ἡμῖν τὸ ὀλιγοχρόνιον. — Σελ. 96

ΚΕΦΑΛ. ΛΣ^ον.

Περὶ Ἀναβάσεως Ἀρετῶν, καὶ Κακιῶν Καταβάσεως. — — — Σελ. 98

ΚΕΦΑΛ. ΛΖ^ον.

Περὶ τῆς ἡμετέρας Διαπλάσεως, καὶ τῆς Γεννήσεως τῆς Πνευματικῆς. — — Σελ. 100

ΚΕΦΑΛ. ΛΗ^ον.

Ὅτι ἐδὲν τῶν ἐν τῷ Κόσμῳ ἡμέτερον. — Σελ. 102

ΚΕΦΑΛ. ΛΘ^ον.

Περὶ κρειττόνων Ἐθῶν. — — Σελ. 105

ΚΕΦΑΛ. Μ^ον.

Περὶ Πίστεως Ὀρθοδόξε. — — Σελ. 110

ΚΕΦΑΛ. ΜΑ^ον.

Περὶ Συντελείας. — — Σελ. 111

ΚΕΦΑΛ. ΜΒ^ον.

Ὅτι ἃ διαλείπει θαυματεργῶν ὁ Θεός. — Σελ. 112

ΚΕΦΑΛ. ΜΓ^ον.

Περὶ ὀρθοδοξίας τῆς εἰς τὰ πράγματα. — Σελ. 112

ΚΕΦΑΛ. ΜΔ^ον.

Ὅτι μετὰ τάξεως καὶ Εἰρμῦ, πάνθ' ἡμῖν τὰ Χρήσιμα ἥκει ἐκ Θεῦ. — — Σελ. 112

ΚΕΦΑΛ. ΜΕ^ον.

Πρὸς τὲς τὸ πλῆθος, καὶ τὴν Εὐετηρίαν τῶν ἀπίστων θαυμάζοντας. — — Σελ. 115

ΚΕΦΑΛ.

Τῶν ἐν τῷ Γ', τῷ δε Τόμῳ περιεχομένων. κζ.

ΚΕΦΑΛ. Μξον.

Περὶ τῶν ἐπιτεθέντων ἡμῖν δεινῶν, καὶ τίς ὁ τέ-
των σκοπός. — — Σελ. Αὐτ. 115

ΚΕΦΑΛ. ΜΖον.

Τίνες αἰτίαι τῶν καθ' ἡμᾶς λυπηρῶν. — Σελ. 119

ΚΕΦΑΛ. ΜΗον.

Τῆς Ἁγίας Ἐκκλησίας Εἰκών. — Σελ. 123

ΚΕΦΑΛ. ΜΘον.

Ὅτι ἀναγκαιοτέρα τῶν Ἀρετῶν ἡ Ἐλεημοσύνη.
Σελ. 124

ΤΟΥ ΑΥΤΟΥ

ΙΩΣΗΦ ΤΟΥ ΒΡΥΕΝΝΙΟΥ,

ΕΠΙΣΤΟΛΑΙ.

ΕΠΙΣΤΟΛΗ Αη.

Τῷ Μεγάλῳ Σακελλαρίῳ τῆς Ἁγιωτάτης τῇ Θεῇ
Μεγάλης Ἐκκλησίας, Ἀρχιδιακόνῳ, καὶ Διδα-
σκάλῳ τὰ θεῖα, Κυρῷ Θεοδώρῳ τῷ Μελιτινιώ-
τῃ, ἐν Πόλει. — — Σελ. 127

ΕΠΙΣΤΟΛ. Βη.

Τῷ Εὐλαβεστάτῳ καὶ Λογιωτάτῳ ἐν Ἱερεῦσι Κυρῷ
Νικήτα τῷ Μυρσινιώτῃ· ἐν Ῥόδῳ. — Σελ. 129

ΕΠΙΣΤΟΛ. Γη.

Τῷ Μεγάλῳ Χαρτοφύλακι τῆς Ἁγιωτάτης τῆ Θεῆ Μεγάλης Ἐκκλησίας, καὶ Ἀρχιδιακόνῳ Κυρῷ Ἰωάννῃ τῷ Ὁλοβόλῳ· ἐν τῇ Βασιλευούσῃ τῶν Πόλεων. — — — Σελ. 131

ΕΠΙΣΤΟΛ. Δη.

Τῷ Σοφωτάτῳ Ἀνδρῶν Δημητρίῳ τῷ Κυδώνῃ, ἐν Βενετίᾳ. — — — Σελ. 133

ΕΠΙΣΤΟΛ. Εη.

Τῷ Παναγιωτάτῳ Δεσπότῃ Δωροθέῳ, τῷ τῶν Ἱεροσολύμων Πατριάρχῃ· Εἰς τὴν Ἱερουσαλήμ. Σελ. 136

ΕΠΙΣΤΟΛ. Ϛη.

Τῷ Σοφωτάτῳ Ἀνδρὶ, Ἀρετῆστε ἄκρῳ Φίλῳ καὶ Πίστεως Κυρῷ Νικολάῳ τῷ Καβάσιλα· Ἐν Κωνσταντινουπόλει. — — — Σελ. 138

ΕΠΙΣΤΟΛ. Ζη.

Τῷ Σοφωτάτῳ καὶ Λογιωτάτῳ Πατρὶ, Καθηγεμένῳ τῆς Σεβασμίας καὶ Βασιλικῆς Μονῆς τῶν Στουδίου, Ἀρχιμανδρίτῃ τε καὶ Πρωτοσυγκέλλῳ Κυρῷ Εὐθυμίῳ. Ἐν Βυζαντίῳ. — — Σελ. 141

ΕΠΙΣΤΟΛ. Ηη.

Τῷ τῶν Ἀρχιερέων Ἄκρῳ, Τρισκαιδεκάτῳ τε τῶν Ἀποστόλων, Ποιμένι Ποιμένων, καὶ Κριτῇ τῆς Οἰκουμένης, Μάρκῳ τῷ Πάπᾳ Ἀλεξανδρείας. Σελ. 143

ΕΠΙΣΤΟΛ. Θη.

Τῷ Οἰκουμενικῷ. — — — Σελ. 146

ΕΠΙΣΤΟΛ.

ΕΠΙΣΤΟΛ. Ι'.

Τῷ ἀπὸ Ιραικῶν Ἰταλῷ, Ἀδελφῷ Μαξίμῳ, τῆς τάξεως τῶν Κηρύκων. — — Σελ. 148

ΕΠΙΣΤΟΛ. ΙΑ'.

Τῷ ἐν Ἐπισκόποις εὐλαβεῖ Κυρῷ Μακαρίῳ τῷ τῆς Ἀμοχώστε. Ἐν Κύπρῳ. — — Σελ. 155

ΕΠΙΣΤΟΛ. ΙΒ'.

Βασιλικόν. — — — Σελ. 157

ΕΠΙΣΤΟΛ. ΙΓ'.

Τῷ Λογιωτάτῳ Ἀνδρῶν Κυρῷ Μανηὴλ τῷ Πόθῳ, ἐν Λακεδαιμονίᾳ. — — Σελ. 159

ΕΠΙΣΤΟΛ. ΙΔ'.

Τῷ εὐδοκίμῳ, καὶ εὐφυεῖ, καὶ σπουδαίῳ ἐν Ἰατρικῇ, καὶ Ῥητορικῇ, καὶ Φιλοσοφίᾳ Κυρῷ Μανηὴλ τῷ Ὁλοβόλῳ, ἐν Θεσσαλονίκῃ. — Σελ. 161

ΕΠΙΣΤΟΛ. ΙΕ'.

Τῷ Μητροπολίτῃ Ἡρακλείας, Πρωτοθρόνῳ καὶ ὑπερτίμῳ, Κυρῷ Ἀντωνίῳ. — Σελ. 163

ΕΠΙΣΤΟΛ. Ις'.

Τῷ Πανιερωτάτῳ Μητροπολίτῃ Κιαίβε, καὶ πάσης Ῥωσσίας, Φωτίῳ τῷ Ὑπερτίμῳ, καὶ ἐμῷ Δεσπότῃ καὶ φίλῳ γνησιωτάτῳ, καὶ κατὰ πνεῦμα Πατρί. — — — Σελ. 168

ΕΠΙΣΤΟΛ. ΙΖ'.

Ἰωσὴφ Ἀλεξίῳ. — — — Σελ. 170

ΕΠΙΣΤΟΛ. ΙΗ΄.

Ἰωσὴφ Ἀλεξίῳ. — — — — Σελ. 171

ΕΠΙΣΤΟΛ. ΙΘ΄.

Ἰωσὴφ Ἀλεξίῳ. — — — Σελ. 172

ΕΠΙΣΤΟΛ. Κ΄.

Ἰωσὴφ Γεωργίῳ. — — — — Σελ. 173

ΕΠΙΣΤΟΛ. ΚΑ΄.

Ἰωσὴφ Ἀλεξίῳ. — — — Σελ. 176

ΕΠΙΣΤΟΛ. ΚΒ΄.

Ἰωσὴφ Ἀλεξίῳ. — — — Σελ. 177

ΕΠΙΣΤΟΛ. ΚΓ΄.

Ἰωσὴφ Ἰωάννῃ. — — — Σελ. 178

ΕΠΙΣΤΟΛ. ΚΔ΄.

Ἀλεξίῳ. — — — — Σελ. 179

ΕΠΙΣΤΟΛ. ΚΕ΄.

Ἰωσὴφ Ἰωάννῃ. — — — Σελ. 180

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΝΟΒΟΓΡΟΔΙΑΣ
ΘΕΟΦΑΝΟΥΣ ΤΟΥ ΠΡΟΚΟΠΟΒΙΤΖ

ΙΣΤΟΡΙΑ.

Περὶ τῆς διαφορᾶς τῆς περὶ τῆς Ἐκπορεύσεως, τῦ Ἁγίυ Πνεύματος. — — Σελ. 183

ΕΤΙ ΚΑΙ
ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΠΡΩΗΝ
ΣΛΑΒΗΝΙΟΥ ΤΕ ΚΑΙ ΧΕΡΣΩΝΟΣ
ΚΥΡΙΟΥ
ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ.

ΑΝΑΚΡΙΣΙΣ.

Περὶ Νικηφόρυ τῦ Βλεμμίδυ. — — Σελ. 309

ΤΟΥ

ΤΕΩΣ ΔΕ ΚΑΙ
ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ
ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ
ΠΑΤΡΙΑΡΧΟΥ.

ΚΥΡΙΟΥ

ΔΟΣΙΘΕΟΥ

ΑΠΟΛΟΓΙΑ.

Ὑπὲρ Νικηφόρε τῦ Βλεμμίδε. — — Σελ. 407



ΙΩΣΗΦ



ΙΩΣΗΦ ΜΟΝΑΧΟΥ
Ω ΒΡΥΕΝΝΙΟΣ
ΤΟ ΕΠΩΝΥΜΟΝ.
ΤΑ ΠΑΡΑΛΕΙΠΟΜΕΝΑ.
ΤΟΜΟΣ Γ'.

ΥΠΟΜΝΗΜΑ
εἰς τὴν Γέννησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκε, καὶ Ἀειπαρθένε Μαρίας.



Ἡ Βασιλὶς καὶ Κυρία καὶ Δέσποινα Θεοτόκος, εἰ καὶ δεδόξασται παρὰ τῷ Θεῷ, ὑμνεῖται παρὰ ἀγγέλων, δοξολογεῖται παρὰ ἀνθρώπων· ἀλλ' εὐφημεῖται καὶ παρ' ἡμῶν, ἐχ ἵνα προθήκλω τῇ ἑαυτῆς δόξῃ λάβῃ, ἀλλ' ἵνα χάριτος ἡμῖν μεταδῷ, τὸν πρὸς αὐτὶω πόθον θερμῶς ἀφοσιωμένοις. Καὶ γὰρ πάντας μὲν τὲς Ἁγίες τιμᾶν δίκαιον καὶ σωτηριῶδες, ἀλλ' ὡς Φίλες Θεᾶ καὶ γνησίες θεράποντας· ἐξαιρέτως δὲ ταύτλω τλὼ τῶν Ἁγίων Ἁγίαν· ἀλλ' ὡς Κυρίαν, καὶ ἰδιαίτατα. Δι' αὐτῆς γὰρ, ὅ, τε ἁγιασμὸς προσγέγονε τοῖς Ἁγίοις, καὶ ἡμῖν ἐλπί-

ζεται τὰ τῆς σωτηρίας. Καὶ ἵνα γνῶμεν ἐκ μέρους, ὅσον τὸ μέσον ταύτης πρὸς πᾶσαν τὴν κτίσιν, καὶ τὸ πρὸς τὰς Ἁγίας ἅπαντας ὑπερέχον, πᾶσαν σὺν συγκρίσει τῷ λόγῳ διεξελθόντες τὴν κτίσιν, σκοπήσωμεν τὴν πρὸς ἄλληλα τῶν ὄντων, καὶ ταύτης πρὸς ταῦτα, ὡς σὺν σιωπῇ, ὑπεροχήν.

Τῆς τῶν ὄντων τοίνυν ὑπεροχῆς τὸν τρόπον οἶμαι εἶναι τοιόνδε· Ὅτι ὑπερέχει Γῆ λίθων, τῇ στοιχειώδει αἰτίᾳ. καὶ ὕδωρ γῆς, τῇ ὑγρότητι καὶ διαφανείᾳ. καὶ Ἀὴρ ὕδατος, τῇ λεπτότητι, τῷ ἀχρωματίστῳ, καὶ τῇ δεκτικῇ τῶν ἐναντίων δυνάμει. καὶ Πῦρ Ἀέρος τῇ κουφότητι, τῇ διαυγείᾳ τε καὶ ἀνωφερείᾳ· καὶ πρὸς τούτοις δυνάμει τῇ καυστικῇ. καὶ Αἰθὴρ πυρὸς τῷ πολυχαράκτῳ μορφώματι, καὶ κυκλώματι τῷ ἐπλαπλανεῖ. Καὶ Οὐρανὸς Αἰθέρος, τῇ ἀκαταλήπτῳ τῶν ὅλων περιοχῇ. καὶ Ἥλιος Σελήνης, μεγέθει, ταχυτῆτι, καὶ δόξῃ. καὶ ἄλλο ἄλλου ὄντος ὄν, ὑπερέχει κατάτι. ὃ καὶ διαφορὰ τῶν ὄντων πρὸς ἄλληλα λέγεται. Πάλιν ὑπερέχει Γῆ λίθου, τῷ ζωογονεῖν οἰκοθεν. καὶ Φυτὸν γῆς, τῷ ἐμψύχῳ· καὶ ζῴοφυτον φυτοῦ, τῷ αἰσθάνεσθαι. καὶ ζῷον ζῴοφύτου, τῷ μεταβαίνειν. καὶ ἄνθρωπος ἀλόγου, τῷ λογικεύεσθαι. καὶ Ἅγιος ἀνὴρ, ἀνθρώπου ἀτιμελήτου, τῷ λυμαινόσης ὕλης καθαίρεσθαι. καὶ Ἄγγελος Ἁγίου, τῇ αὐλίᾳ. καὶ Ἀρχάγγελος Ἀγγέλου, τῇ ἀρχῇ καὶ Ἀρχὴ Ἀρχαγγέλου, τῷ ἄρχειν ὑπερ. καὶ Κυριότης Ἀρχῆς, τῷ κυριεύειν. καὶ Ἐξουσία Κυριότητος, τῷ ἐξουσιάζειν. καὶ Δυνάμις ἐξουσίας, τῷ πλεῖστα δυνασθαι. καὶ Χερουβὶμ Δυνάμεως, τῷ πολυόπτῳ· καὶ Χερουβὶμ τοῦ Σεραφὶμ, τῇ ταχυτῆτι. καὶ Θρόνος τῇ Σεραφὶμ, τῇ τοῦ θεοῦ ἐγγυτάτῃ καὶ προκρίτῳ ἐπαναπαύσει. Ταῦτα δὲ, τοῖς μὲν καλὰ μέθεξιν, τοῖς δὲ καλὰ φύσιν ἄλλως προσεῖναι τούτων φαμέν· ἐκ τῆς τῶν ὀνομάτων αὐτῶν ἐνεργητικῆς σημασίας τὸν λόγον σωάγοντες. Τούτων δ' ἁπάντων ἡ Θεοτόκος Μαρία ὑπέρκειται ἀσυγκρίτως καὶ ἐξοχώταλα, καὶ ὡς ἐδεῖς τῆς ὑπεροχῆς ταύτης ἂν ἐφίκοιτο λόγος. Ὅθεν καὶ λαμπροτέρα τοῦ Ἡλίου,

καὶ

καὶ πλατυτέρα τῶν Οὐρανῶν, καὶ ὑπερτέρα τῶν Ἀγγέλων καὶ λέγεται, καὶ ἐστί.

Καὶ ταῦτα διῆλθον ἐγὼ ἵνα φιλοτιμήσωμαί τι, καὶ τοῖς λόγοις ἐπάρω ταύτης τὰς χάριτας· ἔμενεν. ἐ γὰρ τοσαύτη τῶν ἐμῶν λόγων ἡ δυνάμις, ὥστε σεμνύειν τὰ ὑπερμέγιστα· τἐναντίον δὲ μᾶλλον καὶ ἀμαυρῶν, τῇ περὶ τινὸς διηγήσιν ἀσθενείᾳ καὶ ἐνθενότητι. ἀλλ' ἵνα ὡς οἷόν τε ἐπιδείξω τὸ ὑπέρτατον ταύτης πρὸς τὰ λοιπὰ πάντα ὕψος καὶ μέγεθος. ἐγὼ οἷον, καὶ ὅσον ἐστίν· ἄπαγε· τοῦτο καὶ γὰρ πάσῃ φύσει ἀνθρώπων, καὶ τέχνῃ, ἀδυνάτον· ἀλλ' ὅσον εἰπεῖν ὅ, τε λέγων ἐγὼ ἐξικνοῦμαι, καὶ ὑμεῖς οἱ ἀκούοντες εὐσεβῶς, σωφρονεῖν περὶ αὐτῆς δυνάσθε. Καίτοι ἐ δέδοικα τὰ μεγαλεῖα ταύτης διεξιὼν, ἀλλὰ θαῤῥοῦντος ἐγχειρῶ καὶ τοῖς ὑπὲρ δυνάμιν. ἐκ ἄπο λόγου τοῦτο ποιῶν. ὡς γὰρ τῷ ταύτης Υἱῷ, καὶ τῷ ἐκείνου Πατρὶ, καὶ τῷ Πνεύματι, καθ' ἑκάστῳ προσάγειν δοξολογίας τολμῶ· πολλὰς μὲν οἰκοθεν, τὰς πλείους δὲ καὶ πρὸς τῶν ἁγίων ἐρανιζόμενος· ἔτω καὶ ταύτῃ κατ' ὀφειλὴν, ἐκ τῶν αὐτῶν λαμβάνων, προσάγω πάντως τὸ καλὸν δυνάμιν, τῇ τῆς σωτηρίας αἰτίᾳ μοι.

Ἄλλως τε, εἰ μὲν ἀεὶ, καὶ ἐπὶ πάντων τῶν ἄλλων, ὁ λόγος ἐξισοῦτο τοῖς πράγμασιν, εἰκότως ἂν ἐφοβήθην, μήπως τῆς ἀξίας ταύτης μόνος φανείην μακράν. εἰ δ' ἐπὶ πάντων, καὶ πάντοτε, ὁ μὲν νοῦς τῶν πραγμάτων ἐλλείπει πολὺ, καὶ ὁ προφορικὸς λόγος τῶν νοημάτων εὑρίσκεται δεύτερος· ἐκ ἂν εἴποιμι τῶν τῆς Βασιλίδος, τῶν ὅλως ἐθελομένων διεξιέναι τὰ μεγαλεῖα· ἦν καὶ πᾶσα φύσις ἀνθρώπων τε καὶ ἀγγέλων εἰς ταὐτὸ συνελθοῦσα, ἐκ ἂν ἀξίως θαυμάσειεν· ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων εὐτελῆ δόξαν λαχόντων· Πῶς φοβηθήσομαι μόνος, ταὐτάμοι πάντων παχόντων χεδὸν, ἐν τῷ φιλοτιμεῖσθαι τὰ κατ' αὐτὴν ἐξυμνεῖν; Τὲ γὰρ κατ' ἀξίαν ἅπαντες ἀποπίπτουσι, κἂν ἄλλος ἄλλῳ προέχειν δοκῇ. Καὶ ὃν τρόπον οἱ ὑπερμεγέθεις τῷ σώματι καὶ βραχεῖς τῶν ἀνθρώπων, Οὐρανῷ καὶ Ἡλίῳ ἰσάκις ἀπέχομεν· καὶ τὲ πλείους, οἱ ταχεῖς τοῖς

βραδέσιν ὁμοίως· καὶ τὸ βασάσαι τὸν Ἄτλαντα τοῖς ἀδυνάτοις ὡσαύτως οἱ ἰσχυροὶ· καὶ τὸ μετρῆσαι τὰ Ἄστρα οἱ σοφοὶ παραπλησίως τοῖς ἀμαθέσι· καὶ τὸ δημιουργεῖν, οἱ Ἄγγελοι ἡμῖν ἐπίσης ἀδυνατοῦσιν· ἔτως ἀπολείπεθαι τῶν κατ' ἀξίαν ἰσάκις συμβαίνει, πᾶσι τοῖς πειρωμένοις ἀξίως τὴν Θεοτόκον τιμᾶν. Τοῖς μέντοι κατὰ χρέος προδάγεσι ταύτῃ τὰ δυνατὰ, καὶ ὅλῃ ψυχῇ, ἐκ ἀπόβλητος ἡ προσαγωγή. Περὶ ἧς ἐν δεῦρο ἀφίγμεθα ἑορτῆς, ζητητέον ἡμῖν ἐν σιωπῇ τὸ κατὰ χρέος· καὶ τὴν πρόθεσιν ὅση, πάσῃ σπουδῇ προσεκτέον τῇ Θεοτόκῳ. Καὶ δὴ λέγομεν.

Ὁ Θεὸς ἐν ἀρχῇ πρὸ πάντων αἰώνων, πρὸ τῆς τὸν Οὐρανὸν ἐκτείναι, καὶ τὴν γῆν ἑδράσαι, καὶ τὰς Ἀβύσσους ποιῆσαι, ἀνενδεὴς ὢν καθάπερ ἀεὶ, καὶ μηδενὸς τὸ παράπαν εἰς τι δεόμενος, ἄκρᾳ βεληθεὶς ἀγαθότητι μόνῃ τῇ πλαστεργῆσαι τὸν ἄνθρωπον, τοιαύτην τινὰ βέλησιν ἑαυτῷ φιλανθρώπως διετυπώσατο. ἐν ἑαυτῷ δὲ λέγω· ὅτι πρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα θεοπρεπῶς ὁ Πατὴρ, ὥσπερ συμ-
„ βόλοις χρώμενος, εἴρηκε· „Ποιήσωμεν ἄνθρωπον κατ'
„ εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. καὶ κατ' εἰκόνα μὲν, νῷ παράσχωμεν αὐτῷ, ἀντίτυπον ἐμῇ τῇ Πατρός. λόγον δὲ, εἰς τύπον σῇ τῇ Υἱῇ· πνεῦμα δὲ, εἰς εἰκόνα σῇ τῇ Παρακλήτῳ. καὶ τοῦτο μὲν τὸ κατ' εἰκόνα ἡμετέραν, ἕσαι τῷ πρὸς ἡμῶν πλασεργηθησομένῳ ἀνθρώπῳ. Καθ' ὁμοίωσιν δὲ, ἵν' αὐτεξούσιος ᾖ, καὶ ἄρχῃ πάντων αἰθητῶν· καὶ θέσει ἔχῃ τὸ εἶναι Θεὸς τοῖς ἐν γῇ. Παράσχωμεν δὲ αὐτῷ καὶ τόπον εἰς ἐνδιαίτημα, ὃν δὴ καὶ παράδεισον ὀνομάσωμεν. Δώσωμεν δὲ αὐτῷ καὶ ἐντολὴν, ἵνα γνωρίσῃ τὸν πλάσαντα, καὶ μέμνηται αὐτὸν ὡς Κύριον, καὶ μὴ πάντων Θεὸν ἑαυτὸν ὑπολάβῃ. Κἂν μὲν φυλάξῃ τὴν ἐντολὴν, θεωθήσεται κατὰ μικρὸν τῇ ἡμῶν χάριτι, καὶ τῇ τῆς ἐντολῆς ἐργασίᾳ· εἰ δὲ, εἴτε τῇ ἑαυτοῦ, εἴτε ἑτέρᾳ καθυπαχθεὶς συμβουλίᾳ, ταύτης ἐκπέσῃ, παιδεύσαντες αὐτὸν ἐπί τινα χρόνον, ἐπεὶ μὴ ἀνδεχόμενον ἕσαι σωθῆναι ἄλλως αὐτὸν· οἰκοδομήσωμεν ἐκλεξάμενοι γυναῖκα τὴν

τλιὼ ἀσυγκρίτως καθαρωτέραν τῆ ἀνθρωπίνε γένες· καὶ σαρκωθήση σὺ ὁ Υἱὸς ἐξ αὐτῆς ἀπόρως, καὶ γεννηθήση, καὶ ἁπλῶς γενόμενος ἀναμάρτητος ἄνθρωπος, σώσεις τὸν προαμαρτήσαντα ὅλον. Αὕτη, καὶ τοιαύτη περὶ τῆς τῆ ἀνθρώπε παραγωγῆς, ἐκπλώσεώς τε καὶ ἀνακλήσεως, βελὴ ἡ προαιώνιος τῆς Τριάδος, Ἀγαπητοί. καὶ τῆτο ἐςὶ τὸ πρὸ αἰώνων μυςήριον, τὸ ποτὲ καὶ ἀγγέλοις ἀπόκρυφον. Ὅπερ ἤδη εἰς ἔργον προβὰν, καὶ ἐνεργείᾳ προδήλῳ καθοραθὲν, ἐθεασάμεθα καὶ αὐτοὶ ἐναργῶς, ἐκ τῆ τέλες τὰ τῆς ἀρχῆς ἐπιγνόντες· ἔ καὶ τλιὼ ἀπαρχλιὼ πανηγυρίζομεν σήμερον.

Σὺ δέμοι Θεοπρεπῶς πάντα νόει τὰ εἰρημένα· καὶ σκόπει, πῶς πάντα τὰ πρὸς θεῆ γινόμενα ἐν παντὶ τῷ αἰῶνι, πρός τι χρησὸν ἀποβλέπει τέλος, καὶ ἐδὲν ὅλως ἁπλῶς παράγεται καὶ εἰκῆ· κἄν τι παρ' ἄλλων γένηται ἐμποδὼν, ἀλλὰ τὸ θεῖον βέλημα ἀδιάπλωτον. ἐπεὶ πᾶν πρῶτον διὰ τὸ μετὰ ταῦτα· καὶ τῆτο δι' ἄλλο· κἀκεῖνο δι' ἕτερον· ἕως ἂν εἰς πέρας, τὸ δι' ὃ πάντα γέγονε, καταντήση, καὶ τῆς ἐπί τι κινήσεως παύσηται. Καὶ τῆτο πάρεσι μὲν ὁρᾶν ἐναργῶς καὶ ἐπὶ τῶν φύσει γινομένων τοῖς ἅπασιν· ἔξεσι δὲ σκοπεῖν καὶ ἐκ τῆ νῦν πρὸς τῆς προνοίας ἐνεργηθέντος, τοῖς αἱρεμένοις. Ὥσπερ γὰρ ἐν τοῖς φυτοῖς ἡ ῥίζα διὰ τὸ ςέλεχος· τὸ δὲ, διὰ τὰς κλάδας· οἱ δὲ, διὰ τὰς βλάσας· ἔτοι διὰ τὰ ἄνθεα· ταῦτα διὰ τὸν καρπόν· Καὶ ἐπὶ πάντων δὲ τῶν φύσει γινομένων ὁμοίως· καὶ γὰρ ἕνεκά τε πάντα· καὶ ἐδὲν γίνεται μάτιον, ἐδὲ περιέργον· τὸ δὲ ἕ ἕνεκα βέλτισον· ἔτως ἄρα καὶ ἐπὶ τῆς ἀνθρωπότητος μετὰ τλιὼ παράβασιν, τὸ προορισθὲν ἄνωθεν κατὰ λόγον ἀκονομήθη. Ὁ γὰρ Αρχιπάτωρ Ἀδὰμ ζιῶ ἀφείθη, ἵνα τὰς πρὸ τῆ Κατακλυσμῆ γεννήση πάλαι Προπάτορας· Ἐκεῖνοι δὲ, ἵνα τὰς μετὰ τὸν Κατακλυσμὸν δικαίας· ὡς οἱ μικρὸν πρὸ τῆς Χριςῆ Παρεσίας, ἵνα τὰς ἀποςόλες, καὶ τὰς δι' αὐτῶν εἰς Χριςὸν βαπλισθησομένες. Οἱ μετὰ τὸν Κατακλυσμὸν πάλιν, ἵνα τὰς περὶ τὸν Ἀβραὰμ Πατριάρχας

ἀπογεννήσωσι, παρήχθησαν εἰς τὸν βίον· ὡς ἄραγε καὶ οἱ νῦν Ἑβραῖοι, ἵνα τὸν ἐπὶ σωτελείᾳ δὶ Ἐνὼχ καὶ Ἠλίαν μέλλοντας πιστεύειν ἐπὶ τὸν Κύριον· Οἱ μέντοι περὶ Ἀβραὰμ αὖθις, ἵνα τὸν στρατηγὸν τὸν περὶ Μωσέα· οἱ δὲ, ἵνα τὸν περὶ Δαυὶδ Προφήτας καὶ Βασιλεῖς· ἐκεῖνοι δὲ, ἵνα τὸν Θεοπάτορας Ἰσαὰκ καὶ τὴν Ἄνναν. οἱ δὲ, ἵνα τὴν Θεοτόκον Μαρίαν. Αὕτη δὲ, ἵνα τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον ἀπογεννήσῃ ἡμῖν καὶ προώρισαι, καὶ γεγέννηται. Ἐπεὶ γὰρ οὐ ὀφθαλμοῖς αὐτοῦ τὰ μεταγενέστερα πάντα ὡς ἐνεστῶτα καὶ παρελθόντα λογίζεται, καὶ τὰ πορρωτάτω ὡς ἔγγιστα· καὶ τοῦτο προέγνω προβλεπτικοῖς ὄμμασιν, ὡς εἰ καὶ Οὐρανὸν δι ἑαυτοῦ στερεώσῃ, καὶ σκηνὴν πήξηται διὰ Μωσέως, καὶ Ναὸν ἐγείρῃ διὰ Σολομῶντος, ὡς διὰ τούτων τοὺς ἀνθρώπους εἰς ὑπόμνησιν τῶν ὑπερουρανίων καὶ ἀοράτων ἐνάγῃ· οἱ δὲ, καὶ ἔτως ἀναιδητήσωσι, καὶ ἐπιλήσονται τοῦ ἑαυτῶν Ποιητοῦ· εὐδόκησε λοιπὸν ἅτε Φιλάνθρωπος, λογικὸν ἐρανὸν, καὶ σκηνὴν ἀληθινὴν, καὶ ναὸν ἀχειροποίητον, ἔμψυχόν τε καὶ λογικὸν, καὶ προώρισε γενέσθαι τὴν Παναγίαν Παρθένον· ὡς ἂν οὐ αὐτῇ κατοικήσας, ὁ εἷς αὐτῆς τῆς Τριάδος, ὡς ἔφημεν, καὶ ἐξ αὐτῆς ἀνατείλας ὡς οἶδε, τὸ σκότος λύσῃ τὸ νοητόν. καὶ πάντα εἰς ἕνωσιν μίαν συναγαγὼν, ἔτω πάλιν εἰς τὸν ἐξ ἀρχῆς αὐτοῦ σκοπὸν καὶ τὴν βουλὴν ἐπαναγάγῃ τοὺς ἅπαντας. Εἰ γὰρ καὶ ὕστερον σεσάρκωται, καὶ ἐπ' ἐσχάτων ἦλθε τῶν χρόνων, ἀλλ' ἐκ ἄνευ προγνώσεως, ἀδ' ἁπλῶς σκοπῷ καὶ βουλῇ δίχα. ἀλλὰ πρὸ τῆς τοῦ κόσμου παραγωγῆς ἔτω γενέσθαι τὸ Μυστήριον βουλῇ ἀῤῥήτῳ προώρισε· καὶ τοῦτο μάλα Θεοπρεπῶς. Ὡς γὰρ (*) Δικαστοῦ σκοπὸς ἀπ' ἀρχῆς, τὸ ἐκδικῆσαι τὸ δίκαιον· καὶ Γεωργοῦ σπουδὴ, τὸ τὰ παλαιωθέντα τῶν σπερμάτων ἀνανεῶσαι, καὶ τὰ ἐλαττωθέντα πληθῦναι· Ἐμπόρου τε, τὸν μὴ προσόντα πλοῦτον ἀθροῖσαι, ἢ ἀνευρεῖν τὸν ἀπολωλότα καὶ Στρατηγοῦ τὸ νικᾶν ἐργάσασθαι, ἢ τιμὴν ἧτταν ἀνακαλέσασθαι· καὶ Ζωγράφου, τὸ τὴν συγχωθεῖ-

(*) Τοῖς ἑφεξῆς ἔχει παραπλήσια, καὶ ἐν Τόμῳ Β'. Σελ. 172.

χωθεῖσαν εἰκόνα καὶ ῥυπωθεῖσαν ἀναμορφῶσαι, ἢ μιμήσασθαι ἀκριβῶς τὸ πρωτότυπον· Φιλοσόφε τε πρὸς τέτοις, καὶ Ἰατρῆ, τῷ μὲν, τὴν τοῖς πάθεσι σκοτιωθεῖσαν ψυχὴν, πράξει πάλιν φωτίσαι καὶ Θεωρίᾳ· τῷ δὲ, τὴν ἐνεῖσαν τηρῆσαι ὑγίειαν, ἢ τὴν φθαρεῖσαν ἀνακαλέσασθαι. Καὶ ἐδὲ εἷς τῶν τι πρατλόντων ἐσὶν, ὃς μὴ πρός τι τέλος λυσιτελὲς τῶν ἐν τῷ βίῳ ἐργαζόμενος ἀφορᾷ· Οὕτω, καὶ πολλῷ καθ' ὑπέρτερον λόγον, τῷ τῆς Φύσεως καὶ πάντων ποιητῇ σκοπὸς ἰὼ ἀπαράτρεπτος τὸν ἀδικηθέντα, καὶ παλαιωθέντα, καὶ ἀπολωλότα, καὶ ἡτιμωθέντα, καὶ ῥυπωθέντα, καὶ σκοτιωθέντα, καὶ φθαρέντα ἄνθρωπον, δι' ὃν ὁ κόσμος σιωπᾷ, καὶ ὡς Κριτῇ ἐκδικῆσαι, καὶ ὡς Γεωργῇ ἀνανεῶσαι, καὶ ὡς προνοητῇ ἀνευρεῖν, καὶ ὡς λυτρωτῇ ῥύσασθαι, καὶ ὡς νεουργῇ ἀναμορφῶσαι, καὶ ὡς φωταγωγῇ φωτίσαι, καὶ ὡς πάντα μεταποιοῦντος, καὶ μετασκευάζοντος ἐπὶ τὸ βέλτιον, ἀφθαρτίσαι τὸ ἑαυτῇ δημιούργημα. Καὶ Πλαστουργὸς δὲ, τὸ ἀρτίπλαστον σκεῦος κατεαγὲν καὶ σωτριβὲν ἀναπλάττει· καὶ Κύριος, δῆλον γνήσιον ἀπολωλεκὼς ἐχθρᾷ ἐπηρείᾳ, ζητεῖ· καὶ ἡ τραυματισθεῖσα σαρξ ἐπιπολαίως, φύσει σωθῆναι ἐμποιεῖ· καὶ δένδρον τὸ μὴ κατὰ βάθος πλησγὲν, νεοφυεῖ φλοιῷ κύκλοθεν περιβάλλει ὡς οἷόν τε τὴν πληγὴν ἐξιάσασθαι· καὶ ἁπλῶς ἅπαντα πρὸς τὴν ἑνεκάτε πρόθεσιν ἀφορᾷ.

Ἵνα γοῦν ἐπανέλθῃ τὰ πάντα πρὸς τὴν ἀρχαίαν βελτίω καὶ τὸν θεῖον σκοπὸν, διὰ τέτο γεννᾶται Παρθένος πρωτότοκος, ἡ τεχομένη τὸν πρωτότοκον πάσης τῆς κτίσεως. ἵν' ὡς ἐκ παρθένε γῆς ὁ πρῶτος Ἀδὰμ διεπλάσθη τὸ κατ' ἀρχὰς, ἕτω διὰ παρθένε μήτρας πραγματοθῇ πάλιν αὐτῷ ἡ ἀνάπλασις. Ἐπεὶ γὰρ, ὡς ὁ λόγος, ἡ τῶν ἀνθρώπων πρώτη διάπλασις ἐκ γῆς παρθένε δεδημιούργητο, ἠφάνισε δὲ τὸ προσφυὲς ἀξίωμα ἡ ἁμαρτία ὑπεισελθῦσα, καὶ σωτριβλὶ ἐχάτλι ἐργασαμένη· εὐδόκησε πάλιν ὁ τῶν ὅλων Θεὸς τὴν ἀνάπλασιν πάντων ἐκ Παρθένε σοφῶς ἐπιδείξασθαι, ἵνα νέος Ἀδὰμ γενόμενος ἐξ αὐτῆς, τὸν παλαιὸν Ἀδὰμ ἀνασώσηται. Καὶ ἵν' ὥσπερ

τότε πλευρὰν ἄπορον εἰς διάπλασιν, ὁ Προπάτωρ ἔχρησε τῇ Προμήτορι· ἔτως ἀντ' αὐτῆς ἡ ταύτης θυγάτηρ τὸ χρέος ἀποδιδῶσα, ἐκ τῶν αὐτῆς παναγνων αἱμάτων, ἄπορον σάρκα δανείση τῷ νέῳ Ἀδὰμ, εἰς ἀνάπλασιν τῆ ταύτης Προπάτορος. Οὗ δήπε χάριν μόνη γυναικῶν ἐξελέγη ἡ τῆ Θεῆ μητρόπολις, ἡ ἀειπάρθενος Μαριάμ· τῇ παρθενικῇ γὰρ ταύτης θελχθεὶς ὡραιότητι ὁ Βασιλεὺς τῆς δόξης καὶ πάντων Δημιουργὸς, καὶ ἐν τῷ θελήματι αὐτῆ το κάλλος ταύτη παραχόμενος ἄφραστον, ὡς ἄμωμον Νύμφιω ταύτιω ἡρμόσατο ἑαυτῷ.

Καὶ τῆτο ἰδὲ ἑορτάζομεν σήμερον, τῆς τῆς Σωτηρίας ἡμῶν ἀπαρχῆς τιὼ ἐξ ἀκάρπε ῥίζης ἀνατολιὼ. τῆς ςειρώσεως Ἄννης τιὼ λύσιν· τῆ θεῖε Ἰωακεὶμ τιὼ τεκνογονίαν· τιὼ Γέννησιν τῆς προορισθείσης πρὸ τῶν αἰώνων Μητρὸς τῆ Θεῆ, καὶ ἐπ' ἐχάτων τῶν χρόνων ἐκ ςειρευόσης νηδύος ἀναφανείσης ἡμῖν· τῆς οἰκοδομηθείσης μὲν ἐκ πλευρᾶς τῆ Ἀδὰμ, τῆς τῆ Ἀδὰμ δὲ πλευρᾶς τὸ παράπτωμα διὰ τῆς γεννήσεως αὐτῆς ἰωμένης τὸ τήμερον. Ταύτης καὶ γὰρ ἡ παρῆσα πανήγυρις, λαμπρὰ κατὰ πάσης πανηγύρεως ἀποφέρεται τὰ πρεσβεῖα. ὥσπερ γὰρ τιὼ ῥίζαν κλάδων, καὶ ςελέχων, καὶ ἀνθέων, καὶ καρπῆ αἰτίαν γινώσκομεν· καὶ ἐδὲν τέτων δίχα τῆς ῥίζης ἐκφύεται· εἰ καὶ τῆ καρπῆ χάριν, καθὰ καὶ φθάσαντες ἔφημεν, ἡ περὶ τὰ λοιπὰ σπεδὴ πέφυκεν· ἔτω τῆς ἑορτῆς ταύτης ἄνευ, ἐδεμία τῶν ἐξ αὐτῆς φυεισῶν ἐπιφαίνεται.

Καὶ σκοπῶμεν· Πεντηκοςὴ γὰρ, ὅτι Ἀνάληψις· Ἀνάληψις δὲ, ὅτι Ἀνάςασις· Ἀνάςασις δὲ, ὅτι Σταύρωσις· Ἡ δὲ, ὅτι Θαύματα· ταῦτα δὲ, ὅτι Βάπτισις, κἀκείνη, ὅτι Ὑπαπαντὴ· ἡ δὲ, ὅτι Γέννησις· Γέννησις δὲ, ὅτι Εὐαγγελισμὸς· Εὐαγγελισμὸς δὲ, ὅτι ἐν τοῖς τῶν Ἁγίων Ἁγίοις Εἴσοδος· αὕτη δὲ πάντως, ὅτι Γέννησις τῆς Δεσποίνης ἡμῶν Θεοτόκε ταύτης ἠγήσατο. Κἀκεῖνο δὲ ἐπισημήνασθαι ἄξιον, ὅτι Ἀρχὴ μὲν Ἑορτῶν ἡ τῆς τῆ κόσμε Κυρίας Γέννησις εἰκότως ἂν λέγοιτο· Ἔςι καὶ γὰρ, ὅτι πρώτη

τὴ μετὰ τὰς Νομικὰς καὶ σκιώδεις· καὶ εἴσοδος πασῶν τῶν πρὸς τὸν χάριν καὶ τὸν ἀλήθειαν, μειζόνων ὡσαύτως τε καὶ ἡττόνων. Ἀρχὴ δὲ καὶ ἄλλως, ὅτι πρώτη παρ' ἡμῖν τῶν τῇ ἐνιαυτῇ ἑορτῶν, ἐν τῷ καθ' ἡμᾶς πρώτῳ τελεῖται Μηνὶ. ὥσπερ ἄρα ἡ Κοίμησις ταύτης ἐν τῷ ὑστέρῳ, πασῶν τελευταία τῶν Δεσποτικῶν ἑορτῶν ἑορτάζεται ἐκ ἀλόγως. Τῇ γὰρ τῆς Δεσποίνης Γεννήσει εἰκότως συνεισέρχεται καὶ τὸ ἔτος· καὶ τῇ ταύτης Μεταστάσει συγκαταλήγει· ἵνα καὶ αὐτὸ τὸν προσκήκεσαν ἐκπληρώσῃ δορυφορίαν, τοῖς τῆς Βασιλίδος κινήμασι δεδεῦον, καὶ παρεπόμενον.


Καὶ Ὅραμοι κἀνταῦθα, ὡς καὶ ἐπὶ πάντων τῶν Θείων πραγμάτων, θαυμασίαν τινα καὶ ξένην οἰκονομίαν. Ἐπεὶ γὰρ ἔμελλε χρονικῶς ἐκ παρθένου γεννᾶσθαι ὁ παντάνακτος Λόγος, τοῦτο δὲ τέως τῶν ἀδυνάτων ἐδόκει· πιστέμενος λοιπὸν τοὺς τοῦτο μέλλοντας ἀπιστεῖν, ἐξ ἀκάρπου ῥίζης, καὶ στείρας ἀγόνου, καὶ πέτρας ὡς εἰπεῖν στερρᾶς, εὐδόκησε τὸν ἑαυτῇ Μητέρα προγεννηθῆναι· ὃ καὶ παράδοξον ἦν, καὶ πρόδρομον ἀντικρυς τῆ δευτέρᾳ· τὸ γὰρ μήτραν ἄγονον γραὸς καρποτονῆσαι ἤδη προβεβηκυίας, καὶ τῶν Φυσικῶν αὐτῇ νεκρωθέντων ὀργάνων, ἐγγὺς ἐστὶ τῆ παρθένον τεκεῖν. καὶ ἵνα δείξῃ ὅτι τὰ παλαιὰ ἦλθεν ἀνακαινίσαι· καὶ τὸν Φύσιν τὸν ἡμετέραν, στεῖραν οὖσαν τὸ πρότερον, ἀγαγεῖν εἰς καρποτονίαν· τὸν τε γεγηρακότα κόσμον, καὶ σὺν αὐτῷ τὸν παλαιωθέντα Ἀδὰμ διὰ τῆς καινῆς κτίσεως ἀναπλάσαι· Ἀμέλει ὁ προσάγματι ποτὲ τὴν ἄνυδρον πέτραν ὑδροτόκον γενέσθαι ποιήσας, αὐτὸς καὶ νῦν τὴν στεῖραν Ἄνναν, παιδογόνον ἐκέλευσε παρ' ἐλπίδα πᾶσαν ἀναδειχθῆναι μητέρα· καὶ ὅ, νεότητος ἀκμὴ, καὶ Φύσεως ἐκ ἴσχυσε δύναμις, τοῦτο γῆρας ῥωσθὲν τῷ Πνεύματι ὑπὲρ Φύσιν εἰργάσατο. Οὐκ ἀδυνατεῖ γὰρ πᾶν ῥῆμα παρὰ τῷ Θεῷ· Πάντα δὲ δεδεῦει καὶ εἴκει τῷ Θείῳ Προσάγματι· καὶ ἐκ ἂν εἴη Θεία, εἰμὴ παράδοξα φαίνηται καὶ ὑπὲρ Φύσιν τὰ πράγματα.

Ἐκ

Ἐκ τῆ τῶν Ἑβραίων δὲ γένες, καὶ ἐξ ὀσφύος τῆ Ἰωακεὶμ, καὶ τῶν τῆς Ἄννης λαγόνων, ἐξ ἐπαγγελίας προελθεῖν ἠρετίσατο ταύτην· ὅτι πάντων τῶν ἐθνῶν μόνοι Θεοσεβεῖς οἱ Ἑβραῖοι τότε ὑπῆρχον. Πασῶν δὲ τῶν Ἑβραϊκῶν Φυλῶν Ἱερατικὴ μόνον ἡ τῆ Λδὶ· Βασιλικὴ δ' αὖ μόνη ἡ τῆ Ἰούδα ἐτύγχανεν. Ἐπεὶ ἦν ὁ μέλλων ἐξ αὐτῆς σαρκοῦσθαι Δεσπότης, αὐτὸς μόνος ἦν Ἀρχιερεὺς Ἀρχιερέων, καὶ Βασιλεὺς Βασιλέων· Εἴλκε δὲ τὸ γένος, ὁ μὲν Ἰωακεὶμ ἐκ φυλῆς τῆ Ἰούδα, ἡ δέγε Ἄννα ἐκ τῆς Λδὶ· καὶ πάντας τὲς τότε τῇ περισσίᾳ τῆς ἀρετῆς ὑπερέβαλον· Διατῆτο ἐξ αὐτῶν τῆ εὐσεβῆς ἆρα γένες καὶ ἱερατικῆ καὶ Βασιλικῆ καὶ Ἁγίε, τὴν ἑαυτῆ Μητέρα γεννηθῆναι εὐδόκησεν. Ἐχρῆν γὰρ, ὥσπερ ἐκ σωφροσύνης, τὴν παρθενίαν βλαστῆσαι· μᾶλλον δ' ἐκ σωφρόνων τῶν παρθένων τὸ καύχημα, καὶ ἐκ Προφητῶν τὴν Προφήτιδα, καὶ ἐκ Πιστῶν τὴν τῆς Πίστεως πρόξενον· Οὕτω καὶ ἐξ αἵματος Βασιλικῆ τὴν Βασιλίδα, καὶ ἐξ Ἱερατικῆ τάγματος, ὡς Ἱερωτάτην, καὶ ζεύγες Ἁγίε ὡς ὑπεραγίαν καὶ ἄζυγα προελθεῖν.

Ἔτι, ἐπείπερ τὸ μὲν ΙΩΑΚΕΙΜ ὄνομα, ΘΕΟΣ ΙΑΤΡΟΣ· Τὸ δὲ ΑΝΝΑ, ΧΑΡΙΣ· Τὸ δὲ ΜΑΡΙΑ, ΚΥΡΙΑ σημαίνει, κατὰ τὴν Πάτριον τέτοις διάλεκτον· Τὸ δὲ τῶν ἀνθρώπων γένος νενοσηκὸς, ὁ τῶν ὅλων Κύριος ἰατρεύσας παρεγένετο διὰ τῆς Κυρίας, ἐκ τῆ ΘΕΟΣ ΙΑΤΡΟΣ καλεμένε, καὶ τῆς αὐτῆ Συζύγε τῆς ΧΑΡΙΤΟΣ, ταύτην τὴν ΚΥΡΙΑΝ ἀπάντων παρήγαγεν. Ὡς δὲ καὶ μέλλεσαν ὅσον ἔπω μόνην αὐτὴν ῥύεσθαι ἐκ ἅπαντας (τῆ) μισοκάλε, ΜΑΡΙΑΜ, ἐχ ἑτέρως ταύτην ὀνομαθῆναι προπαρεσκεύασε. Καὶ σιγῶ φάναι τὸ χάριεν, ὅτι Κύκλε, Τετραγώνε τε, καὶ Σταυρῆ ἰδιώματα πλεῖ ἐν ταυτῷ μόνον τῶν ὀνομάτων, ὠδέπως νοεμενον καὶ γραφόμενον, τὸ ταύτης ὑπέρτιμον Ὄνομα. Εἴπερ Κύκλε μὲν ἴδιον, ὅθεν ἤρξατο λήγειν· Τετραγώνε, δὲ, τὸ πάσας τὰς ἐν αὐτῷ γωνίας (*) ἴσας ἀλλήλαις εἶναι· Σταυρῆ δὲ, τὸ τὰ ἑαυτῆ ἄκρα πάντα τηρεῖν ἀνυπάλακτα, καὶ ταυτά.

ΜΑΡΙΑ



Ἀλλὰ ταῦτα μὲν, σκοπεῖν ἑτέροις παρείθω· Ἡμεῖς δὲ τὲς ταύτης Γεννήτορας μακαρίσωμεν. Ὦ μακαρία ξυωρὶς· Ὦ δυὰς Ἱερά· Ὦ ζεῦγος Ἅγιον, Ἰωακείμ τε καὶ Ἄννα· Ὁ μὲν, ὡς τὶω τὲς Προπάτορας μεγαλώσασαν ἅπαντας γεννήσας τῷ κόσμῳ ἐν ἐκάτοις καιροῖς· Ἡ δὲ, ὡς ἁπάσας Μητέρας νικήσασα, πλὴν τῆς σῆς θυγατρὸς. Ὅτι σὺ μὲν, ἀποδειχθεῖσα Μήτηρ μονογενὲς θυγατρὸς ἐκέτι μενεῖς, ἐδὲ κληθήσῃ ἔφερα· Ἡ δὲ, ἀνάνδρως τεκοῦσα τὸν Μονογενῆ Θεῦ Λόγον, ἀειπάρθενος ἔσῃ εἰς τὲς αἰῶνας. Μακαρία λοιπὸν ἡ κοιλία σε, ἡ τὸν ἔμψυχον καὶ λογικὸν ἐρανὸν, τὸν καὶ τῆς τῶν Οὐρανῶν εὐρυχωρίας πλατύτερον ἀῤῥήτως κυοφορήσασα! Μακάριοι οἱ μασθοί σε, οἱ θηλάσαντες πλὴν θρέψασαν τὸν τῦ κόσμε τροφέα καὶ Κύριον! Μακάριαι αἱ χεῖρες σε, αἱ βαστάσασαι πλὴν βαστάσασαν τὸν τὰ πάντα βαστάζοντα!

Ἀλλὰ πῶς μὲν ἐ γέγονεν ἄλλη Θεῦ Μήτηρ, φησί; τίνα δὲ καὶ ἀρετὶω εἶχεν αὕτη, δι' ἣν ἁπασῶν προτετίμηται; Ἄλλη μὲν ταύτης ἐκ ἐξελέγη, ὅτι πάσας προγινώσκων ὁ Θεὸς, πλὴ μέλεσαν καθαρωτέραν ἔσεθαι τῶν λοιπῶν ἐκ μήτρας ἡγίασεν· Ἀπεβάλετο δὲ πάσας τὰς εἰς τῦτ' ἀναξίας, ὥσπερ εἰκός. Ἀρετὶω δὲ πλὴ πασῶν ὑπερτέραν ἐκέκτητο, τὸ προκαθαρθῆναι τῷ Πνεύματι, καὶ δοχεῖον ἑτοιμαθῆναι χωρητικὸν τῆς θεότητος· ὦ θαῦμα γοιῦ! Πῶς ἀ τοῖς ἀπεγγόνοις τῶν υἱῶν τῦ Ἀδὰμ, ἡ μήτηρ γεννᾶται τῦ ἐκ γῆς τὸ κατ' ἀρχὰς αὐτὸν πλασεργήσαντος! καὶ ἡ ἡπατημένη τῇ τῦ ὄφεως βελῇ κατὰ γένος, τῦ Δημιεργῦ ἔναι Μήτηρ ἠρέθη! καὶ τὸ τῆς κατάρας ὄργανον, εὐλογίαν εἰσάγει! καὶ τῦ θανάτε ἡ πρόξενος,

ζωῆς

ζωῆς αἰτία γίνεται τῷ κόσμῳ παντί! Διὰ γυναικὸς πάλαι τὰ φαῦλα ἐρρύη, καὶ διὰ γυναικὸς ἰδὲ τὰ κρείττονα ἤγγικεν· Ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτῆς ἀποθνήσκομεν πάντες· καὶ πάλιν διὰ γυναικὸς ἀρχὴ σωτηρίας, καὶ διὰ τῆς εὐλογημένης ἐν γυναιξὶν ἀνεζήσαμεν ἅπαντες. Τοιγὴν τοι καὶ γυναῖκες ἐγκαυχῶνται, καὶ ἀξιοῦσι πρωτεύειν, εἴς γε τοῦτο τὸ μέρος, ἡμῶν τῶν Ἀνδρῶν, ὡς ἡκόντων ἄρ' ἐξ αὐτῶν ἡμῖν τῶν τῆς σωτηρίας· καὶ γεγήθασι, καὶ βρενθύονται κατὰ τοῦτο. Ἦλθε γὰρ ἡ τιὼ λύπιν αὐτῶν ἀφανίσασα, καὶ τιὼ χαρὰν ἀποτέξασα. Στασιάζουσιν αἱ Παρθένοι πρὸς τὰς Μητέρας, ἅτε παρθενικιὼ πανήγυριν ἑορτάζουσαι· Αἱ Μητέρες πρὸς τὰς Παρθένας φιλονεικοῦσιν, ὡς καὶ Μητρὸς γενομένης Μητροπαρθένε, τῆς, περὶ ἧς ποιοῦνται τιὼ ἔριδα. καὶ ἀμφοῖν ὅλῃ καρδίᾳ, ὅλον ἑκάτερα τὸ κοινὸν ἰδιώσασθαι.

Μὴ τῶν Γυναικῶν ἐν τούτῳ, ἤπτες φανῶμεν οἱ Ἄνδρες ἡμεῖς· Εἰ γὰρ καὶ τοῦ κατ' ἀξίαν ἐκπίπτομεν ἅπαντες τῇ γε μιὼ προθυμίᾳ τὸ πλέον ἄλλος ἄλλε κτᾶσθαι ἀμβάσωμεν, καὶ προαιρέσεως τόνῳ τὸ νικᾶν ἀλλήλες πειρώμεθα, ἐ θράσες ἀλαζονίᾳ, ἀλλὰ πόθε περισσίᾳ τοῦτο τολμᾶν βιαζόμενοι. Ἐπεὶ καὶ κοινιὼ ἅπαιτεῖ τιὼ εὐχαριστίαν, τὸ τῆς σωτηρίας παγκόσμιον, κἂν τῷ ἀνεκδιηγήτῳ τῆς ὑμνεμένης, τῶν μεγαλείων τὸ ταύτης ὑπερέχον ἀνακηρύττωμεν. Προσάξωμεν καὶ ἡμεῖς δῶρα ἐπάξια τῇ τοῦ Λόγε Μητρί. Παιδὸς ἀειπαρθένε τελοῦμεν Γέννησιν σήμερον, Παιδὸς Βασιλίδος, Παιδὸς Προφήτιδος. Εἴπωμεν αὐτῇ δηλικῶς. Χαῖρε κεχαριτωμένη· ἀπάρτι ὁ Κύριος μετὰ σοῦ. Δεδόξασαι ἡ Γέννησις· ἐθαυμασώθη ὁ βίος· Εὐλόγηταί σε τὸ ὄνομα. Εὐφράνθητι ἐπ' αὐτιὼ Οὐρανέ. χόρευσον γῆ, σκίρτησον θάλασσα· Ἐπαινέσατε αὐτιὼ Πατριάρχαι· ὐφημήσατε οἱ Προφῆται· μεγαλώσατε οἱ Γενάρχαι· ὑψώσατε ἅπαντες. Τιμήσωμεν ἔργῳ καὶ αὐτοὶ τιὼ ἡμέραν· μηδὲν παραλείψωμεν τῶν εἰκότων· γενώμεθα ὑπόθεσις ἑορτῆς· μᾶλλον δὲ

δὲ ἕκαστος ἡμῶν καθ' ἑαυτὸν ἑορτή· καὶ ἀποδῶμεν δεόντως, ἅ γε ἡ σήμερον Πανήγυρις ἀπαιτεῖ. Ἔσαι δὲ τοῦτο πῶς; Ψυχή, ἤθα σείρα καὶ ἄκαρπος, καὶ μηδὲν τέκνον γεννῶσα ζωῆς ἄξιον καὶ φωτός; ἀπάρτι ἐν τῇ γαστρὶ λάβε εὐθέως τὸν Φόβον τὸν Δεσποτικόν· καὶ πνεῦμα σωτηρίας σεαυτῷ ἀπογέννησον· καὶ θρέψον τὸ τέκνον, καὶ αὔξησον τῇ μέχρι τῆς Τριάδος ὀρθῇ δόξῃ ἐν πράξει καὶ Θεωρίᾳ· Καὶ τοῦτο ἀπόδος τῷ Κυρίῳ ἀνάθημα, ὥσπερ ἄρα Ἰωακεὶμ καὶ ἡ Ἄννα τὴν γεννηθεῖσαν αὐτοῖς θυγατέρα προσήγαγον.

Ἀλλὰ σὺ Παρθένε καὶ Μῆτερ, Θυγάτηρ Ἀδὰμ, καὶ Μήτηρ τοῦ Θεοῦ Μητροπάρθενε, ἡ παραδόξως τεχθεῖσα, καὶ ὑπὲρ λόγον τεκοῦσα· ἡ ῥάβδος τοῦ Ἀαρὼν, ἡ ῥίζα τοῦ Ἰεσσαὶ, τὸ σκῆπτρον τοῦ Δαυὶδ, τὸ τῆς ἀρετῆς γέννημα, τὸ τῆς νηφαλίας τοῦ Ἰωακεὶμ βλάστημα, καὶ τῆς δεήσεως Ἄννης τὸ Ἱερώτατον ἄνθος. Τῶν Ἀγγέλων τὸ θαῦμα, τῶν ἀνθρώπων τὸ κράτος, ἡ τοῦ γένους εὐγένεια· Ἣν προγνοὺς ὁ τῶν ὅλων Θεὸς ἀξίαν, ἠγάπησεν· ἣν ἀγαπήσας προώρισε, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων εἰς τὸ εἶναι παρήγαγε, καὶ Θεοτόκον Μητέρα, καὶ Τιθιωὸν τοῦ ἰδίου Λόγου ἀνέδειξε. Τῷ σκαμβῷ καὶ πεπωρωμένῳ ἡμῶν καρδίαν ἐπίστρεψον. καὶ εὐθυώσασα ἱλάριωον, πρὸς πᾶν εὐθὲς καὶ σωτήριον. Τῷ τε ψυχικῷ ἡμῶν σείρωσιν εἰς ἀγαθὸν καρποφορίαν μετάγαγε· καὶ τῷ Τρισσῷ φωτὶ τῆς ὑπερφώτε Τριάδος ἐντεῦθεν λαμπρύνασα, τύτε μετόχες γενέσθαι κἀκεῖσε ἐν τῷ μέλλοντι αἰῶνι ἀξίωσον· Ἐν αὐτῇ, ᾗ πρέπει δόξα, κράτος, Τιμὴ, καὶ προσκύνησις, εἰς ἅπαντας τοὺς αἰῶνας· Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ
ΛΟΓΟΣ ΕΤΕΡΟΣ·
εἰς τὴν Γέννησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκε.

Πάλιν ἡμῖν τῆς Θεοτόκε Πανήγυρις· Πάλιν ἑορτὴ Παμφαὴς· Πάλιν ἡμέρα χαρμόσυνος. Ἐπαινετέα ἡ τάξις, ὅτι ὥσπερ λήγοντος τῦ ἐνιαυτῦ, ἡ μακαρία λῆξις· ἔτως ἀρχομένε πάλιν, ἡ Γέννησις τῆς Γεννητρείας τῦ Ποιητῦ τῶν χρόνων, γνωρίζεται καὶ τελεῖται. Ἐκεῖ ἄθροισις ἐκ τῶν περάτων τῆς Οἰκεμένης τῶν Ἀποστόλων ἐγένετο· Ἐνταῦθα σωαγωγὴ τῶν Ἑβραϊκῶν φυλῶν, ἐκ πάσης τῆς Ἱερεσαλὴμ ἐγνωρίσθη. Τότε Ἄγγελοι ἐθαύμαζον τὴν Μετάσασιν τῆς Θεοτόκε, πῶς παραδόξως ἀνέση (*) καὶν τάτῳ τὸν Υἱὸν αὐτῆς μιμεμένη· νῦν δὲ ἄνθρωποι ἐκπλήτονται τὴν τῆς Παρθένε Γέννησιν, πῶς ἐκ σείρας τῆς ἀκάρπε ὑπὲρ Φύσιν γεγέννηται· Ἐκεῖ ἐκ τάφε ἀνάσασις, καὶ Ἀνάληψις εἰ ταὐτῷ· ἐνθάδε ἐκ μήτρας ἀκάρπε προέλθσις, καὶ παγκόσμιος τῆς Δεσποίνης ὑποδοχή. Ἐπεὶ γὰρ ὁ Θεὸς κατ' ἀρχὰς, νοητὸν καὶ ἀίθητον κόσμον δημιεργήσας, εἰς τὸ καὶ εἶναι, καὶ εὖ εἶναι τὰ πάντα, ἐβέλετο καὶ τὸν ἑαυτῶν Ποιητὴν γινώσκειν ὡς χρὴ. Ὡς δὲ τῶν μὲν Ἀγγέλων τινὲς τραπέντες τῆς ἀληθείας ἐξέπεσον ἐκ τῶν ἐρανῶν, καὶ τὲς ἀνθρώπες δὲ ἔτοι ἀπατήσαντες ἀπὸ τῆς ζωῆς εἰς θανάτε πύλας κατήγαγον·

(*) Τὸ μετέση ὧδε συνηθέσερον, ἢ τὸ ἀνέση· ὥσπερ καὶ ἡ Μετάσασις, ἀντὶ τῆς Ἀναστάσεως. Μάρτυς δὲ αὐτὸς ἡμῖν ὁ Βρυέννιος, ἐν τῇ Β'. τῶν αὐτῦ ἐπισολῶν, ἰῶ Νικήτᾳ ἔγραφε τῷ Μυρσινιώτῃ περὶ τάτε ζητήσαντι, ἀποφαντικῶς λέγων „Ὅτι ἡ πάντων Κυρία Θεοτόκος, μετέση μὲν, ἐκ ἀνέση δέ.

γον· πλαγχνισθεὶς λοιπὸν πάλιν, ἄλλον κατεσκεύασεν ἐρανὸν ἔμψυχόν τε καὶ λογικὸν, ὥστε διὰ τούτου καὶ ἀνθρώπους εἰς ἐπίγνωσιν ἑαυτοῦ, καὶ Ἀγγέλους (*) εἰς ἀτρεψίαν τοὺς μήπω πεσόντας ῥυθμίσηται. Καὶ ἔστιν Οὐρανὸς ἀληθῶς ἡ ὑπερτέρα τῶν Ἀγγέλων, καὶ τῶν ἐρανῶν ὑψηλοτέρα ἡ Μαριάμ. ὅτι πᾶσαν τὴν γῆν περισκέπει, καὶ ἑπτὰ χαρίσμασιν Ἁγίοις, ὡς Οὐρανὸς τοῖς φωστῆρσι κατακοσμεῖται, καὶ εἰς πᾶσαν τὴν γῆν κηρύττεται. καὶ ἐξ αὐτῆς ἡμῖν ὁ τῆς δικαιοσύνης ἀνέτειλεν Ἥλιος· Ἀνατολὴ αὐτῷ ὄνομα. καὶ ὅτι οὐ οἱ ἐρανοὶ οὐκ ἐχώρησαν, τὸν ἀχώρητον παντὶ, αὕτη μόνη χαρῆσαι ἠξίωται.

Ἔχω δὲ εἰπεῖν, ὅτι ἐπειδὴ βεληθεὶς τῆς Εἰδωλολατρείας ἀποσῆσαι τὸ τῶν Ἑβραίων γένος, παρέδειξεν αὐτοῖς τὴν τῆ Μαρτυρίᾳ Σκηνὴν, οἷον τινα ἐπίγειον Οὐρανὸν· ὡς εἶδεν ἐκ ὠφεληθέντας, λοιπὸν ἔμψυχον αὐτοῖς Σκηνὴν ᾠκοδόμησε τὴν Παναγίαν Παρθένον, ἵνα μὴ μόνον Ἑβραίοις, ἀλλὰ καὶ πάντα τὰ ἔθνη ἐκ τῆς εἰδωλολατρείας πρὸς ἑαυτὸν ἐΦελκύσηται. Καὶ αὕτη ἐστὶν ἡ Σκηνὴ ἡ ἀληθινὴ, ἣν ἔπηξεν ὁ Κύριος, καὶ ἐκ ἄνθρωπος. Προσέτι δὲ, ἐπεὶ Ναὸν ᾠκοδόμησε διὰ τῆ Σολομῶντος, ξενίζοντα πᾶσαν τὴν οἰκεμένην χεδὼν, καὶ εἰς ἀνάμνησιν τῆς θεατὰς ἄγοντα τῆ Οὐρανίᾳ Ναῷ· οἱ δὲ ἔμειναν ἀναιδητῆντες· Εὐδόκησε λοιπὸν ἑαυτῷ οἶκον Ἅγιον οἰκοδομῆσαι καὶ ἀκατάλυτον, ὥστε τὸν πρότερον, καὶ τὸν ἄρτι, καὶ τὸν μετέπειτα διὰ τῆδε ἁγιάσαι καὶ ἀνασώσασθαι. Τοῦτο γοῦν τὸ ὑπερθαύμαστον θαῦμα θελήσας ὁ Παντεργάτης Λόγος ἐνδείξασθαι, τὸν Ναὸν, τὴν Σκηνὴν, τὸν Οὐρανὸν τόνδε τὸν ἀξιάγαστον, ἐξ ἀκροτόμου πέτρας τῆς Θεομήτορος Ἄννης εἰργάσατο· Πέτρα γὰρ λῷ ἡ ἐκείνης ἄγονος μήτρα σαφῶς· Ἐχρῖῶ γὰρ τῷ μέλλοντι ἐξ αὐτῆς

(*) Ξένος τις ἡμῖν ὁ λόγος ἔτος προσπίπτει, ὁ τῆς περὶ τοὺς Ἀγγέλους Οἰκονομίας· Τῷ Ἀποστόλῳ μάλιστα τρανῶς ἐκδιδάξαντος, τὸ: Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται κτ. Πρὸς Ἑβρ. Κεφ. Β. 16.

τῆς σαρκῦθαι Λόγῳ, θαύμασι ξένοις καὶ τιὼ τῆς Μητρὸς αὐτῦ Γέννησιν κατακοσμῆσαι, ἐχ ἁπλῶς καὶ κατὰ φύσιν, ὡς ἄντις εἴποι, συμβαίνσαν, ἀλλὰ θείᾳ οἰκονομίᾳ ταύτιω ἐνεργεμένιω, καὶ ὑπὲρ λόγον. Εἰ γὰρ ἀκόλεθα, καὶ τῶν εἰς ἀνθρωπίνιω φύσιν ἥκοντα, καὶ μὴ παράδοξα κᾶν ταύτῃ καὶ πρὸ ταύτης ἐκαινεργήθη, τίνι τῶν πολλῶν διέφερε ἄν; Ταύτῃ τοι καὶ μέλλων αὐτὸς ὅσον ἔπω ἐκ Παρθένε γαννᾶθαι, ἐκ σείρας τιὼ ἑαυτῦ Μητέρα γαννηθῆναι ἠυδόκησεν. ἐντεῦθεν πισέμενος τὲς ἀπισεῖν μέλλοντας, τιὼ τοιαύτιω αὐτῦ καὶ ἄῤῥητον γέννησιν. Τὸ γὰρ μήτραν ἄγονον γραὸς καρπογονῆσαι, ἐξάρε τε καὶ προβεβηκυίας, ἐγγὺς ἐςὶ τῦ Παρθένον τεκεῖν. Καὶ μάρτυς ἀξιόχρεως Γαβριὴλ, ὅτε τὸν παράδοξον αὐτῇ τόκον εὐαγγελίζετο ὕσερον, Ἐπαπορῆσαν τοῖς λόγοις ἰδὼν, εἰς πίσωσιν τότων πέμπων αὐτιὼ πρὸς τιὼ Ἐλισάβετ. Ὅπε γὰρ βέλεται Κύριος, τῆς φύσεως ἡ τάξις νικᾶται κατὰ πολύ. Διὸ ἐ μόνον ἑαυτὸν δι' Εὐαγγελισμῦ συλληφθῆναι, καὶ ἐξ ἐπαγγελίας τεχθῆναι, ἀλλὰ καὶ τιὼ ἑαυτῦ Μητέρα προελθεῖν ἔτως ἠυδόκησεν· ἐκ Πατρὸς μόνοι γεγηρακότος, καὶ ἐκ σείρας ταύτιω Μητρὸς· ἵνα δείξῃ, ὅτι τὰ παλαιὰ ἦλθεν ἀνακαινίζειν, καὶ τιὼ φύσιν τιὼ ἡμετέραν, σεῖραν ἔσαν τὸ πρότερον, εἰς καρποφορίαν ἄγειν. καὶ τὸν γεγηρακότα κόσμον, καὶ σὼ αὐτῷ τὸν παλαιωθέντα Ἀδὰμ ἀναπλάτειν βέλεθαι. Ὅν,
» καὶ εὐφραινόμενον εὔκαιρον σήμερον εἰπεῖν: (*) ὁ Πατήρμε
» ἐγέννησέ με ἐκ τῆς Μητρός με, κἀγὼ ἔτεκον τιὼ γυναῖκα με,
» καὶ τὲς υἱές με, καὶ ἐτεθνήκειν· κᾶν τοῖς υἱοῖς τῶν υἱῶν
» με ἐγεννήθη ἡ Μήτηρ τῦ Πατρός με, καὶ τῦ θανάτε
» ἐῤῥύσατό με.

Ἐξ Ἰωακεὶμ δὲ, ὅτι τὸ ΙΩ, Θεός. Τὸ δὲ ΑΚΕΙΜ, Ἰατρὸς, κατὰ τιὼ Σύρων σημαίνει διάλεκτον· Ὁ Θεὸς γοιῶ, Ἰατρεῦσαι θέλων τὸ ἀνθρώπινον ἅπαν διὰ τῆς ἀειπαρ-

(*) Χάριν τὸ Αἰνίγμα· χριστιανοῖς δὲ μόνοις ἐκ πίστεως ἐπιλυθησόμενον.

ἀειπαρθένου Μαρίας, ἐκ τοῦ ΘΕΟΣ ΙΑΤΡΟΣ ὀνομαζομένου τεχθῆναι ταύτην ἠθέλησε. Καὶ ἐκ τῆς Ἄννης δὲ· ὅτι ΑΝΝΑ, χάρις σημαίνει. Τὸ δὲ ΜΑΡΙΑ, Κυρία. Ἔτεκε γοῦν ἡ χάρις τὸν Θεὸν, τὴν Κυρίαν τοῦ κόσμου. Ὦ θαῦμα! Πῶς ἡ ἠπατημένη τῇ τοῦ ὄφεως βουλῇ, τοῦ Δημιουργοῦ γέγονε Μήτηρ! καὶ τὸ τῆς κατάρας ὄργανον, εὐλογίαν εἰσῆξε! καὶ τῷ θανάτῳ ἡ πρόξενος, ζωῆς αἰτία γέγονε τῷ κόσμῳ παντί! τῇ Παρθενικῇ γὰρ ταύτης θελχθεὶς ὡραιότητι, ὁ Βασιλεὺς τῆς δόξης Χριστὸς, ὡς Νύμφην ἄμωμον ἐξελέξατο ταύτην, καὶ ἠρμόσατο ἑαυτῷ. Ἐν γὰρ τῷ θελήματι αὐτοῦ παραχόμενος τὸ κάλλος αὐτῆς ἄφραστον, τὴν καλλονὴν Ἰακὼβ ταύτην ἠγάπησε, καὶ ἠρετίσατο εἰς κατοικίαν ἑαυτῷ. "

Τοῦτο γοῦν ἑορτάζομεν σήμερον. Τὴν τῆς στειρώσεως τῆς Ἄννης λύσιν· τοῦ Ἰωακεὶμ τὴν προθεσμίαν, ἣν ἐξεδέχετο, ἐξ ἐπαγγελίας αὐτῷ ῥηθεῖσαν. Τὴν Γέννησιν τῆς προορισθείσης πρὸ τῶν αἰώνων Μητρὸς τοῦ Θεοῦ, καὶ ἐπ' ἐσχάτων δὲ τῶν χρόνων ἀναφανείσης Θεοτόκου· τῆς οἰκοδομηθείσης μὲν ἐκ πλευρᾶς τοῦ Ἀδὰμ, τὴν τοῦ Ἀδὰμ δὲ, διὰ τῆς γεννήσεως, αὐτοῦ πληγὴν Ἰωμένης. Διὸ ἐπεὶ σωσεκάλεσεν ἡμᾶς ἐν τῇ παρθενικῇ αὐτῆς πανηγύρει ταύτην τιμήσωμεν· Τὴν τῆς κατάρας ἀναίρεσιν, τῆς φθορᾶς τὴν ἀπαλλαγὴν, τοῦ θανάτου τὴν λύσιν, τοῦ σκότους τὴν ἀπολύτρωσιν. Ὑμνήσωμεν αὐτὴν εὐφημοῦντες διὰ λόγων καὶ ὑμνῳδιῶν· δοξάσωμεν αὐτὴν καὶ τοῖς μέλεσιν ἡμῶν σωφρονοῦντες· Ἐπεὶ ταύτην, ὑπὲρ πᾶσαν δοξολογίαν, ἅτε Παρθένος οὖσα, ἡ Θεοτόκος προσδέχεται. Ἣν καὶ ἡμεῖς εὑροιμεν Πρέσβιν πρὸς τὸν Υἱὸν αὐτῆς τὸν Μονογενῆ· Ὅτι αὐτῷ ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

ΟΜΙΛΙΑ ΡΗΘΕΙΣΑ

ΕΙΣ ΤΗΝ

ΣΤΑΥΡΩΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ

ἡμῶν Ἰησῦ Χριστῦ. Ἐρρέθη δὲ τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ.

Πάντων τῶν συμπαρεκτεινομένων τῇ συστάσει τῦ κόσμυ ἐτῶν, τὰ τρία ἐκεῖνα καὶ τριάκοντα ἔτη, ἐν οἷς ὁ Θεὸς Λόγος τὸ κατὰ σάρκα περιεπάτησεν ἐν τῇ γῇ, καὶ ἐκλελεγμένα λίαν, καὶ ἐξαίρετα. Ὅτι τὸ ἄχρονον φῶς τῷ χρονικῷ διαστήματι συμπαρεκτείνετο τότων, καὶ ὥσπερ σωμετρεῖτο. Καὶ τότων πάλιν, τὸ ἔτος ἐν ᾧ πέπονθεν ὁ Χριστός μυ, καὶ χρησιμώτερον λίαν, καὶ ἀναγκαιότερον· ὅτι ἐν αὐτῷ αἱ πλείες θαυματεργίαι, καὶ αἱ μείζυς, γεγόνασι παρ' αὐτῦ, καὶ τῆς οἰκονομίας ὅλος πεπλήρωται ὁ σκοπός· ὧν οὐδὲν ὀνησιμώτερον ποτὲ ἐν τῷ κόσμῳ, οὐτε μᾶλλον ἀναγκαιότερον γέγονε. Πάλιν πασῶν τῶν τῦ ἔτες ὡρῶν, τὸ Ἔαρ ἡμῖν χαριέστατον· ἐχ ὅτι ἐν αὐτῷ τὰ φυτὰ, τὰ ζῶα, οἱ ποταμοὶ, ἡ γῆ, ἡ θάλασσα, ὁ Ἀὴρ, αἱ νεφέλαι, ὁ Ἥλιος, καὶ πάντα ὡραιότερα καθίσαται μόνον· ἀλλὰ καὶ ὅτι ἐν αὐτῷ ἡ Ἁγία Τεσσαρακοστὴ, ἡ Μεταμόρφωσις (*) ἡ τῦ Λαζάρυ ἔγερσις, τὰ Βαΐα, τὰ πάθη τῦ Χριστῦ, ἡ Ἀνάληψις, καὶ ἡ τῦ Ἁγίυ Πνεύματος κάθοδος πέπρακται. Ἔτι πάντων Μιωῶν προτιμητέος ὁ Μάρτιος, ὅτι ἐν αὐτῷ γέγονε μὲν ὁ Οὐρανὸς, καὶ ἡ γῆ, καὶ τὰ ἐν αὐτοῖς ἅπαντα· τὸ Φῶς, τὸ ὕδωρ, τὸ

(*) Τίνι λόγῳ τιὼ τῦ Λαζάρυ ἔγερσιν, καὶ πολλῷ μᾶλλον τιὼ πρὸ ταύτης τῦ Κυρίυ Μεταμόρφωσιν, ἐν ἅγιος ὤφη γεννέσθαι ὑπέλαβεν ὁ Βρυέννιος, εἰκότως ἄντις θαυμάσειεν.

τὸ σερέωμα, ὁ Ἥλιος, ἡ Σελήνη, τὰ ἄστρα, τὰ ζῶα, τὰ φυτὰ, καὶ τελευταῖος ὁ ἄνθρωπος κατ' ἀρχάς. Καὶ ἐν τῇ καινῇ δὲ κοσμοποιίᾳ τῇ καθ' ἡμᾶς, ἐν αὐτῷ ἐπράχθη ἄνευ τῶν παρεκτὸς, ὁ Εὐαγγελισμὸς, τὸ μυσικὸν δεῖπνον, ἡ Σταύρωσις τῦ Κυρίε, ἡ ταφὴ, ἡ εἰς Ἅδε κάθοδος, ἡ Ἀνάστασις, καὶ ἡ ἐμφάνεια μετὰ τὴν Ἀνάστασιν. Πρὸς τέτοις, πασῶν μὲν τῶν τῦ ἐνιαυτῦ ἑβδομάδων, αὕτη ἡ ἁγία καὶ Μεγάλη Ἑβδομὰς, ἅτε πολλὰ τῶν Μυτηρίων ἐν ἑαυτῇ περιέχεσα, τὴν τῦ παγκάλε Ἰωσὴφ μνήμιν, τὸ εἰς τὴν ξηρανθεῖσαν Συκιὴν ἐπιτίμιον, τὸ περὶ τῆς μελλέσης Κρίσεως τῦ Κυρίε διάγγελμα, τὸ κατὰ τὴν πόρνην πραχθὲν τῦ Μύρε Μυτήριον, τὸ κατὰ Χρισὸ τῶν Ἰουδαίων συμβόλιον, τὸν Νιπτῆρα, τὸν Δεῖπνον τὸν Μυσικὸν, τῆς Καινῆς Διαθήκης καὶ τῆς Νέας ἐντολῆς τὴν παράδοσιν, τὴν προδοσίαν, τὰ πολυειδῆ τῦ Σωτῆρος ἡμῶν πάθη, τὴν ταφὴν, καὶ τὴν Θείαν Ἀνάστασιν. Πασῶν δὲ τῶν τῆς Ἑβδομάδος ἡμερῶν φρικτὴ καὶ φοβερωτέρα, ἡ Ἁγία αὕτη καὶ Μεγάλη Παρασκευή.

ΚΕΦΑΛΑΙΟΝ Α.

Ὅτι Φρικωδεσέρα πασῶν τῶν ἀπὸ τῦ αἰῶνος ἡμερῶν διὰ πολλὰ, ἡ Ἁγία καὶ Μεγάλη Παρασκευὴ πέφυκεν.

Οὐ μόνον ὅτι ἐν αὐτῇ, ἤγουν τῇ ς'. ἡμέρᾳ ἐν ἀρχῇ, καὶ ὁ Παράδεισος ἐφυτεύθη, καὶ ἡ ἐντολὴ δέδοται· ἀλλ' ὅτι καὶ ἐπ' ἐσχάτων ἐν αὐτῇ τῇ ἡμέρᾳ πρὸς Ἄνναν, πρὸς Καϊάφαν, πρὸς Πιλάτον, πρὸς τὸν Ἡρῴδην, καὶ πάλιν πρὸς τὲς Ἀρχιερεῖς, καὶ πρὸς τὸν Πιλάτον δεδεμένος ἀπήχθη ὁ Κύριος. Καὶ ὅτι ἐν αὐτῇ παρεδόθη δολίῳ φιλήματι, ἐδέθη, ἐρραπίσθη πρὸς δάλε, εἰλκύσθη, ἠλεγκτάγ πλάνος, κακοποιὸς ἀντάρτης καὶ ἀντίθεος ἤκεσεν, ἐνεδύθη πορφύραν ἐμπαικτικῶς, κάλαμον ἔλαβεν, ἐσεφανώθη ἀκάνθαις, ἐρραπίσθη πρὸς πολλῶν αὖθις πολυειδῶς, ἐκολαφίσθη, ἐτύφθη τῷ καλάμῳ τὴν κορυφὴν, ἐνεπλύ-

θη τὸ πρόσωπον, ἐνεπαίχθη, προσεκυνήθη ἐχ ὡς ἐχρῆν, καὶ ἐμαστίχθη τὸν νῶτον ἐπὶ γυμνῆ. Τέλος, ἐμαρτύρησε τῇ ἀληθείᾳ. Ἐφραγγελώθη, χοινίῳ ἐδέθη, ἐβάσασε τὸν Σταυρὸν, κατεκρίθη, ἐσαύρωται, κατεμυκτηρίθη, ἐμερίθη τὰ ἱμάτια, καθημάχθη τῷ οἰκείῳ αἵματι ἐν τῇ μασιγώσει, καὶ τῇ σεφανώσει, καὶ τῇ προσηλώσει. Ἐσμυρνισμένε οἴνε ἐγεύσατο, διὰ καλάμε πάλιν καὶ ὑσσώπε χολὴν καὶ ὄξος ἐποτίθη παρὰ πολλῶν· ἐβάπτισε τλὼ τῆ Ἀδὰμ, μᾶλλον δὲ τλὼ τῆ γένες ἡμῶν κεφαλλώ· Ἔσωσε τὸν Λησλὼ, προσηύξατο ὑπὲρ τῶν ἀγνωμόνων. παρέδωκεν εἰς χεῖρας τῆ ἑαυτῆ Πατρὸς τλὼ ψυχλὼ, ἀπέθανεν, εἰς ᾅδε κατῆλθεν, ἀνύχθη τλὼ πλευρὰν, ἀποκαθήλωσιν ὑπέμεινε· νεκρὸς ὡράθη γυμνὸς, καὶ ταφλὼ ὑπέση, Σμύρνη καὶ Ἀλόη χριθεὶς, Σεδαρίῳ τε καὶ Σινδόνι εἰληθείς.

Καὶ δὴ ἐν ταύτῃ Καϊάφας προεφήτευσεν, (*) Ἡρῴδης κατηγόρησε, Πιλάτος ἀπενίψατο, οἱ Ἰεδαῖοι ἀπηρνήσαντο συκοφαντῆντες τὸν Χρισὸν, οἱ Στρατιῶται διεμάχοντο, οἱ Πρεσβύτεροι ἐβλασφήμεν, οἱ Μαθηταὶ ἔφυγον, ὁ Πέτρος ἠρνήσατο, ἡ γωὴ τῆ Πιλάτε πεφόβηται· ἐσείθη ἡ γῆ, ἐῤῥάγησαν αἱ πέτραι, τὸ καταπέτασμα τῆ Ναῆ ἐχίθη, ἐσκοτίθη ὁ Ἥλιος, ἡ Σελλὼὴ ἐσβέθη, τὰ μνήματα ἰωοίγησαν, νεκροὶ ἐξανέσησαν, Ἄγγελοι ἔφριξαν, Δαίμονες ἔπληξαν, ὁ Θάνατος ἠφάνισαι, ὁ ἑκατόνταρχος ἐπίσευσε, λησὴς ἐθεολόγησεν, οἱ ὄχλοι ἐθαύμαζον, αἱ Μυροφόροι ἐθρλώθν, ἡ Θεοτόκος τέτρωται τλὼ καρδίαν, Ἰωσὴφ ἠτήσατο τῷ Πιλάτῳ τὸ σῶμα τῆ Ἰησῆ, σωήργησε Νικόδημος τῇ κηδείᾳ, καὶ πάντα ἐδονεῖτο καὶ σωεχεῖτο, καὶ ἕτερα μυρία ἐπράχθη, ἅτε λόγω ῥητὰ, ἅτε νῷ καταληπτά. Μεγάλη καὶ φρικτὴ καὶ ἐξαίρετος

(*) Οὐκ ἐν ταύτῃ, ἀλλ᾽ εὐθὺς μετὰ τλὼ Λαζάρε ἐξανάστασιν, ἐξ ἧ καὶ ἡμέραι ἐκ ὀλίγαι παρῆλθοσαν, ἄχρι τῆς ἡμέρας περὶ ἧς ὁ λόγος. Ὅρα Ἰωάν. Κεφ. ιά.

ρετος διὰ ταῦτα ἡ σήμερον, ὑπὲρ πάσας τὰς ἄλλας τῶν ἡμερῶν. (*)

ΤΟΥ ΑΥΤΟΥ
ΕΙΣ ΤΗΝ ΛΑΜΠΡΑΝ ΚΥΡΙΑΚΗΝ
ΠΑΝΗΓΥΡΙΚΟΣ.

Λαμπρὰ σήμερον ἡμῖν ἡ Ἡμέρα, φαιδρὰ ἡ Ὥρα· ἐξαίρετος ἡ Πανήγυρις. Λαμπρὰ ἡ ἡμέρα. Αὕτη γὰρ ἐστὶν ἐκείνη, ἣν ὁ τῆς δικαιοσύνης ἐποίησεν Ἥλιος, ἀνατείλας ἐκ τάφε τριήμερος, καὶ δυὰς εἰς ἑβδομὰς τεσσαρακονθήμερος. Ἐν ᾗ πρὸς τὸ Πνεῦματος ἀγαλλιᾶσθαι καὶ εὐφραίνεσθαι πνευματικῶς προσετάγημεν. Φαιδρὰ ἡ ὥρα, ὅτι ἐν ταύτῃ ποτὲ τὰς τῶν τεθνεώτων ψυχὰς τῆς ζοφερᾶς τῦ Ἅδε καθείρξεως ἀπήλλαξεν ὁ Χριστὸς, καὶ τῶν ζώντων τὰ σώματα νῦν τοῖς ἐαρινοῖς κάλλεσιν ὡραΐζει, καὶ τέρπει φαιδρῶς. Ἐξαίρετος ἡ πανήγυρις, ἅτε πανηγύρεων ἅπασα ἐξοχωτάτη, καὶ ἀσυγκρίτως πασῶν ὑπερέχουσα, θείων ἅμα καὶ ἀνθρωπίνων. Ἡ δὲ προσκαίρως, καὶ μερικῶς, καὶ δι' ἀνθρώπε ἀλλ' αἰωνίως, καὶ Παγκοσμίως, καὶ πρὸς Θεῦ, τελεῖσθαι ἦκεν ἡμῖν, ὡς ἐν τῇδε πάντως εἰς τὸ εὖ εἶναι πάλιν ἐπανελθόντος τῦ σύμπαντος· Ὅτι τε πᾶσα ἑορτὴ καὶ πανήγυρις ταύτης γέγονε χάριν, καὶ εἰς ταύτην ἀνάγεται, καὶ εἰς ταύτην ὥς τινα φέρει ἀκρώρειαν.

(*) Τὸ ἀπ' ἐντεῦθεν καὶ ἑξῆς δι' ἑπτὰ Κεφαλαίων ἄχρι τέλες, ταὐτὰ σχεδὸν ἐστὶ τοῖς ἐν τῷ Β'. Λόγῳ τῶν εἰς τὸν Στάυρωσιν· ὃς δὴ λόγος ὁλοχερὴς ἐκδέδοται, ὑφ' ἑτέρῳ διαφέροντι τῷ Προοιμίῳ, ἐν τῷ Β'. Τόμῳ τῶν προεκδοθέντων. (Καὶ ὅρα ἐκεῖ: Σελ. 166-189.) Ἐξαιρεμένων, ὀλίγων τε, καὶ ἐδὲ πάνυ λόγε ἀξίων. Διὸ καὶ ὑπερβιβῶν ἐγνωμεν αὐτὰ, ἵνα μὴ καὶ δὶς τὴν αὐτὸν κράμβιν ἔψαν πρὸς ἐδὲν ὀνήσιμον δόξωμεν.

Ἐπείπερ αἱ ἄλλαι τὰς ζῶντας μόνον ὠφέλεν. ἡ τὰ ἐπίγεια· ἡ δὲ, παγγενῆ τάς τε θανόντας, καὶ ζῶντας, καὶ γεννηθησομένας ἀνθρώπας εἰσέπεται· Οὐράνια ἅμα, καὶ ἐπίγεια. καὶ καταχθόνια, διέσωσε καθάπαξ καὶ κατεκόσμησε. Καὶ ἵνα ταύτης τὸ μέγεθος σαφέστερον εἴπω, ὡς ὑπεραίρει τὶω ἐκ τῦ μὴ ὄντος εἰς τὸ εἶναι παντὸς τῦ κόσμυ παραγωγὶω ἡ σάρκος τῦ Λόγυ Οἰκονομία, Οὕτω δὴ καὶ πασῶν ἑορτῶν ἀσυγκρίτως ὑπέρκειται, ἡ ἐκ νεκρῶν αὐτῦ πάλιν Ἀνάστασις. Βαβαὶ τῦ μεγέθυς! Ὅσον ταύτης τὸ μέσον πρὸς τὰς λοιπάς!

Ὁρᾶτε τῆς σήμερον ἡμέρας τὸ μεγαλεῖον; Ὑψώθητε τοίνυν τὸν νῶν. Εὐφράνθητε τας καρδίας· ἐπάρθητε τὰς ψυχάς· Χριστὸς ἐκ νεκρῶν, ὁ ἀρανὸς εὐφραινέσθω· ἡ γῆ τερπέσθω· σκιρτάτω τὰ σύμπαντα. Χριστος ἐξ ᾅδυ, θράμωμεν ἐν τῷ Τάφω· σιὼ Ἰωάννῃ παρακύψωμεν· μετὰ Πέτρυ τὸ γεγονὸς πρὸς ἑαυτὰς, ὡς μέγα θαυμάσωμεν· μείνωμεν αὐτὸν ὀψὲ, καὶ εἰρλίὴ ὑμῖν, πρὸς τῆς εἰρλίὴς ἀκέσομεν Χριστος ἐκ τάφυ ὡρᾶιος, ἀπαντήσωμεν αὐτῷ σιὼ ταῖς Μυροφόροις, ἵνα ἀκεσώμεθα, χαίρετε. κρατήσωμεν αὐτῦ τὰς πόδας, καὶ ἀσπασώμεθα τὰ ἴχνη, ἵνα καὶ κήρυκες λαμπροὶ τῆς Ἀναστάσεως αὐτῦ, καὶ ἡμεῖς ἐποφθῶμεν. Χθὲς συγνοὶ τὰ Πρόσωπα, σήμερον τὰ πάντα φαιδροί· χθὲς τῇ τῦ Νυμφίυ ἄρσει, ἡ λύπη πεπλήρωκεν ἡμῶν τὰς καρδίας, σήμερον ἡ τῆς Ἀναστάσεως χάρις, πάντων ἐφαίδρωσε τὰς ψυχάς. Λιτὴ χθὲς ἡ τράπεζα ἐχεδίασο, πολυτελὴς ἡ σήμερον πρόκειται παιδαισία. Τίς ἐκ ἐσκυθρώπασε χθὲς, νεκρὸν ὁρῶν τον Χριστόν; Τίς ἐκ εὐφράνεται σήμερον, ζῶντα βλέπων αὐτόν; τὰ πάντα χθὲς ὠρᾶτο φοβερὰ καὶ φρικτὰ, ἅπαντα σήμερον τερπνὰ φαίνεται καὶ θυμήρη. Χθὲς γὰρ τῦ Κυριακῦ σώματος ἐν τῷ Σταυρῷ κρεμαμένυ, ἀπέστρεφε μὲν Ἥλιος τὰς ἀκτῖνας, ἔχισο δὲ τὸ τῦ Ναῦ καταπέτασμα· καὶ τάφοι μὲν ἀνερρήγνυντο, καὶ τὸ ἔδαφος ἐτινάσσετο, καὶ νεκρῶν δῆμος ἄπειρος ἐξεπήδα, καὶ εἰς τὶω πόλιν εἰσήει. Σήμερον δὲ Στρατιωτῶν φυλασσόντων

τὸν

τὸν τάφον, καὶ τῶν τῦ μνήματος αὐτῦ λίθων ἡρμοσμένων τῇ θήκῃ, καὶ σημάντρων ἐπικειμένων, ἀνέστη Χριστὸς, ὁ σταυρωθεὶς καὶ θανατωθεὶς καὶ ταφεὶς, σωσανασήσας ἑαυτῷ τὸς ἀπ' αἰῶνος νεκρός. Τὰ σήμερον ἄρα πάντα, τῶν χθὲς ὑψηλότερά τε καὶ τελεώτερα.

Τὴν ἑορτὴν τοίνυν ταύτην ἡμῶν μὲν ἕκαστος ἑορταζέτω εὐθέως, ὡς προαιρέσεως ἔχει, ἢ καὶ διώαμεως. Καὶ γὰρ ὀφθαλμῶν ἀτεχνῶς τρυφὴ, καὶ γλώττης ἀπόλαυσις, καὶ θέλγητρον ἀκοῆς τὰ ταύτης πάντα καθέστηκεν. Ἐγὼ δ' εἰ ταύτῃ, ὥσπερ τις ἄθλος γινόμενος, φωνῶν ἐρανόθεν πρὸς τῶν Ἀγγέλων ἀδομένων ἀκέειν τέτων δοκῶ. Σήμερον σωτηρία τῷ κόσμῳ, ὅσος τε ὁρατὸς, καὶ ὅσος ἀόρατος. Δόξα εἰ ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, εἰ ἀνθρώποις εὐδοκία. Ἄρατε Πύλας οἱ Ἄρχοντες τῷ Ἅδῃ, καὶ ἐπάρθητε Πύλαι τῷ σκότῃ, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης, ῥυσόμενος τὸς εἰς αὐτὸν ἀδιστάκτως πιστεύοντας. Φωνῶν ἐκ τῶν καταχθονίων, πρὸς τῶν Ἁγίων καὶ τῷ Χριστῷ βοωμένων, ὥσπερ ἀκήκοαμεν. Ὁ λαὸς ὁ καθήμενος εἰ σκότει, φῶς εἶδε μέγα. καὶ τοῖς καθημένοις εἰ χώρᾳ καὶ σκιᾷ θανάτῃ φῶς ἀνέτειλεν ἀδιάδοχον. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν. Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπε αὐτῦ οἱ μισῦντες αὐτόν. Δεσμευθήτω ὁ τύραννος· σκυλευθήτω ὁ Ἅδης· ἀναστήτωσαν οἱ πιστοί· ἀποστραφήτωσαν οἱ ἄπιστοι εἰς τὸν Ἅδην. Νῦν ἀνασήσομαι, νῦν ὑψωθήσομαι, νῦν δοξασθήσομαι, λέγει Κύριος. Φωνῶν ἐκ τῶν τεσσάρων ἀνέμων, παρὰ πάντων ψαλμένων, σαφῶς ἀκήκοα, Χριστὸς ἀνέστη. Ἀναστάσεως ἡμέρα· Πάσχα Κυρίε Πάσχα, καὶ πάλιν Πάσχα. Τί τέτων ἡδύτερον γένοιτ' ἂν τῶν φωνῶν; Ἀλλὰ τέτων μὲν πρὸς ἄλλων, καὶ ἀκέειν δοκῶ ψυχικῶς, καὶ τοῖς ὠσὶν εἰναργῶς ἐπαιδάνομαι.

Οἷα δὲ καὶ αὐτὸς τῇ ἑορτῇ συνεισφέρων διὰ γλώττης χαρίζομαι; (*) Πάσχα διάβασις ἀπὸ τῆ σκότους πρὸς φῶς· Πάσχα ἐξέλευσις ἀπὸ τῆ Ἅδε εἰς γῆν· Πάσχα ἀνάβασις ἀπὸ τῆς γῆς εἰς τὸς Οὐρανός· Πάσχα μετάβασις ἀπὸ θανάτε πρὸς τὴν ζωήν· Πάσχα ἀνάσασις τῶν πεπλωκότων βροτῶν· Πάσχα ἀνάκλησις τῶν ἐξορίσων Ἐδέμ. Πάσχα ἀνάῤῥυσις τῶν αἰχμαλώτων φθορᾶ· Πάσχα πίσῶν ἡ ὄντως ζωή· Πάσχα παντὸς τῆ κόσμε τρυφή. Πάσχα Τριάδος Θείας τιμή· Ἀκόρεστος ἡ τῆ Πάσχα προσηγορία, ὅτι πολλαπλάσιος ἡ διὰ τότε δηλεμένη χάρις. Τῆτο καὶ γὰρ ψυχῶν ἡ ἀναψυχή. Τῆτο τῶν Νόων ἡ χαρμονή. τῆτο σωμάτων ὁ κῶφισμός· τῆτο ὀμμάτων ὁ φωτισμός· τῆτο λαρύγγων ὁ γλυκασμός· τῆτο θυμηδία, τῆτο θερμότης, τῆτο εἰρλίη, τῆτο χαρά.

Σήμερον γὰρ ὁ Πρωτότοκος πάσης κτίσεως Λόγος τῆ Πατρὸς, καὶ Πρωτότοκος ἄσπορος τῆς Μητροπαρθένε Κόρης Υἱὸς, Πρωτότοκος γίνεται τῶν Νεκρῶν. Καὶ τὸ προοριθὲν πρὸ τῆς τῆ κόσμε καταβολῆς θειότατον ἔργον, τέλος ἔλαβεν ἔνθεον. καὶ οἱ αἰώνιοι κάτοχοι καὶ πεπεδημένοι ἀφύκτοις σειραῖς, ἐκ τῶν τῆ Ἅδε κατωτάτων ἤλαντο εἰς ὑπερῤῥάνια. Σήμερον ὁ Χριὸς τῇ ἑαυτῆ πανθενεῖ καὶ θεία δυνάμει, συντρίβει πύλας Ἅδε, συνθλάτλει μοχλὲς, ἐξορίζει τὸν Τύραννον, νεκρὲς ἀνίσᾷ, τὲς ζῶντας λυτρῆται, ἀνοίγει Παράδεισον, χαρίζεται τὴν ἐλευθερίαν, λύει τὸ σκότος, εἰσάγει τὸ φῶς, ἐξάγει τὴν λύπην, ἐπάγει χαρὰν, καὶ πρὸς τότοις τὸν ἄνω κόσμον ἀνανεοῖ. Τοιγάρτοι καταβεβλήθω τὰ φρυάγματα τῶν Δαιμόνων· Ἀλαλα γενηθήτω τὰ χείλη τῶν ἀσεβῶν· καὶ καταισχυνθήτω τὰ πρόσωπα τῶν Αἱρετικῶν. Ἄγγελοι

(*) Τὴν ἐφεξῆς πορικοπὴν ἐν ᾗ διὰ περιτῆς ἐπαναλήψεως τὸ Πάσχα ἐξύμνηται, ἀναφέρει καὶ Λέων ὁ Ἀλλάτιος, ἅτως ἐπὶ Λέξεως· (In Dissertat. de Dominicis et Hebdomatibus Recentior. Graecor.) Ὡς ἐκ τῆ Λόγε τῆδε, τῆ εἰς τὴν Λαμπρὰν Κυριακὴν Ἰωσὴφ τῆ Βρυεννίε.

Ἄγγελοι τῶ ἀτρεψίαν (*) ἀμφιεννύθωσαν· Ἅγιοι τὸν Παράδεισον εἰσιέτωσαν· Πάντα τὰ ἔθνη μυστικῶς τὰς χεῖρας κροτείτωσαν· Ἅπαντες οἱ Ὀρθόδοξοι εὐχαριστείτωσαν, καὶ δοξολογείτωσαν. Μᾶλλον δὲ, δοξάσωμεν, ὑμνήσωμεν καὶ προσκυνήσωμεν. τὸν τῆς λαμπρᾶς ταύτης ἡμέρας τῶ Πάσχα ἡμᾶς ἀξιώσαντα Ἰησῆν τὸν γλυκύτατον· Ὦ εἰς ἀπεράντες αἰῶνας ἡ δόξα, σὺν τῷ Πατρὶ αὐτῆ καὶ τῷ Πνεύματι. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ

τῆ Κυρίε καὶ Θεῆ καὶ Σωτῆρος ἡμῶν Ἰησῆ Χριστῆ. Ὅτι τὸ Φανὲν ἐν τῷ Θαβωρίῳ Φῶς Ἄκτιστον, Ἀΐδιον, καὶ δόξα ἐστὶ τῆς Θεότητος.

Ἐπεὶ δὲ ἐστὶ δοξάζειν καὶ τὸ ὄν ὡς ὄν, καὶ τὸ μὴ ὄν, ὡς μὴ ὄν, καὶ τὸ ὄν ὡς μὴ ὄν, καὶ τὸ μὴ ὄν ὡς ὄν· ἵν' ἐν μηδενὶ τούτων (**) τῇ δόξῃ πλανώμεθα, ἀνῆψεν ἡμῖν ὁ Θεὸς ἡλίες αὐτὸς τὰς ἱερὰς Διδασκάλες, ὧν αἱ δόξαι καὶ αἱ ἀποφάνσεις, τῆ Ἁγίε Πνεύματος ἔσαι φωναὶ, ἀλλ' ἐκ ἀνθρώπων χθιζῶν ἀπηχήματα, ἀπάγσι πλάνης, ποδηγῆσι πρὸς Φῶς, καὶ παριστῶσι σαφῶς τὼ ἀλήθειαν. Οὗτοι γὰρ μόνοι, οἱ καὶ πάσης ἀληθείας λόγον ὀρθοτομήσαντες, καὶ περὶ τῆ ἐν τῷ Θαβωρίῳ φανέντος φωτὸς

(*) Ὅρα ἀνωτέρω, τῶν εἰς τὼ Γέννησιν τῆς Θεοτόκε ἐν τῷ ἑτέρῳ Λόγῳ, Σημείωσιν. (†)

(**) Ἐν μηδετέρῳ πάντως τῶν δύο δεινοτέρων.

ἀποφαίνονται, περὶ ἓ νῦν ἡμῖν διελθεῖν ὀλίγα σκοπός. Καὶ χρὴ ἡμᾶς, ὡς πανταχῦ καὶ ἐν ἅπασιν, ἕτω καὶ ἐνταῦθα τῇ δόξῃ τέτων ἑπομένες ὀφθῶμεν, καὶ μὴ τοιχεῖν ἑαυτοῖς. Σώηθες γὰρ ἐν τοῖς τοιέτοις, καὶ εὐπρεπὲς, καὶ λυσιτελὲς, μηδένα τῶν πάντων ἐξ ἑαυτῦ, καὶ τῆς ἰδίας σωέσεως, τὰ θεῖα δόγματα πειρᾶθαι σωισᾶν, ἢ ἀποδεικνῦναι, ἀλλὰ πρὸς τῶν τῦ ὀρθῦ λόγυ καὶ τῆς ἀληθείας ὑπηρετῶν τὰ τοιαῦτα πιςεῦθαι ὡς ἄξιον· Πνθματικῶς τὰ Πνθματικὰ, κατὰ Παῦλον τὸν Μέγαν, συγκρίνοντα· Ἐπεὶ τοίνυν ἀμήχανον ἄλλως τινὶ ἀλήθειαν γνῶναι, ἢ Θεολογίας ἅπλεθαι, μὴ τοῖς Ἁγίοις ἑπόμενον· Οὐ γὰρ ἐσὶν, ἐκ ἔσι, καθὼς φησὶν ὁ Προφήτης, τὸ φῶς ὀφθῆναι, μὴ ἐν τῷ φωτὶ καθορώμενον· ὡς ἐκ ἔσιν ἀπιδεῖν πρὸς τὸν Ἥλιον, ἔξω τῶν ἀκτίνων γενόμενον· Φέρε, οἷς ἐσὶν ὦτα ἀκέειν, ὅλῃ ψυχῇ καὶ καρδίᾳ τινὶ περὶ τῦ προκειμένυ δόξαν λοιπὸν τῶν Ἁγίων ἀκέσωμεν. καὶ μὴ ἄλλως, ἢ ὡς ἐκείνοις δοκεῖ περὶ τέτων, ὡς καὶ περὶ τῶν λοιπῶν θείων δογμάτων, δοξάζωμεν.

Αὐτίκα γοῦν περὶ τῦ προρρηθέντος Ἁγίυ τέτυ Φωτὸς, ὅτι ἄκτισον, ὅτι Θεῖον, ὅτι τῆς Θεότητος ἀΐδιος ἀςραπή. (*) ὁ μὲν μέγας ἐν Θεοσόφοις Πατράσιν Ἐφραὶμ ὁ Σύρος, τὸ ἔλαμψε τὸ πρόσωπον αὐτῦ, ὡς ὁ Ἥλιος, ἑητὸν ἐρμηνεύων, ἕτω φησίν: Ἔδειξεν, ὅτι ἐξ ὅλυ τῦ Σώματος αὐτῦ, ἔβρυεν ἡ δόξα τῆς Θεότητος αὐτῦ. καὶ ἐξ ὅλων τῶν μελῶν αὐτῦ, ἔλαμψεν τὸ φῶς αὐτῦ. Οὐ γὰρ ὡς Μωσέως ἔξωθεν ἡ σὰρξ αὐτῦ ἔλαμψεν ἐν εὐπρεπείᾳ, ἀλλ' ἐξ αὐτῦ ἔβρυεν ἡ δόξα τῆς Θεότητος αὐτῦ. καὶ ἐχ ὅλλῳ τινὶ ἄβυσσον τῆς δόξης αὐτῦ παρέδειξεν, ἀλλ' ὅσον ἐχώρησε τὸ μέτρον τῶν κορῶν τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ πάλιν: Ἐχάρησαν οἱ Προφῆται ἰδόντες τῦ Λόγυ τινὶ ἀνθρωπότητα· ἐχάρησαν οἱ Ἀπόσολοι ἰδόντες τῦ Ἰησῦ τινὶ Θεότητα. Μᾶλλον δὲ, τινὶ τῆς Θεότητος δόξαν. Καὶ μετ

(*) Ταῖς αὐταῖς μαρτυρίαις προσεχρήσατο καὶ ἐν τῷ Λόγῳ τῷ περὶ τῆς θείας ἐνεργείας, ἐν τῷ Β'. Τόμ. Σελ. 133 — 140. Ἄχρι τέλυς.

μετ' ὀλίγα: Ἀνήγαγεν οὖν τοὺς Μαθητὰς εἰς τὸ ὄρος, καὶ δείκνυσιν αὐτοῖς τὴν δόξαν τῆς Θεότητος αὐτοῦ πρὸ τῆς Ἀναστάσεως· ἵνα ὅταν ἐκ νεκρῶν ἀναστῇ, ἐν τῇ δόξῃ τῆς φύσεως τῆς Θεότητος αὐτοῦ, γνώσωνται, ὅτι ἐχ ὑπὲρ τοῦ κόπου αὐτοῦ ἔλαβε τὴν δόξαν αὐτοῦ ὡς ἐνδεὴς, ἀλλ' ἦν αὐτοῦ Προαιώνιος σὺν τῷ Πατρὶ, καὶ μετὰ τοῦ Πνεύματος, καθὼς εἶπεν ἐρχόμενος ἐπὶ τὸ ἑκούσιον πάθος: Πάτερ δόξασόν με τῇ δόξῃ· ἣ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ Σοί. Ταύτην οὖν τὴν δόξαν τῆς Θεότητος αὐτοῦ, ἄδηλον ἦσαν, καὶ κεκρυμμένην ἐν τῇ ἀνθρωπότητι, ἐπέδειξε τοῖς Ἀποστόλοις ἐν τῷ Ὄρει· καὶ τὸν Πατέρα εἶχε συμφανοῦντα, καὶ λέγοντα· Οὗτος ἐστὶν ὁ Υἱός μου ὁ Ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.

Ὁ δὲ Θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς, ἐν τῷ εἰς τὴν Θείαν Μεταμόρφωσιν αὐτοῦ πονηθέντι Λόγῳ, ἔτως ἐπάγει: Σήμερον φωτὸς ἀπροσίτου ἄβυσσος· σήμερον αἴγλης Θείας χύσις ἀπεριόριστος, ἐν Θαβὼρ τῷ Ὄρει τοῖς Ἀποστόλοις αὐγάζεται. Νῦν ὡράθη τὰ τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι· Σῶμα γήϊνον, Θείαν ἀπαυγάζει λαμπρότητα· Σῶμα θνητὸν δόξαν ἀπαυγάζει Θεότητος· ὁ Λόγος Σὰρξ, ἡ Σὰρξ τε Λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰκείας ἐξέστη ἑκάτερον Φύσεως. Ὦ τοῦ θαύματος! Οὐκ ἔξωθεν (*) ἡ δόξα τῷ σώματι προσεγένετο· ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀῤῥήτῳ λόγῳ ἰωμένης αὐτῷ καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου ὑπερθέσ Θεότητος· Ὦ γὰρ ἐκείνῳ οἱ Ἄγγελοι ἀκλινὲς ἐρείδειν τὸ ὄμμα ἐθέλουσιν, ἐν τότῳ τῶν Ἀποστόλων οἱ πρόκριτοι, τῇ δόξῃ τῆς ἑαυτοῦ Βασιλείας ὁρῶσιν ἐκλάμποντα. Ἐντεῦθεν τοὺς κορυφαίους τῶν Ἀποστόλων προσλαμβάνεται μάρτυρας τῆς οἰκείας δόξης τε καὶ Θεότητος. Ἀποκαλύπτει δὲ αὐτοῖς τὴν οἰκείαν

(*) Οὕτω πως καὶ ὁ Καντακηζηνὸς: Παρίτωσαν ἓν οἱ τὸ φρονεῖν παρακεκομμένοι· οἱ σκοτεινοὶ περὶ τὸ φῶς· ἀκηέτωσαν οἱ τὰς ἀκοὰς ὑπὸ πωρώσεως βεβυσμένοι: Οὐκ ἔξωθεν (φησὶν) ἡ δόξα τῷ σώματι προσεγένετο.

κείαν Θεότητα. Τελείως δὲ ἕνωσις τὴν τῆ Θείαν δόξαν εἰκὸς κατοπτεύοντας, τῆ ἀπάντων ἐπέκεινα, τῆ μόνῃ ὑπερτελῆ καὶ προτέλειον.

Ὁ Θεῖος γὰρ ὄντως καὶ Θεηγόρος Διονύσιος: Οὕτως
„ ὁ Δεσπότης (φησὶν) ὀφθήσεται τοῖς ἑαυτῆ Ὁσίοις θεράπε-
„ σιν, ὃν τρόπον ἀν ὄρει Θαβὼρ τοῖς Ἀποστόλοις ὀπτάνεται.
„ Ἰωάννῃ παραλαμβάνει, ὡς τῆς Θεολογίας παρθένον
„ καὶ καθαρώτατον ὄργανον· ὅπως τὴν δόξαν τῆ Υἱῆ θεα-
„ σάμενος, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν
„ Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος, βροντήσειεν. Ἔμπροσθεν
„ τῶν Μαθητῶν μεταμορφῆται, ὁ ἀεὶ ὡσαύτως δεδοξασ-
„ μένος, καὶ λάμπων ἀστραπῇ Θεότητος. Ἀνάρχως μὲν γὰρ
ἐκ Πατρὸς γεννηθεὶς, τῆ φυσικῆ ἀκτῖνα ἄναρχον κέ-
κληται τῆς Θεότητος· καὶ ἡ τῆς Θεότητος δόξα, καὶ δόξα
τῆ σώματος γίνεται. Ἀλλ' ἀφανὴς ἡ δόξα ὑπάρχουσα
ἐν τῷ φαινομένῳ σώματι, τοῖς μὴ χωρῆσι τὰ καὶ Ἀγγέ-
λοις ἀθέατα, τοῖς σαρκὸς δεσμίοις ἀόρατος ἐχρημάτιζεν.
Ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις Μαθηταῖς ἐκφαινόμενος, δια-
νοίγων τότων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἀπεργαζόμενος
βλέποντας. καὶ τῆτο ἐστὶ, τὸ: μετεμορφώθη ἔμπρο-
„ σθεν αὐτῶν. Μένων γὰρ αὐτὸς ἐν ταὐτότητι, παρ' ὃ τὸ
πρὶν ἐφαίνετο, ἕτερος νῦν τοῖς Μαθηταῖς ἑωρᾶτο φαινό-
„ μενος. Καὶ ἔλαμψε (φησὶν) ὡς ὁ Ἥλιος· ἐχ ὅτι μὴ τῆ
Ἡλίῳ λαμπρότερον· ἀμήχανον γὰρ ἀπαραλείπλως ἐν
τῇ κλίσει τὸ ἄκτιστον εἰκονίζεθαι· ἀλλ' ὅσον ἐχώρουν κα-
„ καθορᾶν οἱ βλέποντες· Θεὸν γὰρ ἐδεὶς ἑώρακε πώποτε,
καθὰ πέφυκε φύσεως. Καὶ ὃ δὲ ἑώρακεν, ἐν πνεύματι
τῆτο τεθέαται. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τῆ Ὑψίστε.
„ Ταῦτα ἐστὶν, ἃ ὀφθαλμὸς ἐκ εἶδε, καὶ ἐς ἐκ ἤκουσε, καὶ
„ ἐπὶ καρδίαν ἀνθρώπε ἐκ ἀνέβη πώποτε. Οὕτως ἐν τῷ
αἰῶνι τῷ μέλλοντι πάντοτε σὺν τῷ Κυρίῳ ἐσόμεθα, Χρι-
σὸν ὁρῶντες τῷ Φωτὶ ἀστράπλοντα τῆς Θεότητος. Τῆτο
τὸ Φῶς κατὰ πάσης Φύσεως ἔχει τὰ νικητήρια· Αὕτη ἡ
„ νίκη (*) ἡ τὸν κόσμον νικήσασα. Ἀλλ' ὁ Πέτρος, καλὸν ἐστὶν

ἡμᾶς

(*) Ἐν δὲ τῷ Κώδικι, κἄτα: Αὕτη ἡ ζωή.

ἡμᾶς ὧδε εἶναι· καὶ ἐντεῦθεν νεφέλη, ἀγνόφως, ἀλλὰ φωτὸς ἐπεσκίασε. Τὸ κεκρυμμένον γὰρ ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ γενεῶν, Μυστήριον ἐκκαλύπτεται. Φωνὴ τοῦ Πατρὸς ἐκ νεφέλης τοῦ Πνεύματος γέγονε, καὶ ἡ δόξα δίλωσις καὶ διαιωνίζεσα δείκνυται.

Ὁ μέγας Θεσσαλονίκης Ἀνδρέας τῆς Κρήτης, πανηγυρίζων ἐν ταύτῃ τῇ πανηγύρει, φησὶν· Ἐπὶ τὸ ὄρος ἀνάγει τὸ ὑψηλὸν τῶν Μαθητὰς ὁ Σωτὴρ· τί ποιήσων; ἢ τί διδάξων; τὴν ὑπεραστράπτουσαν παραδείξων τῆς οἰκείας Θεότητος δόξαν τε καὶ λαμπρότητα, εἰς ἣν μετεσοιχείωσε τὴν ἀνθρωπίνην φύσιν· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Ὅθεν κατὰ τὴν ἀψευδῆ τῶν Θεολόγων μυσταγωγίαν, ὥσπερ ἔκτινος ἀσυλήτου πηγῆς, κατὰ ἀπειρόδωρον χάριν τῆς ἀκηράτου Θεώσεως τὸ μέγα κάτεισι δῶρον. Τοῦτο τοίνυν ἑορτάζομεν σήμερον· τὴν τῆς φύσεως θέωσιν· τὴν εἰς τὸ κρεῖττον ἀλλοίωσιν· τὴν ἐπὶ τὰ ὑπὲρ φύσιν ἔκστασιν, καὶ ἀνάβασιν· καθ' ἣν καὶ τοῦ κρείττονος ἡ ἐνίκησις· ἢ, τό γε κυριώτερον εἰπεῖν, ἡ ἀνεκλάλητος θέωσις. Τοῦτο θαυμάζουσιν Ἄγγελοι, τοῦτο δοξολογοῦσιν Ἀρχάγγελοι, τοῦτο πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητὴ διακόσμησις ἀΰλως ἐσιωμένη, τεκμήριον ἀναργέστατόν τε καὶ ἀψευδέστατον τίθεται τῆς περὶ ἡμᾶς τοῦ Λόγου φιλανθρωπίας. Οὐκ ἔστι τῶν ἐν τῇ κτίσει θεωρουμένων, ὃ χωρήσει τόδε τὴν ὑπερβολὴν τῆς λαμπρότητος. Ὁ γὰρ ὑπερένδοξος εἰς ἐσίαν ἀληθῶς ἐλθὼν, καὶ ὑπὲρ Οὐσίαν ἐσιωθεὶς, διὰ σαρκὸς ἡμῖν πεπολίτευται. Ὃς δὴ καὶ ὑπερβαλόντως ἐπὶ τοῦ Ὄρους ἐξήστραψεν, ἐκ τότε γενόμενος ἑαυτοῦ διαυγέστερος, ἢ ὑψηλότερος· ἄπαγε. Ἀλλ' ὅπερ καὶ πρότερον τοῖς τελεμένοις τῶν Μαθητῶν καὶ μυσταγωγουμένοις τὰ ὑψηλότερα κατὰ ἀλήθειαν θεωρούμενος. Ἔξω γὰρ σαρκὸς καὶ κόσμου γενόμενοι, καθ' ὅσον ἐφικτὸν ἐνταῦθα, τῆς μελλούσης κατασάσεως, ἤδη ἐξ ὧν ἐπειράθησαν, ἐδιδάχθησαν. Εἰ γὰρ καὶ μηδενὶ τῶν ἁπάντων ἀκοινώνητον ἐστὶ καθόλου τὸ ἀγαθὸν, ἀλλ' οὐχὶ ὅλον, ὅ,τι ποτὲ ἐστὶν, ἀλλ' ὅσον, καὶ ὅπως τοῖς μετέχουσιν ἐφικτὸν, χωρητὸν γίνεται. καὶ τοῦτο

το δι' ἄκραν ἀγαθότητα, ταῖς ἀπειροδώροις ἐλλάμψεσιν ὁδεῦον ἐπὶ πάντα καὶ προχεόμενον. Ἀπόδειξις δὲ τῶν λεγομένων αὐτὸ ἂν εἴη τὸ μακάριον πάθος καὶ πολυύμνητον, ὅπερ ἐπὶ τῆ Ὄρες πεπόνθασιν οἱ Ἀπόστολοι, ἰώκα τὸ ἀπρόσιτον καὶ ἄχρονον φῶς τινὶ οἰκείαν σάρκα μεταμορφῶσαν, τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβλυσίας ὑπερσοίως ἐλάμπρυνον. Ὦ τῆ θαύματος! κατ' ἔκστασιν τελειοτάτιν τῆς φύσεως πίπτουσιν ὕπνῳ βαρεῖ καὶ φόβῳ κρατούμενοι· μύσαντες τὰς αἰσθήσεις, πᾶσαν νοερὰν κίνησιν καὶ ἀντίληψιν ἑαυτῶν ἀποπαύσαντες, ἕτω κατὰ τὸν θεῖον ἐκεῖνον, καὶ ὑπέρφωτον, καὶ ἀόρατον γνόφον τῷ Θεῷ σωεγένοντο, τῷ μηδόλως ὁρᾶν τὸ ὄντως ὁρᾶν εἰσδεχόμενοι. καὶ τῷ πάσχειν ἀγνώστως, τινὶ καθ' ὑπεροχὶν ἀγνωσίαν ποριζόμενοι· καὶ τινὶ πάσης νοερᾶς ἐπισασίας ὑψηλοτέραν ἐγερήγορσιν, ὕπνῳ μυσαγωγούμενοι, ἔξω πάντων ἐγένοντο τῶν ὁρωμένων τε καὶ νοερμένων. Ἔτι δὲ καὶ ἑαυτῶν, ἵνα τὸ πάσης θέσεώς τε καὶ ἀφαιρέσεως ἐκβεβηκὸς καθ' ὑπεροχὶν ὑπερέσιον, τῇ ἐκφάνσει τῆ Λόγε, καὶ τῇ ἐπισκιάσει τῆ Πνεύματος, καὶ τῇ ἄνωθεν ἐκ τῆς νεφέλης φερομένῃ φωνῇ τῆ Γεννήτορος, δι' ἀγνωσίας, καὶ ἀβλεψίας παιδευθῶσι Μυσήριον.

Καὶ ὁ Θεῖος δὲ Κοσμᾶς μελῳδῶν ἕτω λέγει πρὸς τὸν μεταμορφωθέντα Κύριον Ἰησοῦ: Τὸ ἄχητον τῆς σῆς φωτοχυσίας, καὶ ἀπρόσιτον τῆς Θεότητος θεασάμενοι τῶν Ἀποστόλων οἱ Πρόκριτοι ἐπὶ τῆ Ὄρες τῆς Μεταμορφώσεως ἄναρχε Χριστέ κτ. Καὶ πάλιν: τῆς Θεότητός σε Σωτὴρ ἀμυδρὰν αὐγὶν παραγυμνώσας τοῖς σωαναβάσι σοι ἐπὶ τῆ ὄρες, τῆς ὑπερκοσμίε δόξης ἐποίησας ἐραστάς κτ.

Περὶ τῆ Θείε τότε φωτὸς καὶ ὁ μέγας ἐν Ὁμολογηταῖς Μάξιμος φησίν: Οὐ πᾶσιν ἀεὶ μετὰ δόξης ὁ Κύριος ἐπιφαίνεται, τοῖς παρ' αὐτῷ ἱσαμένοις· ἀλλὰ τοῖς μὲν εἰσαγομένοις, ἐν δέλε μορφῇ παραγίνεται· τοῖς δὲ δυναμένοις ἀκολυθῆσαι αὐτῷ ἐπὶ τὸ ὑψηλὸν ἀναβαίνοντι τῆς αὐτῆ μεταμορφώσεως Ὄρος, ἐν μορφῇ Θεῆ ἐπιφαίνεται, ἐν ᾗ ὑπῆρχε πρὸ τῆ τὸν κόσμον εἶναι.

Ο, τε

Ὅ, τε τῆς Ἀλεξάνδρε Πάπας Κύριλλος ἐν τοῖς εἰς τὸ Εὐαγγέλιον ἐξηγητικοῖς δείκνυσιν ἔτεσι: Πεπεράχθαι φαμὲν τὴν Μεταμόρφωσιν, ἐκεῖ δήπε τὸ χῆμα τὸ ἀνθρώπινον μεταβαλόντος τῦ σώματος, ἀλλὰ δόξης θείας φωτοειδῦς περιστελλόσης αὐτὸ, πηγαζόσης ἔνδοθεν ἐκ τῆς Θείας Φύσεως· μένοντος γὰρ τῦ σώματος ἐπὶ χήματος, ἐπὶ τὸ ἐνδοξότερον οἱ χαρακτῆρες διὰ τῦ φωτοειδῦς χρώματος διεχρώννυντο.

Τῦτο τὸ Ἱερὸν Εὐαγγέλιον πρόγε τῦ Κυρίλλε ἑρμηνεύων ὁ Θεῖος Χρυσόστομος, ἐπιφέρει ὧδί: Τῦτο δὲ, καὶ ἀπὸ τῶν Ἀποστόλων φανερόν· Ἀνέβη γὰρ, φησὶν, εἰς τὸ Ὄρος ὁ Ἰησῦς, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Τί ἐστὶ μετεμορφώθη; παρήνοιξε, λέγει, ὀλίγον τῆς Θεότητος, καὶ ἔδειξεν αὐτοῖς τὸν ἐνοικῦντα Θεόν· Καὶ ἔτι: Εἰσὶ τινὲς τῶν ὧδε ἑστηκότων, οἵτινες ἐ μὴ γεύσωνται θανάτε, ἕως ἂν ἴδωσι τὴν Βασιλείαν τῶν Οὐρανῶν. Ἐνταῦθα ἐ περὶ τῆς δευτέρας αὐτῦ παρεσίας τῆς ἐνδόξε λέγει· ἀλλὰ περὶ τῆς ἐν τῷ Ὄρει Μεταμορφώσεως. Καὶ γὰρ ἐν τῷ Ὄρει μεταμορφωθεὶς ὁ Σωτὴρ, μικρῶς πῶς ὡς Δεσπότης ἔδειξε τοῖς ἑαυτῦ Μαθηταῖς τῆς ἀθεάτε Θεϊκῆς αὐτῦ βασιλείας τὴν δόξαν· τετέσι μικρὸν παρέλυσε τὴν Θεότητα, καὶ ἐ τελείως· τὸ μὲν Πληροφορῶν, τὸ δὲ φειδόμενος. Πληροφορῶν μὲν γὰρ, ἔδειξεν αὐτῦ τῆς ἀθεάτε βασιλείας τὴν Θεϊκὴν δόξαν· ἐχ ὅση τις ἦν, ἀλλ' ὅσην ἠδύναντο φέρειν οἱ σωματικὲς ὀφθαλμὲς περιφέροντες. Φειδόμενος δὲ, καὶ ἐχὶ φθονῶν, ἐκ ἔδειξεν αὐτοῖς τὴν πᾶσαν δόξαν, ἵνα μὴ σὺν τῇ ὁράσει, καὶ τὸ ζῆν ἀπολέσωσι. Καὶ αὖθις; Βελόμενος αὐτῶν καὶ τὴν ὄψιν πληροφορῆσαι, καὶ δεῖξαι τίς ποτε ἐστὶν ἡ δόξα ἐκείνη μεθ' ἧς παραγίνεσθαι μέλλει, ὡς ἐγχωροῖ ἦν αὐτοῖς μαθεῖν καὶ κατὰ τὸν παρόντα βίον, δείκνυσιν αὐτοῖς καὶ ἀποκαλύπτει ταύτην. Καὶ περὶ γενύης καὶ βασιλείας διαλεχθεὶς, τὴν μὲν βασιλείαν τῇ ὄψει δείκνυσι, τὴν δὲ γένυαν ἐκέτι. Ὅτι δὲ τῦ ὑποδείγματος μεῖζον ἦν ἐκεῖνο τὸ φῶς, ἔδειξαν οἱ Μαθηταὶ πεσόντες. Εἰ δὲ μὴ

ἄκρατον

» ἄκρατον ἰῶ τὸ φῶς, ἀλλὰ τῷ Ἡλίῳ σύμμετρον, ἐκ ἂν
» ἔπεσον, ἀλλ' εὐκόλως ἰώμεγκαν ἄν. Ἀλλ' ἐπειδὴ ὑπὲρ
» τὸν Ἥλιον ἔλαμψε, μὴ φέροντες τὴν λαμπηδόνα κα-
» τέπεσον.

Ὁ δὲ Νύσσης Θεῖος Γρηγόριος, ἐν τῷ περὶ τῆς Θείας
» καὶ ὑπερφυῦς ἁπλότητος λόγῳ, ἔτω φησίν: Οὕτω λάμ-
» ψουσιν οἱ δίκαιοι, ὡς ὁ Κύριος ἔλαμψεν ἐπ' Ὄρους· καὶ βα-
» σιλείαν ἐκτήσατο, ἐδ' ἑτέραν ὅλως ἔζησιν, ἀλλὰ τὴν αὐ-
» τὴν ἐκείνῳ. Καὶ αὖθις: Οὕτω μετ' αὐτὸ Ἰάκωβος καὶ
» Ἰωάννης, καὶ σωματικοῖς ὀφθαλμοῖς ἐπ' Ὄρους τὸ ἀνέσπε-
» ρον καὶ ἀδιάδοχον ὁρῶσι φῶς.

Καὶ ὁ τῆς Θεολογίας δὲ ἐπώνυμος καὶ Γρήγορος Νῦς,
» ἔτω λέγει: Φῶς ἡ παραδειχθεῖσα Θεότης ἐπὶ τῦ Ὄρους
» τοῖς Μαθηταῖς, μικρῷ τερβότερα καὶ ὄψεως. Καὶ πά-
» λιν: Ἦξει μὲν μετὰ τῦ σώματος, ὡς ὁ ἐμὸς λόγος, τοιῦ-
» τος δὲ, οἷος ὤφθη τοῖς Μαθηταῖς ἐν τῷ Ὄρει, ἡ παραδεί-
» χθη, ὑπερνικώσης τὸ σαρκίον τῆς Θεότητος.

Καὶ ὁ Μέγας δὲ Βασίλειος, τέτοις ἐπάγων ἐφάμιλλα,
» ἔτω φησίν: Ὁ Θεὸς φῶς οἰκῶν ἀπρόσιτον· τὸ γὰρ ἀπρόσι-
» τον πάντως καὶ ἀληθινὸν, καὶ τὸ ἀληθινὸν ἀπρόσιτον·
» ὁπότε καὶ τῇ δόξῃ τῦ φωτὸς τῦ Υἱῦ μὴ δυνηθέντες ἀτενί-
» σαι πεπλώκασιν οἱ Ἀπόστολοι, διὰ τὸ εἶναι ἀπρόσιτον αὐτὸν
» φῶς. Καὶ ἔτι: Προοίμιον τῆς ἐν τῇ δευτέρᾳ Παρεσίᾳ τῦ
» Χριστῦ δόξης, τὸ ἐν τῷ Θαβωρίῳ λάμψαν ἐν τῇ Μεταμορ-
» φώσει τῦ Κυρίε φῶς. Ὃ καὶ διεφάινετο οἵοντι φῶς Θεῖον
» δι' ὑελίνων ὑμένων. τετέστι, διὰ τῆς ἐξ ἡμῶν σαρκὸς τῦ
» Κυρίε, ἡ Θεία δύναμις αὐτῦ ἐναυγάζουσα, τοῖς ἔχουσι
» τὰς ὀφθαλμὰς τῆς καρδίας κεκαθαρμένας. Μετὰ τέ-
των εἴδε καὶ ἡμεῖς εὑρεθείημεν, ἀνακεκαλυμμένῳ προσώ-
πῳ τὴν δόξαν τῦ Κυρίε κατοπτριζόμενοι!

Ὁ γε μὴν Μέγας Ἀθανάσιος συνάδων τέτοις ἐπι-
» φέρει: Ὅτι εἷς ἀνθρώπων δυνάται Θεῦ οὐσίαν γυμνὴν
» ἰδεῖν ἐδαμῶ. Ὅθεν πρόδηλον, ὅτι ἃ τὴν οὐσίαν τῦ Θεῦ
» ἔβλεπον οἱ Ἅγιοι, ἀλλὰ τὴν δόξαν· ὡς καὶ περὶ τῶν
Ἀποσό-

Ἀποστόλων γέγραπται, ὅτι διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ, εἶδον τὴν δόξαν τοῦ Θεοῦ καὶ αὖθις: Ἀπαθὴς ὢν τοῖς παθήμασι τῆς σαρκὸς ὁ Χριστὸς, ὡς Θεὸς νικήσας θάνατον, καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς τὸν οὐρανὸν, καὶ ἐν δόξῃ φυσικῇ, καὶ ἐκ δευτέρου χάριτι ἐρχόμενος, ἐν τῇ αὐτοῦ θεότητι ἐμφανῶς ἐκλάμπων, ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δόξαν τὴν ἀπόρρητον, ὡς καὶ ἐπὶ τοῦ Ὄρους ἔδειξεν ἀπὸ μέρους· διδάσκων ἡμᾶς, ὅτι καὶ πρότερον, καὶ νῦν, ὁ αὐτός ἐστιν, ἀναλλοίωτος ὢν ἀεὶ, καὶ μεταβολὴν οὐδεμίαν ἔχων περὶ τὴν θεότητα.

Σὺν ἅπασι τούτοις, καὶ ὁ τὰ Θεῖα πολὺς Διονύσιος, ἔτως ἐπάγει: Ὅταν ἄφθαρτοι καὶ ἀθάνατοι γενώμεθα, καὶ τῆς Χριστοειδοῦς καὶ μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν Κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα· τῆς μὲν ὁρατῆς αὐτοῦ Θεοφανείας ἐν Παναγίοις θεωρίαις ἀποπληρούμενοι, φανωτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσης, ὡς τοὺς Μαθητὰς ἐν ἐκείνῃ τῇ Θειοτάτῃ Μεταμορφώσει. Τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες, καὶ τῆς ὑπὲρ νοῦν ἑνώσεως τῶν ὑπερφανῶν ἀντίνων ἀγνώστοις καὶ μακαρίαις ἐπιβολαῖς ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων.

Ἀλλὰ ταῦτα μὲν ὁ τῶν Ἁγίων Διδασκάλων χορὸς, ἀλλήλοις ἐφάμιλλα περὶ τοῦ φωτὸς ἐκείνου Θεολογεῖ. Ἴδωμεν δὲ τίνα, καὶ ὁ ἐκ τῆς ἰδίας κοιλίας ἐρευγόμενος ἄνθρωπος λήρωδεῖ; Οὔμοι δοκεῖ, φησὶν, ἐδὲ πείθομαι ἄκτιστον αὐτὸ εἶναι. Τοῦτο τοῦ ἀναντίου Πνεύματος ἐνέργεια πρόδηλος. Εἰ γὰρ τῶν Ἁγίων οἱ λόγοι ἀποφάνσεις τοῦ Πνεύματος εἰσὶ τοῦ Ἁγίου, εὔδηλον ὡς ὁ ἀνθισάμενος τούτοις αὐτῷ ἀνθίσαται τῷ λαλήσαντι· ὅ ἔργον πάντως τοῦ Σατανᾶ, ὅ δηλοῖ, ἀντικείμενον. Ἀλλ' ὅτι ὑπερβαίνει μὲ τὸν νοῦν, ἐδὲ πιστεῦσαι ἀνέχομαι. Ὥστε λοιπὸν ἐκεῖνα μόνον πιστεύεις, ὅσα τῇ γνώσει καταλαβεῖν δύνασαι· Εἶτι δὲ τὸν νοῦν ὑπερβαίνει τὸν σὸν, τοῦτο μήτε εἶναι, μήτε γενέσθαι ὑπολαμβάνεις. Ἀλλ' ἀπονοίας τοῦτο, ἵνα μὴ

λέγω ἀνοίας τεκμήριον Εἰ γὰρ ὁρίσαιμεν, εἴτι μὴν δυνάμεθα γνῶναι, τῦτο καὶ μόνον εἶναι· εἴτι δὲ μὴ νοῆσαι δυνάμεθα, τῦτο μηδὲ εἶναι τὸ παράπαν· καὶ ὥσπερ ἡμεῖς βελόμεθα, καὶ ἡ ἡμετέρα Φρόνησις καὶ εἴδησις ἀπαιτεῖ, ἐμοὶ ἄλλως γίνεσθαι τὰ γινόμενα, ὅρα πῦ ἀγνωσίας καὶ ἀσεβείας τῦτο χωρεῖ τὸ ἀνόημα. ἢ μᾶλλον, ἡ ματαία ὑπόληψις καὶ ἀνόητος· Εὐθὺς γὰρ οἰχήσεται ἡμῖν πᾶσα ἡ ἀνσαρκος τῦ Λόγυ οἰκονομία· καὶ σὺ αὐτῆ γε ἅπαν περιεχόμενον ταύτῃ Μυςήριον. οἷον πῶς ὁ Θεὸς γέγονεν ἄνθρωπος· Πῶς τιὼ τεκῦσαν αὐτὸν πρὸ τόκυ, καὶ ἐν τόκῳ, καὶ μετὰ τόκον, Παρθένον ἐφύλαξε· Πῶς ἔπαθε· Πῶς εἰς ᾅδε κατῆλθε· Πῶς ἀνέςη· Πῶς ἀνελήφθη· Πῶς πάλιν ἐλεύσεται· καὶ ἑνὶ λόγῳ ἅπαντα. Ἐπίσησον ἕν, ὡς ἡ τῶν χριςιανῶν πίςις, καὶ τὰ ἐν αὐτῆ πάντα Μυςήρια, ἐκ ἐν ἀποδείξει λόγων, ἐδ' ἐν τῷ συμβαίνειν τοῖς ἀνθρωπίναις δόξαις τὰ πιςευόμενα· ἀλλ' ἐν αὐτῷ τῷ ὑπὲρ ἀπόδειξιν εἶναι καὶ γνῶσιν ἅπασαν, τὸ πιςὸν ἔχει αὖτη καὶ βέβαιον. Καὶ τὲς λόγυς δὲ, ἓς ἀπολογέμενοι ἐν τοῖς θείοις δόγμασι λέγομεν, ἐχ ὡς ἀποδείξεις, ἀλλὰ ὡς τῆς ἡμετέρας δόξης περὶ ταῦτα ὁμολογίαν φαμέν. Καὶ γὰρ, εἴτι τῶν Θείων δι' ἀνθρωπίνων ἐπιχειρημάτων ἀποδέικνυται, αὐτόθεν ἔχει τὸν ἔλεγχον μὴ Θεῖον εἶναι, ἀλλὰ δοκεῖν, τὸ δι' ἀνθρωπίνης τέχνης πιςεῦθαι καὶ γνώσεως. Τί γὰρ ἐςὶν ἄνθρωπος, ἢ ἀνθρωπίνη σοφία, πρὸς τὸ κατανοεῖν ἀνθρωπίνως τὰ θεῖα, καὶ ἀκατάληπτα; Ὡς ἓν ἅπαντα τὰ τῆς ἐνσάρκυ οἰκονομίας ὑπὲρ καταλήψιν ἡμετέραν θεοπρεπῶς γενέσθαι πιςεύομεν, ἕτω καὶ τὸ φῶς ἐκεῖνο φανῆναι τοῖς Μαθηταῖς ἐν τῷ Ὄρει, ὑπὲρ τὸν ἡμέτερον λόγον, καὶ ὑπὲρ πᾶσαν ἔννοιαν τῦτο γενέσθαι ὁμολογῦμεν.

Ἀλλὰ πῶς ἐςὶ δυνατὸν τὸν ἀθέατον θεαθλῶαι, καὶ ὀφθλῶαι τὸν ἀθεώρητον; Πῶς; ὑπὲρ τὸ Πῶς. Τὸ γὰρ πῶς ἐν πᾶσι τοῖς θείοις δόγμασι χώραν ὅλως ἐκ ἔχει, ὑπέρκειται γὰρ πάντα τῦ πῶς, καὶ διατὶ, καὶ τῶν τοιᾶδε ζητήσεων· Πάλιν: εἰ μὴ ταῖς τῶν Ἁγίων ῥήσεσιν ἑπακολεθῆντες,

θέντες, ἐξ ἑαυτῶν ἄκτιστον ἐτίθεμεν ἐκεῖνο τὸ φῶς· Εἰ ἀνθρωπίνη δυνάμει, ἢ γνώσει, ἢ ὀπτικῇ ἐνεργείᾳ, τὸν Χριστὸν ὁραθῆναι τοῖς Μαθηταῖς ἐν τῷ Ὄρει μεταμορφούμενον ἐφρονοῦμεν, κατηγορίας ἄξιοι πάσης, καὶ μάλα δικαίως, εἰπεῖν ἂν· νυνὶ δὲ, τῇ τῶν θείων Διδασκάλων δόξῃ ἑπόμενοι, καὶ τῇ τοῦ Παντοδυνάμου Θεοῦ ἰσχύϊ, καὶ χάριτι μόνῃ τοῦτο γενέσθαι πιστεύομεν. Ἅπαντα δὲ τὰ τοῦ Θεοῦ, ὑπὲρ φύσιν εἰσὶ, καὶ λόγον, καὶ ἔννοιαν. καὶ ὅπου Θεὸς ἐνεργεῖ, τῆς φύσεως ἡ τάξις νικᾶται σαφῶς. Ἀλλ' οὐδὲ πρέπει ἐν τοῖς τοιούτοις ζητεῖν ὅλως τὸ πῶς· μαίνοιτο γάρ τις τοιαῦτα τολμῶν· Ὅτι πρᾶγμα ἄῤῥητον, καὶ ἴδιον Θεοῦ, μόνῳ τε αὐτῷ γινωσκόμενον, ἀξιοῖ λόγῳ αὐτῷ ἐρμηνευθῆναι, καὶ τῇ ἑαυτοῦ φύσει καὶ ἀσθενείᾳ συμμετρεῖν τὸν Θεὸν, καὶ τὴν αὐτοῦ σοφίαν. μᾶλλον δὲ τῇ ἑαυτοῦ γνώσει καὶ καταλήψει, ἀκόλουθον εἶναι δοκεῖν τὴν Θείαν θέλησιν καὶ ἐνέργειαν· Οἷον δὲ, εἴτις εἰς βυθὸν καταδὺς μηκέτι μὲν βλέποι τὸ φῶς, μηδὲ τὰ ἐν τῷ φωτὶ φαινόμενα, διὰ τὸ τῶν ὀφθαλμῶν αὐτοῦ πρὸς τὸ κάτω νεῦμα, καὶ τὴν τῶν ὑδάτων ἐπικειμένην ἐπίχυσιν αὐτῷ· μόνα δὲ τὰ ἐν τῷ βυθῷ αἰθόμενος, νομίζοι μηδὲν πλέον ἐκείνων εἶναι· ἀλλὰ ταῦτα τὰ φαινόμενα αὐτῷ, τῶν ὄντων εἶναι τὰ κύρια· ἔτω καὶ ὁ λογισμοῖς ἀνθρωπίνοις τὰ θεῖα θέλων μετρεῖν. Εἰ γὰρ τοιοῦτον ἰῷ τὸ λεγόμενον, ὡς τῇ τῶν ἀνθρωπίνων ἁπλῶς λογισμῶν δυνάμει καταλαμβάνεσθαι, οὐδὲν ἂν τῆς Ἑλληνικῆς σοφίας διέφευγε. καὶ κεῖνοι γὰρ, ὅπερ ἂν καταλαβεῖν ἐξισχύσωσιν, ἐκεῖνο καὶ εἶναι δοξάζουσιν. Ἐπεὶ δὲ ἀνεπίβατος λογισμοῖς ἀνθρωπίνοις τὸ ἀῤῥήτου ἐκείνου φωτὸς ἡ κατανόησις, τούτου χάριν ἡ πίστις ἀντὶ τῶν λογισμῶν γίνεται, τοῖς ὑπὲρ λόγον τε καὶ κατάληψιν ἑαυτὴν ἐπεκτείνουσα. Ὥσπερ δὲ ὁ Ἥλιος, τῶν ἀθενῶν πλήττει τὰς ὄψεις ὡ παρὰ τὴν οἰκείαν φύσιν· ἔτω καὶ ἐπὶ τῶν μὴ πιστευόντων τοῖς τοῦ Θεοῦ λόγοις, ἀλλ' οἰκείοις λογισμοῖς ἐξακολουθούντων γίνεται. Ἐπὶ δὲ τῶν ὑγιαινόντων ὥσπερ ὁ Ἥλιος πάντῃ ὅμοιος ἐστὶ πάντοθεν, καὶ ὁλόλαμπής, ἔτω καὶ ψυχὴ ἁγία, ἥ, ὥσπέρ τι σῶμα διαφανέστατον καταλαμφθεῖσα, καὶ φω-

τιθεῖσα τελείως ὑπὸ τῦ ἀῤῥήτε κάλλες τῆς δόξης τῦ Φωτὸς τῦ προσώπε Χριςῦ, ὅλη ὀφθαλμὸς, καὶ ὅλη φῶς, καὶ ὅλη πνεῦμα γίνεται· καὶ ἐν τῷ Φωτὶ Φῶς ὀπλάνεται· Καὶ τῦτο ἐςὶν, ὅπερ θαυμάζων ἔλεγεν ὁ Ἀπόςολος: Ἔχομεν τὸν θησαυρὸν τῦτον ἐν ὀςρακίνοις σκέυεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τῦ Θεῦ, καὶ μὴ ἐξ ἡμῶν.

Πρὸς ταῦτα τί ἀποκρινῦνται οἱ τῶν Ἁγίων, καὶ τῆς ἀληθείας ἐχθροί; ὅτι κλισόν; ὅτι τρεπλόν; ὅτι μὴ ὄν, ἐκεῖνο τὸ Φῶς; Καὶ τίσι μᾶλλον πειςέον, τοῖς προῤῥηθεῖσι Φωτηρσι, τοῖς δοχείοις τῦ Πνεύματος; ἢ ἀνθρώποις χθιζοῖς, καὶ ἀπονενοημένοις; οἵ φάσκοντες εἶναι Σοφοὶ ἐμωράνθησαν· καὶ ψυχικοὶ ὄντες, ἢ ὅλως σάρκες, τὰ τῦ Πνεύματος χωρὶς τῦ Πνεύματος κρίνεσιν; Ἀλλ' ἡμεῖς μετὰ τῶν Ἁγίων, καὶ τῦ Θεῦ, ἐν ἀληθείᾳ ἐσόμεθα· καὶ μενεῦμεν ἐν τῷ Φωτὶ, οἵ τ' ἀληθῆ κρατυόντες δόγματα ἐν Τριάδι τῇ πανταιτίῳ· ἧς μία ἡ δυνάμις, μία ἡ λαμπρότης, καὶ μία ἡ ἐνέργεια εἰς τὲς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ
ΠΡΟΣ ΚΡΗΤΑΣ ΕΞΙΤΗΡΙΟΣ.

Πρῶτον μὲν, ὦ Ἄνδρες Κρῆτες, εὐχαριςῶ τῇ πολυϋμνήτω καὶ μακαρίᾳ Τριάδι, ὅτι διὰ ἔλεος αὐτῆς τὸ μέγα ἠξιωσέμε, ἐπὶ καλῷ, σωτήθη καὶ φίλον γενέθαι ὑμῖν· Ἔπειτα τῇ τῶν Οὐσιετίων Ἀριςοκρατίᾳ τῇ Ἀρίςῃ, ὅτι ἐκ πολλῶν συκοφαντιῶν ἀδίκων, πολλάκις δικαίως ἐρύσατόμε. Τρίτον μέντοι καὶ ὕςερον, εὐχαριςῶ μυριάκις ὑμῖν τῆς φιλοξενίας, καὶ τῆς εὐποιΐας χάριν τῆς εἰς ἐμέ. Ὅτι ξένον ὄντα με, ἀγνῶτα, παρεπίδημον, καὶ εἰς ὀδὸν χρήσιμον, ἐπεσκέψαθε παντοίως, καὶ ἐν πάσαις μοι ἑτοίμως ταῖς χρείαις ὑπηρετήσαθε, ἔτος ἰδὲ εἰκοσόν. καὶ πρόθυμοι ἦτε μὴ μόνον τροφὰς καὶ ἐνδύματα, ἀλλὰ καὶ

καὶ χρήματα κενὲν, καὶ αὐτὰς δὴ τὰς ψυχὰς διὰ Κύριον ὑπὲρ ἐμὲ προέθαν· εἰ καὶ μηδέντινος ὑμῶν εἴληφα, ἀλλ' ἀδάπανον εἰς λόγον χρημάτων, σὺ Θεῶ φᾶναι, τὶν φιλίαν ἐτήρησα· καὶ ὅτι πολλάκις εἰς ἔλεος δεομένων ἑτοιμοτάτες εὗρον καὶ πειθοίες ὑμᾶς. Ἀνθ' ὧν ἑκατονταπλασίονας μισθὲς ἐπιμετρήσαι πᾶσιν ὑμῖν ἐν ἡμέραι τᾶς κρίσεως ὁ μισθαποδότας Χριστός· καὶ μυριοντάκις μυρίαι, καὶ ἀπειράκις ἄπειρα προθείη ὑμῖν ἐν ἀπειραπλέτω αἰῶνι τὰ ἀγαθά· καὶ ἀνοίξαι ὑμῖν τὸν θησαυρὸν αὐτᾶ τῶν ἀγαθῶν τὸν ἐράνιον. Καὶ τὲς συκοφάντας δὲ, εἰς ἐπίγνωσιν τῶν καλῶν ἀγαγὼν, συγχωρήσαι αὐτοῖς, εἴτιπερ ἡμῶν κατελάλησαν. Ἡμεῖς γὰρ ἐ μόνον (μὴ) θορυβεῖσθαι, ἢ ἀλγεῖν ἀδίκως μισέμενοι μεμαθήκαμεν, ἀλλὰ καὶ καλλωπίζεσθαι ἐπὶ τέτω, καὶ ἐλεεῖν τὲς μισέντας. καὶ εὔχεσθαι τᾶ μεταβαλέσθαι, καὶ γενέσθαι τέτες χρησές. Εἰ δέ τινα καὶ παρὰ τὸ εἰκὸς ἰώχλησαμεν, ἐκ τᾶς εἰς τὰ καλὰ ἀπειρίας ἴσως· Παρ' αὐτᾶ συγγνώμιν αὐτᾶμεν λοιπόν.

Ἀλλὰ τίς ὁ λόγος ταύτησι τᾶς Ἀπολογίας; Ἰδὲ γὰρ Θεᾶ διδόντος εἰς τὶν τῶν πόλεων πόλιν καὶ Βασιλίδα ἐπάνιμεν, τὶν φίλιν Κρήτιν, καὶ τὰς ἐν αὐτᾷ διὰ Κύριον καταλιπόντες διατριβάς· Πόλιν τᾶς οἰκεμένης τὸ Ἄγαλμα· τᾶς καλλονᾶς τὶν ἐξίαν· Τὸ πρόσκαιρον τᾶς τρυφᾶς χωρίον· τὶν ξένιν θέαν πασῶν τῶν χαρίτων· τᾶ ἡμετέρα γένες τὸ ἔδαφος. τὸ τῶν ἀγαθῶν Πρυτανεῖον· ὁμόροις τε θέλγητρον, καὶ ἀλλογενέσιν ἡδύτατον λάλημα. Καί μοι πρὸς τᾶς φιλίας αὐτᾶς σύγγνωτε, ὅτι ἐ προαπεκάλυψα ὑμῖν τὸν σκοπόν· δέα γὰρ τᾶ μὴ πρός τινος κωλυθῆναι, τᾶτον τοῖς πᾶσιν ἀπέκρυψα.

Ἀλλὰ μὴ ἀξιώματός τινος μικρᾶ ἢ μέζονος ἐφέσει, τὸν ἀπόπλεν με σέλεσθαι τόνδε τις ὑμῶν ὑπολάβοι· ἐ γὰρ τοιᾶτος, Φίλοι, ὁ ἐμὸς τρόπος· ἀλλὰ καὶ τὸ προσόν μοι τετὶ παραιτήσασθαι· καὶ ἐν Μαθητᾶ καὶ Παιδὸς τάξει, ἐν ᾗ καὶ ἐκλήθην, καὶ ἧς ἐμὶ ἄξιος μόνης, βέλεσθαι τὸν ἐπίλοιπον βίον, βραχὶν ὄντα διαπεράσαι, εἰμὴ ἀκέ-

σιός τις περίσασις βιάσηται με τῶν ἀδοκήτων τι ὑποχεῖν. Οὔτε μὴν διά τινα λύπην, ἢ βίαν· δι' αὐτὸ δὲ τὸ καλὸν, ὁποῖον δ' ἄρ' ἐστὶ, τὴν ἀποδημίαν ποιῆμαι. Ὥσε καὶ τῶν πεπραγμένων μοι πάντων δοκιμὴν ἀκριβῆ πρὸς τῶν πρὸ-χόντων λαβεῖν, μήπως εἰς κενὸν τρέχω, ἢ ἔδραμον· καὶ ἐμαυτῦ, ὅσις εἰμὶ, ἐκ παραθέσεως τῶν κρειττόνων ἐπι-μνηθῶσι, καὶ συζήσας αὐτοῖς τῦ λοιπῦ, ἂν τὸ τῆς κε-φαλῆς ἄλγος μὴ ταύτας μοι προδῷ τὰς ἐλπίδας. Ἡ χρὴ οἴεσ μὲν ὑμῶν, χρημάτων ἕνεκεν, πλεῖν ἐπὶ Τάναϊν, καὶ τὰς Βρεττανικὰς Νήσους, καὶ κινδυνεύειν πολλάκις περὶ τὸ ζῆν· ἐμὲ δὲ ὑπὲρ τῆς ἐμῆς ψυχῆς μηδὲν πονεῖν, μηδὲ πρός τι μέρος τῆς οἰκεμένης ἀποδημεῖν; ἢ μὴν, ἀχρείως μὲν αἱρεῖσθαι ζῆν μόνον, ἀλλὰ μὴ τῦ εὖ ζῆν ἐφίεσθαι;

Ἐπεὶ ἓν ἔτω προειθέμεθα, σὺν Θεῷ, τὸν σκοπὸν, ἀντὶ παντὸς ἐξιτηρίε λόγε παραινῆμεν ὑμῖν, συσέλλεσθαι ἀπὸ πάντων τῶν ἀτάκτως περιπατέντων, καὶ ἐκκηρύκ-των διατῆτο γεγονημένων τῆς Ἐκκλησίας· Ταῦτα μεθ' ἡμῶν τὸ τῦ Χρισῦ σῶμα Παῦλος ὁ Μέγας ὑμῖν ἐπιτάτ-λει· καὶ μετὰ Παύλε ὁ νῦν Οἰκεμενικὸς καὶ τῶν Ἀπο-
» στόλων διάδοχος· ἐξέλθετε ἐκ μέσε αὐτῶν, καὶ ἀφορίσθη-
» τε· καὶ μὴ κοινωνῆτε ἀμαρτίαις ἑτέρων· ἀρκεῖ γὰρ ἑκά-ςῳ τὰ οἰκεῖα κακά·

Ἀλλ' ἀρκλέον ἤδη τὰ κατ' αὐτὸς κτ. (*)

Καὶ μήτις δῆθεν προφασιζέσθω, ὡς ἐκ ἐνὸν τὸς τοιέτες ἡμῖν ἀνακρίνειν· εἰδὼς, ὅτι ἄλλο ζῆλος, καὶ ἄλλο κατάκρισις· ἄλλο τῦ πλησίον διασυρμὸς, καὶ ἄλλο παραίνε-σις τῦ τίνας χρὴ προσίεσθαι, καὶ τίνων ἀπέχεσθαι· Οὐκ ἔσι τῦτο κατηγορία, ἐκ ἔσιν· ἀλλὰ τοῖς βελομένοις διόρ-θωσις. Δεινὸν ἡ κατηγορία· φημὶ κἀγὼ, καὶ σφόδρα δεινὸν

(*) Τὰ ἐντεῦθεν ἐφεξῆς ἀναγινώσκεται, καὶ ἐν τῷ Γ'. Λόγῳ τῶν εἰς τὸν Σωτήριον Σταύρωσιν· ἐν τῷ Β' Τόμῳ τῶν προσκοδθέντων, Σελ. 252-272. Διὸ ἡμεῖς αὐτὰ παραλείποντες, καὶ ὅσ' ἄλλα τοῖς ἐκεῖ παραπλήσια ἅπαντᾷ, τινὰ μόνον ἀποσπάσαντες, τὰ ἐν ἐκάνῳ τῷ Λόγῳ μὴ ἐμφερόμενα, ἀναγράφομεν.

δεινὸν· ἀλλ' ὅταν πρὸς τὰς, ὡς ἄντις εἴποι, τυραννεμένας τῇ ἁμαρτίᾳ γίνεται· ἢ ὅταν πρὸς τὰς εἰς τὸ Θεῖον ἀναιχωτεῦντας· καὶ ἀρνεμένας μὲν τὸν τῷ Χριστῷ μὲ διάδοχον, (*) κατὰ πάντων δὲ Κανόνων ἀναίδιν χωρεῦντας. Καὶ ἄλλως· Ἱεροκατήγορος ἐκεῖνος ἂν εἰκότως καὶ νομιθείη καὶ λέγοιτο, ὁ τὸν πρὸς τῆς Ἐκκλησίας τῷ Χριστῷ ςεργόμενον ἀθετῶν Ἱερέα, ἢ ἀποπλιώων μάτιν ταῖς ὕβρεσιν. Ὡς ὅγε τὸν πρὸς ταύτης καθαιρεθέντα οἰκοθεν σωιζῶν, ἐδὲν ἄλλο, ἢ ἀντινομοθέτην ἑαυτὸν δικαιότερον ταύτης ἀντικαθίςησιν. Ὅταν δὲ καὶ γράμμα ἐκεῖθεν ἀπολυθὲν, ἐκείνε μὲν ἤδη ἀργίαν καταψηφίζεται παντελῆ, τότω δὲ, εἰ τὸν ἀργὸν σωιςᾶν ἐθελήσει, ἀφορισμὸν ἀπειλῇ, πῶς ἔςαι τῷθ' Ἱερέως κατηγορία; ἐμοὶ τἐναντίον ἅπαν δοκεῖ. τὸ δικαιῶν μὲν ψεύδειν αὐτὸν τὸν καθαιρεθέντα διάτι, καταψηφίζεθαι δὲ τῆς Ἐκκλησίας ἁπάσης, τῶτο ἐχάτη ἀπόνοια, καὶ ἄκρα τῶν ἄκρων Ἱερέων κατηγορία ἐςίν. Εἰ ὀρθόδοξος εἶναι βέλει, καὶ τῶτο ςέφανός σοι καυχήσεως, πᾶσι τοῖς ὑπὸ τῆς Ἐκκλησίας προσατιμένοις ὑπάκυε· ἑνί τε λόγῳ τὸν ςεργόμενον φέργε, καὶ ἀποςρέφε τὸν ἐκκοπτόμενον· ὡς ἂν καὶ δέλε εὐγνώμονος ἔργον πληρῆς, καὶ τῷ πρὸς συμφέρον ἐλεγχομένῳ, ἀφορμὰς μετανοίας παρέχῃς, ὡς φρόνιμος. καὶ τοῖς ἀναιχωτεῖν τ' αὐτὰ βελομένοις ἐκείνῳ, τὰς ἀκαθέκτες ἐπέχοις ὁρμάς. Εἰ δὲ τὰ μὲν ἀποδέχῃ, τοῖς δ' ἀντιτείνοις, ὡς ἂν σοι δοκῇ, τοῖς τὰς ἑαυτῶν Κριτὰς κρίνεσιν ὑποθυμοῦσι ἐδὲν διαφέρεις, καὶ τῶν μαθητῶν τοῖς ἀντιλέγεσιν ἔοικας· τῷ τε καινονιθέντι, καὶ τοῖς ἐκείνε ὁμόφροσι λειποταξίας καὶ ἀπωλείας κριθήσῃ παραίτιος. Ὥσπερ γὰρ τὸ χειροτονεῖν ἱερέα ἰδιώταις ἀνοίκειον, δυσεβείας ἐ πόρρω, καὶ πάσης τόλμης ἀνάπλεων· ἕτω καὶ τὸ σωιςᾶν ἐξ ἀρχῆς τὸν καθαιρεθέντα, πάντῃ τοῖς κοσμικοῖς ἀπηγόρδται· καὶ ἐδεμία σὺ τότοις διαφορὰ, πλιὼ ὅσον, οἱ μὲν, τὸν μήπω δραξάμενον τῆς ἀρχῆς καθιςᾶν·

(*) Τὸν Κωνσαντινοπόλεως Πατριάρχιν, οἶμαι, ὑποσημαίνει, ὃν παρακατιὼν μέγαν Ἀρχιερέα προσαγορεύει.

οἱ δὲ, τὸν ταύτης ἐκπεσόντα εἰσάγειν ἀσεβάζεσιν. * *
* * * * * * * * * * * * * * * * *

Ἀλλὰ τᾶτο μὲν τοιᾶτον αὐτοῖς, ὡς ἐκ μέρες δηλῶσαι τὸ πᾶν. Τὸ δὲ γυναῖκας πολλαχόθεν συναγαγόντας αὐτὲς, διὰ βίε συνεῖναι ταύταις ἀναίδην, ὅσης ἀποστροφῆς Θεᾶ σύμβολον; Ταύτητοι καὶ φαμὲν μὴ συγκοινωνεῖν ὅλως τοῖς τας συνειςάκτες ἔχεσι Μοναχοῖς· εἰδότας, ὡς ἀπηγόρευται πάντη τῷ ἡμῶν ἐπαγγέλματι, πρός τε Θείων Νόμων καὶ Συνόδων, κοινῇ καὶ ἰδίᾳ γεγενημένων, τὸ θηλείαις ἁπλῶς συνδιαιτᾶσθαι καὶ συνοικεῖν. Τὸ δὲ καὶ Κανονικαῖς, καὶ ταῦθ' Ἱερέας Πνευματικὲς, ὡς ἐθνικὸν, ἵνα μὴ λέγω δαιμονικὸν, καὶ κατηργήθη παρὰ πάντων αὐτῶν, καὶ ἀφώρισται προφανέστατα· Τῶν μὲν λεγόντων: Ἀπὸ Κανονικῶν ἀπέχε ὡς ἀπὸ πυρὸς, καὶ ὡς ἀπὸ Παγίδος Σατανικῆς, ἔκτε τῆς θέας αὐτῶν, καὶ Συνομιλίας, καὶ τῆς Συναντήσεως· μήποτε ψυχραν θῇ σε ἡ ψυχὴ ἀπὸ τῆς θέρμης τᾶ πνεύματος· Τῶν δὲ: Μὴ δὸς Κανονικαῖς γυναιξὶ παῤῥησίαν θαῤῥῆσαι σοι ποτέ· ἁλάβειαν γὰρ ἐν ταῖς ἀρχαῖς ἔχεσιν, ἢ ὑποκρίνονται, ὕστερον δὲ πάντα τολμῶσιν ἀναιδῶς. Πρώτη συντυχία, καὶ τὸ βλέμμα ἔχεσι κάτω· ἐρωτῶσι περὶ ἀγνείας, καὶ ἀκέσει προθύμως ξενάζεσι πυκνὰ, καὶ δακρύεσι συμπαθῶς· Δεύτερον εἴδες, καὶ μικρὸν ἀνένευσαν. Τρίτον, καὶ προσέχεσιν ἀναιδῶς, καὶ ἐνδείκνυνται σοι σαφῶς. Σῶμα κοσμεῖσι, καὶ περιστρέφεσιν ὄμματα. καὶ λόγες λαλεῖσι μαλακοσοντας τὸ πάθος. Ἕτερον: Οἱ Ἱερεῖς τὸ Μοναχικὸν ἀμπεχόμενοι χῆμα, ὑπηρετεῖσθαι παρ' Ἀνδρῶν. ἵνα μὴ τὸ ὄνομα τᾶ Θεᾶ δι ὑμᾶς βλασφημῆται. Ὅτι τὸ παρά τινων ὑγιῶς γινόμενον, ἑτέροις ἀφορμὴ πρὸς ἀπώλειαν γίνεται. Ἐδιδάχθημεν δὲ, μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ εἰς σκάνδαλον. Εἰ δ' ἔν, ἀργοὶ τελεῖτε τῆς Ἱερωσύνης, καὶ τῷ Κυρίῳ λόγον τῆς ὑμῶν ἀργίας παρέξετε, καὶ ἀνάθεμα ἔσεσθε παντὶ τῷ λαῷ. καὶ οἱ δεχόμενοι ὑμᾶς ἐκκήρυκτοι ἔσονται. Ἄλλων: Ὅταν Πατὴρ πνευματικὸς θυγατέρα σὺν μεθ' ἑαυτῆ κατέχῃ, συγχω-

συγχωρήσεως τοῦτο ἀνάξιον· κἂν γὰρ αὐτοὶ μηδὲν ζημιωθῶσιν, ἀλλ' ἀκεραίαν μείνωσι τὴν ἀγιωσύνην φυλάττοντες, ἀκ ἐλάττονα δώσουσι λόγον, ὑπὲρ ὧν ἐσκανδάλισαν ψυχῶν, ἢ εἰς ἀλλήλους ἁμαρτάνοντες ἔτυχον. Καὶ πάλιν: Εἰ δέ τις θηλείαις συνδιαιτώμενος ἀπαθὴς μένειν λέγει, ἦτος, ἢ ὁ μετέχηκε τῆς τοῦ ἄρρενος φύσεως, ἢ τοῖς μεθύουσι καὶ φρενητιῶσι ταυτοπαθεῖ, οἵ τὰ δεινότατα καὶ αἴσχιστα πείσεσθαι δεδεν τοιοῦτον πάσχειν διισχυρίζονται. Καὶ ἔτι: Μοιχεία ἐστὶν ἀσκητῇ, καὶ μεγάλη μοιχεία, ἡ γυναιξὶ συνοίκησις. μὴ γὰρ λίθος εἶ; ἄνθρωπος εἶ, τοῖς τῆς ἀνθρωπίνης φύσεως συμπτώμασιν ὑποκείμενος. Πῦρ ἔχεις ἐν τῷ κόλπῳ, καὶ ὁ καίη; Θὲς λύχνον εἰς χόρτον· καὶ τότε, εἰ δυνάσαί μοι εἰπεῖν, ὅτι ὁ καίεται ὁ χόρτος· Εἰ δὲ ἀρνῇ, λέγων ὅτι ὁ καίεται ὁ χόρτος, ἐμοὶ μὴ λέγε, ἀλλὰ τῷ εἰδότι τὰ κρύφια. ὃς ἔρχεται συναγαγεῖν τὰς συλλογισμάς. Κριτὴς γὰρ ἐστὶν ἐνθυμήσεων, καὶ λογισμῶν, καὶ ἐννοίας καρδιῶν συνίει. Ἔτι: Ἀπηγόρευσε, φασὶν, ἡ Μεγάλη Σιὼδος ἡ ἐν Νικαίᾳ καθόλε, μήτε Ἐπισκόπῳ, μήτε Πρεσβυτέρῳ, μήτε Διακόνῳ, μήτε ὅλως τινὶ τῶν ἐν τῷ Κλήρῳ, συνείσακτον ἔχειν· Ταύτῃ ἑπόμενα καὶ ἡ Ἕκτη φησί: Μήτε ἐν Ἀνδρῶν Μοναστηρίῳ γυνὴ, μήτε ἐν Γυναικείῳ ἀνὴρ καθιδρύετω. Παντὸς γὰρ προσκόμματος καὶ σκανδάλε ἔξω δεῖ εἶναι τὰς πίστεις, καὶ πρὸς τὸ εὔχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ τὸν ἑαυτῶν εὐθετίζειν βίον. Εἰ δέτις τοῦτο πρᾶξαι τολμήσῃ, εἴτε Κληρικὸς, εἴτε λαϊκὸς ἀφοριζέσθω.

Τούτων ἓν ἔστω πρὸς τῶν Ἁγίων σαφέσατα λεγομένων, μηδὲ τυφλὸς οἰέσθω τις πεῖσειν, μήτοι γε βλέποντας, Παρθενδύσαις ἐν μονώσει, καὶ τῇ τῆς ἡλικίας ἀκμῇ σωφρονίζοντα, σωφροσιώλῳ τε καὶ Ἱερωσιώλῳ φυλάττειν· Ἀλλὰ σὺν τῇ ἑαυτοῦ τιμῇ καὶ τῇ ψυχῇ πάσας ἀπωλέσαντα, καὶ πρὸ τούτων εἰς Θεὸν ἐνυβρίσαντα. ἔστω τοῦ λοιπὸν διάγειν ἀναιχαιτέντα, μήτε τὸ Θεῖον ποσῶς δεδοικότα, μήτε τὰς ὁμοφυεῖς αἰσχυνόμενον· καὶ πάσαις μὲν μηχαναῖς καὶ πανουργίαις τὸ πάθος καλύπτειν ἀσφ-

δάζονται· χήμασι μὲν σώφροσι, καὶ ἀπολογίαις ποικίλως σιωτεθειμέναις, πάντα δὲ καθ' ἑαυτὲ μηχανώμενον, καὶ τὸ ἴδιον πάθος δι' αὐτῶν θριαμβεύοντα. (*) Εἶτα τολμήσει τις ἐγκαλεῖν, ὅτι σφοδρῶς αὐτῶν καθαπτόμεθα; Τιμάθωσαν οἱ τῆς ἡμετέρας Αὐλῆς τρόφιμοι· ἀφημειώθωσαν οἱ Νομοθέται· σιγάτωσαν αἱ κατὰ τῶν μεγίστων ἀναίσχυντοι γλῶσσαι· παυσάσθω ταῦτα τὰ τολμηρὰ, καὶ αὐτὸς σιωπήσομαι· Ὡς, ἕως ἂν ταῦτα τολμᾶται, κἀκεῖναι λαλῶσιν ἀδικίαν εἰς τὸ ὕψος, δικαιοσύνῃ ἐγὼ, μέγα, καὶ ἔτι μεῖζον κεκράξομαι. Εἰ γὰρ ἑνὸς τῶν Ἁγίων βλασφημεμένε ἐκ ἂν ἀνεχόμην ἀκέσας, πῶς πάντων ὑβριζομένων ἀνέξομαι; Θεῖοι περιφρονῆνται Νόμοι· Πατέρων ὅρια ὑπερβαίνονται· βασιλεῦσαι πάλιν κατὰ κράτος ἡ ἁμαρτία βιάζεται· καὶ πρέπει ὅλως σιγᾶν; ἢ χρὴ σὺ τέτοις σιγᾶν; καὶ ποῖος Ἅδης τῆτο ἐρύξεται;

Πρὸς τέτοις ἔτι, κἀκεῖνο κοινῶς ἅπασιν ὑπομνῆσαι ἀναγκαῖον ἡγέμαι, καὶ ἀπαραίτητον· Τὸ μάλιστα μὲν προφανῶς ἀπελέγχον αὐτῶν τὴν ἀναίδειαν, δικαιοῖ δὲ ὑμᾶς τῆς Φιλίας αὐτῶν ἀποχίζεσθαι. Οὗτοι καθαιρεθέντες Σιωδικῶς καὶ ἐγγράφως, ἑδένα λόγον τῆς Σιωόδε, ἢ τῶν γραμμάτων ἐκείνων πεποίηνται· ἀλλὰ βλασφημίαις ἀῤῥήτοις καὶ ὕβρεσιν, αὐτοί τε καὶ σὺν αὐτοῖς αἱ σιωείσακτοι, τόν τε μέγαν Ἀρχιερέα, καὶ τὰς περὶ αὐτὸν βάλλεσιν ἐκτόλε δημοσίᾳ, καὶ ἀπειθέσι καὶ καλαρῶνται, καὶ ἐρανὸν γῇ μιγνύεσι, τὸ τῆ λόγε· καὶ τό γε δεινότατον, ἱεροπραγέσι βίᾳ καὶ τυραννίδι, τῆ Ἀποστολικῆ Κανόνος ὑπερ-
» φρονήσαντες, ἔτω λέγοντος: Εἴτις Ἐπίσκοπος, ἢ Πρεσ-
» βύτερος, ἢ Διάκονος, καθαιρεθεὶς δικαίως ἐπὶ ἐγκλήμα-
» σι φανεροῖς, τολμήσειεν ἅψασθαι τῆς ποτὲ ἐγχειριθείσης
» αὐτῷ λειτεργίας, ὁ τοιῆτος παντάπασιν ἐκκοπτέσθω τῆς
» Ἐκκλησίας. Ἀλλὰ τί τῆτο πρὸς τὸ μέλλον ῥηθήσεσθαι;
» Οὗτοι . . . . Ἀλλὰ πῶς ἀδακρυτὶ ταυτὶ διηγήσομαι;

Πολλὰ

(*) Τέτοις προσεοικότα τινὰ λέγα, καὶ ἐν τῷ προσημαωθέντι Λόγῳ Γ'. τῶν ἐς τὸν Σταύρωσιν. Σελ. 259.

Πολλὰ πρότερον ἀπειλήσαντες λόγοις, εἰμὴ λάβοιεν ἄδειαν γυναιξὶ διὰ βίᾳ σωθῆναι, ἀποξιῶσι μὲν τῆς ἡμετέρας Αὐλῆς, ὑποκύψασι δ' ἑτέρᾳ, ἵνα μόνον τύχωσι τοῦ σκοποῦ, καὶ τῶν σωθησάντων ὧσιν ἀχώριστοι· ἔργῳ τοῦτο τὸ ἀπειλούμενον ἔνιοι τούτων, εἰ καὶ μὴ πάντες, ἐπλήρωσαν, τὰς αὐχένας κλίναντες, λέγω, καὶ τὰς ψυχὰς σὺν αὐτῷ, καὶ λαβόντες ἐκεῖθεν δίχα τοῦ λεγομένου τῆς λύσεως. καὶ λόγοις ἅμα καὶ ἔργοις ὁμολογήσαντες τῷ Οἰκουμενικῷ μὲν μηκέτι ὑπείκειν, ἅτε μὴ ἐνδιδόντι πράττειν παράνομα· ὑποτάσσεσθαι δὲ τοῖς λοιποῖς τῷ, καὶ τοῦτο ῥᾷστα, καὶ τἄλλα συγκαταβαίνοντι· Διὰ ταῦτα βέλονται μηδένα εἶναι τὸν ἐλέγχοντα, ἵνα καὶ τοῦ ἐντεῦθεν ἐπιτριβομένου αὐτοῖς αἰσχρῶς ἐκφύγωσι τὸ δοκεῖν, καὶ διαρκὴς αὐτοῖς ἡ κακίστη διαμένῃ σωτηρία. Ὦ μιαρᾶς συμπνοίας, καὶ σφαλερᾶς συμβολίας! Τοσαῦτα γυναικῶν ἔρως ἰσχύει! Ὦ θείας Κύριε, Μονογενὲς τοῦ Θεοῦ Παῖ, καὶ Προσκυνητὲ Λόγε! καὶ τῶν σωθησάντων ἀποσήσας, ὡς οἶδας, αὐτὸς, ἀρετῇ ἐπισώσαψον, καὶ τῇ Σῇ Ἐκκλησίᾳ συμβίβασον. Εἶτα καὶ τὸ ἑπόμενον τούτοις, ὀλεθριώτατόν τε καὶ ἀτοπώτατον· Πάντες γὰρ οἱ εἰς αὐτὸς ἐξομολογήσαντες, οἵ τε συγκοινωνήσαντες καὶ συλλειτουργήσαντες αὐτοῖς, περὶ τὰ καίρια κινδυνεύουσιν.

Ἵνα δὲ μήτις φθόνῳ κινούμενον (*) λέγειν με ταῦθ' ὑπολάβοι, καὶ πολλὰς μὲν τῶν ἀκουόντων ὑμῶν, τούτων παρέχομαι μάρτυρας, καὶ αὐτὰ δὲ τὰ πράγματα τραχύτερον σάλπιγγος συμμαρτυρεῖ μοι τῷ λόγῳ. Ἔγω μέντοι καὶ σιωπωμένου ἡμῖν, μάρτυρι τῷ Θεῷ χρωμένοις, ὃς δύναιμην ἐστὶ καὶ ἀληθινός· δι' ἣδεν δὲ τῶν ἐξωτερικῶν ἀγαθῶν, ἀλλὰ δι' αὐτὸν αὐτὸς, καὶ τὸ φύσει εἶναι αὐτοαλήθα· Διάτοι τοῦτο μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ πᾶσιν ὑμῖν παραγγέλλω, ἐπιτάττω, καὶ προσδιαμαρτύρομαι, μηκέτι τούτοις συγκοινωνεῖν· βλέπετε, προσέχετε, φεύγετε ἀπ' αὐτῶν, ὡς ἀπὸ πυρός. Ἐπειδὴ γὰρ

(*) Ὅρα ἐν τῷ ἐρημ. Λόγ. Τόμ. Β'. Σελ. 259. 260.

γὰρ ἀεὶ κατὰ πρόσωπον διαμαρτύρεσθαι πᾶσι περὶ τῶν τοιούτων ἐχ οἷός τε εἰμὶ, ἅτε ἀπαίρων ἀντεῦθεν, ἀναγκαῖον ἐνόμισα καὶ εἰπεῖν ἀπὸ σόματος, καὶ γράψαι ταυτὶ πρὸς τλιὼ πάντων ὑμῶν ἐν Κυρίῳ ἀγάπλιω· καὶ ἐμαυτὸν μὲν ἐλεύθερῶσαι τῆ κρίματος, ὑμᾶς δὲ περὶ τῶν ἐπιβαλλόντων ὑμῖν ὑπομνῆσαι, τὶ χρὴ ποιεῖν. Πλιὼ, ἐγὼ μὲν, ἐ διέκειλάμλιω ὑμῖν καταγγεῖλαι τὸ μαρτύριον τῆ Θεῆ, καὶ λόγοις ὡς ἀκήετε, καὶ ὡς ὁρᾶτε τοῖς γράμμασιν. ἐφ' ὑμῖν δὲ κεῖται λοιπὸν, τὸ φυλάξαι αὐτὸ, ἢ καὶ μή. Ἀθῶος αὐτὸς ἀπὸ πάντων ὑμῶν ὑμεῖς ὄψεσθε.

Ὡς ἴν εἰδότες, ὅτι ἀντιπρόσωποι ὑμῖν οἱ τῆς Θεοπνεύστε Γραφῆς λόγοι ςήσονται ἐπὶ τῆ βήματος τῆ Χριςῆ, ὥτω καὶ πρόχετε νήφοντες, καὶ εἰς ἔργον προαγαγεῖν τέτες σπεδάσατε. Ἀνάγνωτε τὰς Ἀποςολικὰς Κανόνας. » Ὁ τῷ ἀκοινωνήτῳ, φησὶ, κοινωνῶν, καὶ αὐτὸς ἀκοινώνητος » ἔςω. Καὶ εἴτις καθηρημένῳ, κᾶν ἐν οἴκῳ, κᾶν ἐν οἰκίᾳ » συνδέξηται, καὶ αὐτὸς ἀφοριζέσθω. Ἐρεύνησατε τὰς Θείας Γραφὰς, ἅτε τῆ Παλαιᾶ καὶ Καινῆ Διαθήκη, καὶ εὑρήσετε, ἐ μόνον ἐφ' οἷς τινες ἥμαρτον, ἀλλὰ καὶ ἐν οἷς ἁμαρτάνοντας ἄλλες ἐ διωρθώντο, κολαζομένες μυρίες ἐπίσης τοῖς ἁμαρτήσασι. (*) Διὰ τῆτο Ἄχαρ ἱεροσύλησε, καὶ πᾶς ὁ λαὸς ἐμασίζετο. Ὁ Ζαμβρὴ ἐπόρνευσε, καὶ τὸ ςρατόπεδον ἅπαν ἐθεραύετο· Ὁ Ἀχαὰβ εἰδωλολάτρει, καὶ ὁ Ἰσραὴλ πᾶς ἐλίμωτλεν. Ὁ Σαὲλ τῆς τῶν Ἀλλοφύλων βασιλέως χειρέμενος ὤκτειρε, καὶ πᾶσα ἡ ςρατιὰ παρεδίδοτο. Εἷς τλιὼ ἑαυτῆ Μητρεὰν ἔγημε, καὶ πάντες ἔπαχον οἱ Κορίνθιοι. Ταύτητοι τὸν Θεὸν ἐπεκδικῆντες οἱ Ἅγιοι, καὶ ἵνα μὴ συγκαταριθῶσι τοῖς ἁμαρτάνεσιν· Ὁ μὲν Μωϋσῆς ἐν ἡμέρᾳ μιᾷ, μυρίες τῷ ξίφει πεσεῖν παρεσκεύασεν. Ὁ δὲ τῆ Ναυῆ Ἰησῆς τὸν Ἄχαρ λιθόλεβον γενέσθαι προσέταξεν· ὁ Φινεὲς τῷ Ζαμβρῆ τλιὼ

(*) Τέτοις τ' αὐτὰ κᾶν τῷ ῥηθέντι Λόγῳ, αὐτολεξεὶ πάρεσιν ἀναγνῶναι· Σελ. 261. παρετέθη δὲ κᾶν ταῦθα, ἵνα μὴ ὁ τῆ Λόγε ἁρμὸς διακοπῇ.

τιὼ Μαθιανῖτιν συνεξεκέντησεν. ὁ ζηλωτὴς Ἠλίας τετρακοσίες ἱερεῖς τῆς ἀσχώνης, καὶ τετρακοσίες τῶν Ἄλσεων, ἐν μιᾷ ἡμέρᾳ κατέσφαξεν. ὁ δὲ Σαμουὴλ τὸν Ἄγαγ βασιλέα τῶν Ἀμαλὴκ διασωθέντα ὑπὸ Σαοὺλ κατεφόνευσε. Τὸν μέντοι πεπορνευκότα ὁ Παῦλος τῷ Σατανᾷ παραδοὺς, οὐδὲ τῶν Κορινθίων ἐφείσατο, ἀλλ' ἀριθμῷ κρείττες τῷ θανάτῳ παρέπεμψεν, ὅτι ὅλως ἰσχύοντο τοιαῦτα παρανομήσαντος. Καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων ἔτως ἐστίν. Ἢ γὰρ ἀρχὴ καὶ ἐπὶ τῶν Κοσμικῶν πασῶν Κρίσεων τοῦτο γίνεσθαι σωφρονεῖς; Ἂν γάρτις σωφρονῇ τῷ λησῇ, ἢ τῷ φονεῖ, ἢ τῷ κλέπτῃ, κἂν ἡ μηδὲν ἐπαισχρὸς, τιὼ αὐτιὼ ἐκείνῳ ὑφίσαται κόλασιν· εἰδ' ἦγε, πάντως μετριωτέραν.

Ἀπόσητε ἦν ἀπ' αὐτῶν, ἵνα καὶ τῷ ὑμῶν χωρισμῷ λυπηθέντες ἐκεῖνοι, εἰς σωφρόνησιν ἔλθωσι, καὶ ὑμεῖς τῆς ἁμαρτίας ἐκείνων ἀπόσχησθε. Ὡς ἔως ὁρῶσι τινὰς ἐξ ὑμῶν ὑπερμαχέντας προθύμως αὐτῶν, τραχηλιάσουσιν ἔτι, καὶ ἀναιδεσθήσονται. Οὐδὲν γὰρ τολμηρὸν ἔτω καὶ αὐθάδες, ὡς ἁμαρτία βοηθεμένη. Εἰπὲ γάρ μοι· εἴ τινά σοι τῶν φίλων ἐπὶ τῆς ἀγορᾶς ἐθεάσω μεθύοντα· καὶ ῥήματα κατὰ τῆς ἡμῶν Ἀρχῆς ἀφιέντα πρόξενα βρόχε, ἆρα ἠνέχε συνήγορος αὐτῷ φαραθῆναι; καὶ τῆς μέθης παραίτιος; Οὐκ ἔγωγε οἶμαι· εἰμήπε καὶ αὐτὸς ὑπελθεῖν σιὼ ἐκείνῳ ἀλόγως, τὸν δι' ἀγχόνης θάνατον ἐπαθύδες. Μέθιω ἦν καὶ ἔτοι μεθύσιν, ἵν' ὁ Προφήτης Ἡσαΐας προέγραψεν εἰπών· Οὐαὶ οἱ μεθύοντες οἶνε. κατά τε τῶν θείων Νόμων, καὶ τῆς Χριςῆ Ἐκκλησίας προίσανται ῥήματα προξενῆντα τιὼ γένναν. Τοίνιω μήτε συνήγορος αὐτοῖς, μήτε συνεργὸς γίνε τῆς μέθης, ἵνα μὴ τιὼ αὐτιὼ αὐτοῖς δίκιω ὑποσῇς, ἢ καὶ μείζονα. Εἰδέ τις ἐξομολογεῖσθαι αἱροῖτο, εἰσὶν ἔτι οἱ μήπω τῇ ἀρᾷ ταύτῃ ὑποπεσόντες, πρὸς ἓς ἀπερχόμενος ἀπονιπτέσθω τὰ πλάσματα· ὡς ἂν μὴ ἀντὶ θεραπείας ὁ τοιῆτος, ἀφορισμῷ ὑποπέσῃ τῶν Ἁγίων Πατέρων. Δάκνει ταῦτα ἐνίες. Οἶδα κἀγώ· ἀλλ' ὅτι νοσῆσι, διὰ τῆτο δάκνου-

δάκνονται· εἰ γὰρ μὴ ὅλως ἐνόσει, ἐκ ἂν ὑπὸ τῦ μέλιτος, ἤτοι τῆς ἀληθείας, ἐδάκνοντο· Ἀλλὰ τὰ μὲν ἐκείνων ἐπὶ τὸ κρεῖττον μεταβεβλήθω εἰδ' ἔν, ἐρρέτω, ἀνιάτως νοσήσασι· τὰ δὲ ἡμέτερα, ὅπη τῷ Θεῷ φίλον, ἀγέσθω.

Ἡμᾶς δὲ, μηδεὶς ὑμῶν ὑποπτεύσῃ, τῆς ὑμετέρας ἀγάπης ποτὲ ἐπιλήσεσθαι. Ἦν γὰρ καὶ πορρωτέρω τῆς Βασιλίδος ἀποικιδῶμεν, ἀλλὰ μνησθησόμεθα τῆς ὑμῶν διαθέσεως, καὶ ὅσιν περὶ ἡμᾶς τιὺ φιλοφροσύνιν ὑπεδέξασθε, ἡμῖν αὐτοῖς ἔξομεν περιφερομένιν τιὺ μνήμιν. Οὐ γὰρ ἔτω τῦ προσήκοντος πέρα φίλοι ἀγνώμονες, καὶ εἰς τοιῦτον ἀχαριτίας ἡμεῖς ἐξωκειλαμεν, ὥστε τοσαύτης φιλίας λήθιν ὑπομεῖναι τῷ χρόνῳ. Μὴ ἔτω νε, καὶ φρενῶν ἔξω γενοίμεθα. Ἀλ' ὥσπερ παρόντες, τὸ ὑμῖν σωπᾶν μέγα ἠγέμεθα, ἔτως ἀπόντες, ὡς μελῶν συμφυῶν σερᾶσθαι νομίσομεν, καὶ τιὺ ἑκάσιον ταύτιν ἡμῶν ἀποικίαν, ὡς ἀκάσιον ξενιτείαν ὑπομενεμεν. Τοιῦτον γὰρ φιλία θερμή· Οὐ διέργεται ὁδῶν διαζήματι, ἐχ ἡμερῶν μαραίνεται πλήθει, ἐ νικᾶται θλίψεων περισάσει, ἀλ' εἰς ὕψος αἴρεται διὰ παντὸς, καὶ φλογὸς μιμεῖται δρόμον· τᾶτο δὲ καὶ τιὺ ὑμετέραν ἀγάπιν αὐτὸς ἀξιῶ, ἕως ἂν ὦμεν κεχωρισμένοι τοῖς σώμασι, σωπᾶναι ἀεὶ ταῖς ψυχαῖς, τῇ τε πρὸς ἀλήλες ἀγάπῃ ἀρρήκλως δεδέσθαι, καὶ ταῖς εὐχαῖς· Ὅ τῆς ἀληθᾶς φιλίας τεκμήριον. Ἀλ' ὑμεῖς μὲν, ὡς βέλεσθε, ταύτῃ κέχρησθε τῇ ἐπαγγελίᾳ· Ἐγὼ δὲ, εἴπερ ὑμῶν ἐπιλήσομαι, κεφαλῆς, Θεὲ φίλιε, ἐπιληθείιν ἐμῆς· καὶ τῷ λάρυγγίμι κολληθείη ἡ γλῶσα μι, εἰ ἐκ καρδίας ὑμῶν μὴ μνησθῶ· καὶ εἰ ψεύσομαι ταῖσδε ταῖς ἐπαγγελίαις, καὶ Χριτὸς αὐτὸς ὁ πάντων Ἔφορος, εὐθὺς ἐκλάθοιτό μι. Ὡς γὰρ ἐχ οἷόν τε ἐπιλήσμονα ἐμαυτῦ χρηματίσαι, ἔτω τῶν κατὰ Θεὸν φιλέντων με ἐπιλαθέσθαι ἀδιώατον. Καὶ ὑπὲρ πάντων μὲν, τῶν ὅσα τις ἰδίᾳ πε ποτ' ἔδρασε καλῶν εἰς ἐμὲ, καὶ ὅτι φίλος ἐτὶ μία ψυχὴ ἐν διηρημένοις τοῖς σώμασιν.

Ἀντὶ πάσης ἓν φιλίας καὶ χάριτος, πάλιν ὑμῖν παραινῶ τῇ πρὸς ἀλήλες ἀγάπῃ ἀεὶ σωδεδέσθαι, καὶ εὐπειθᾶς

εὐπειθεῖς πρὸς τιὼ ὑμῶν ἐξουσίαν εἶναι ἐπὶ καλῷ· ἄρισα λογιζομένες, ὡς ὁ τὸν πλησίον μὴ ἀγαπῶν, Θεὸν πόρρω ἀπέρριπται· καὶ ὁ τῇ ἐξουσίᾳ ἀντιτασσόμενος, ἀνθέσηκε τῷ Θεῷ. Ὅταν εὐπλοῆτε τῆς ζάλης μιμνήσκεσθε· καὶ ὡς ἔτι τῶ παρόντος σὺν ἔσι, τὰ τῶ μέλλοντος ἑτοιμάζετε. Οὐδὲν γὰρ ὁ παρὼν βίος, ἀλλ' ἢ ἄνθη μιμεῖται ἐαρινὰ, καὶ σκιὰς ἀδρανεῖς· καὶ ὀνειράτων ἐσὶν ἀπάτη· Τὰ δ' ἀληθῆ τῶν πραγμάτων, καὶ πεπηγότα, καὶ ἀμετακίνητα, τὰ μετὰ τιὼ ἀντεῦθεν ἀποδημίαν ἡμᾶς διαδεξόμενα πέφυκε. Ταῦτα καὶ παρ' ἡμῶν πολλάκις ἠκούσατε, καὶ ἀφ' ἑαυτῶ ἕκαστος ὑμῶν συμβάλλει· καὶ αὐτὰ δὲ τὰ πράγματα κράζει, ὅτω περαίνεθαι τὰ ἀνθρώπινα. Κἂν τι ποτὲ τῶν καλῶν ἐρρέθη μοι σὺ ταῖς Ὁμιλίαις, καὶ τοῖς Συγγράμμασιν, ἢ σὺ τῇ μεθ' ὑμῶν ἀναστροφῇ ἴσως πέπρακται. Τῶ μὲν μέμνησθε, τὸ δὲ μιμεῖσθε. Τὰ δ' ἄλλως μοι ῥηθέντα, ἢ καὶ πραχθέντα, τῶ νοὸς ἀποτρέψασθε. Οὕτω γὰν ζῶντες, καὶ σωφρόνως πολιτευόμενοι, ἐρρῶσθε, εὐθυμεῖτε, καὶ σώζεσθε σὺ Χριστῷ. Ὃς καὶ δῴη ἡμῖν ἅπασιν σὺ τῇ κοινῇ Ἀναστάσει, καὶ ἰδέσθαι ἀλλήλες, καὶ γνωρίσαι, καὶ ἀπασάσασθαι, καὶ ἀχωρίσες σωεῖναι πάντοτε, τῶν ἀπορρήτων ἐκείνων ἀπολαύοντας ἀγαθῶν. Ὅτι αὐτῷ ἡ δυύαμις, καὶ ἡ μεγαλωσιύη, καὶ ἡ δόξα, σιὼ τῷ ἀνάρχῳ αὐτῶ Πατρὶ, καὶ τῷ Πνεύματι, εἰς τὲς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ
ΙΩΣΗΦ ΜΟΝΑΧΟΥ ΤΟΥ ΒΡΥΕΝΝΙΟΥ
ΚΕΦΑΛΑΙΑ ΕΠΤΑΚΙΣ ΕΠΤΑ.

Προθεωρία τῦ Συγγράμματος.

Ἐμοὶ Πολλοὶ Πολλάκις φίλοιτε καὶ οἰκεῖοι, ὡς μέγα τι, καὶ ὧν τῶν χρησίμων ἠτήσαντο, ἅ διὰ γλώττης ἐν Ἐκκλησίᾳ, καὶ ταῖς κοιναῖς Διαλέξεσιν οἵοτε τοῖς ἅπασι πρετιθέμιν ἐπ' ὠφελείᾳ, ταῦτα δὴ συγγραψάμενον τέτοις χαρίσαθαι. Εἰ δ' ἔν, μέρος γῶν τέτων, εἰ καὶ μὴ ἅπαντα. Προβαλλόμενοι δῆθεν, ὡς τῶν ῥηθέντων μοὶ πρὸς αὐτὲς, μετὰ τὴν ἔξοδον, ὕθις ἐπελάθοντο: Ἐγὼ δὲ πρὸς τὴν τέτων αἴτησιν ἀναπολῶν ἐπὶ πολὺ, ἅτε κατατολμᾶν ἐγχειρήσεως τοιαύτης ἐχ οἷοστε ὤν· ὅμως, ἐπεὶ παρὰ τῆς Ἐκκλησίας προετράπιμι μὴ κατορύσσειν τὸ τάλαντον, ἀλλὰ τοῖς τραπεζίταις ἐπ' ἐργασίᾳ δίδοναι· καὶ ὅλῃ γνώμῃ σὺ παντὶ ἔργῳ ἀγαθῷ ὑπακέειν· δείσας μὴ ταῖς τῆς παρακοῆς εὐθύναις ὑπόχρεως γένωμαι, βραχύτατόν τι μέρος τῶν λαληθέντων ἀποτεμὼν, καὶ ὅσον ἡ μνήμη παρακατέχον, ἀνταῦθα σωέταξα. Καὶ ὅτι μὲν εὐτελῆ τῇ διανοίᾳ, ἀήθη τῇ προφορᾷ, καὶ ἀτέχνως ταυτὶ σωτέθηται, ἐδόκει λέληθεν οἶμαι τῶν ὁπωσῦν σωορᾶν δωαμένων· Ἀλλὰ τῷ σκοπῷ τέτων, εἴτις ἐθέλοι προσέχειν τὸν νῶν, ἀμαθείας ἡμῖν ἐ Τοσῦτον γράψεται ἔγκλημα. Τῷ γὰρ ἁπλεσέρᾳ καὶ σαφεῖ φρονήσαντες, καὶ τῷ ἐγχωρίῳ τῶν Κρητῶν ἤθει, πρὸς ὃν καὶ γέγραπται, ἕτω ταῦτα τεθείκαμεν. Ἀλλὰ προσεκτέον τοῖς λεγομένοις, ἵνα μὴ καὶ αὐτὸς ἀνωφελῆ τὸν ὑπὲρ τῶνδε πόνον ὑπομείνω, καὶ ὑμεῖς διὰ ῥᾳθυμίαν λήθῃ παραδῶτε τὰ εἰρημένα. Ἡ γὰρ λήθη ῥᾳθυμίας θυγάτης·

της· ἀμφότερα δὲ, ἀπιστίας ἔκγονα. Πλὴν, ἐπείπερ ἐκ ἔστιν, ἅτε εἰπεῖν τι σεμνὸν, ἁδὲ νοῆσαι δεξιὸν ἁδὲ πρᾶξαι θαυμαστὸν, μὴ τῆ Ἁγίᾳ Πνεύματος ἡμῖν σωσφαπλομένῃ· μᾶλλον δὲ, πᾶν ἁπλῶς ἀπεργαζομένῃ· ἐκείνῳ τὸ πᾶν ἀναθέμενοι, ζωηφόρον πληρῶντες ὑπακοὴν, ἔτω τῆ γράφειν τοῖς Ἀδελφοῖς ἀπαρχόμεθα. (*)

Θεέμις σῶσον με·
ὁ Πατὴρ ἱλάσθητί μοι·
ὁ Υἱὸς ἐλέησόν με·
τὸ Πνεῦμα τὸ Ἅγιον οἰκτειρόν με.

ΚΕΦΑΛ. Α'.

Περὶ Αἰθητῶν ἡδυτέρων.

Ὡς ἡδύτερον τοῖς μὲν ὄμμασι φῶς, τοῖς δ' ὠτὶν ἀλήθεια, τῇ δὲ ῥινὶ μῦρον, τῇ δὲ γλώττῃ μέλι, τῇ δ' ἁφῇ μέταξα· ἔτω τῷ μὲν νοῒ Θεὸς, τῇ δὲ διανοίᾳ Ἄγγελος, τῇ δὲ δόξῃ τὸ ὄν, τῇ δὲ φαντασίᾳ τὰ μέλλοντα ἀγαθά· τῇ δ' αἰθήσει ἡ χάρις τῆ Πνεύματος. Ὡς γὰρ ἐκεῖνα

(*) Εἰ τῷ ὄντι ὁ πρόλογος ὅδε, Προθεωρία τις ἔστιν, ὡς ἐπιγέγραπται, ἄλλοι κρινόντων· Ὅ,τι δὲ καὶ ἐστὶ, παραβεβλήθω τῷ Προγράμματι, τῷ πρὸ τῶν ἐκδοθέντων Τύποις, (ἀψξή.) Λόγων, ἐν τῷ Α'. Τόμῳ, ὑπὸ τῆ Συγγραφέως αὐτῆ, Τοῖς εἰς τὸ μέλλον συντδοζομένοις, προσημειωθέντι. Ἐκ γὰρ τῆς παραθέσεως, ἃ μηδὲν ἄλλο, ἐκεῖνο γῶν δῆλον γενήσεται, τὰ ἐνταῦθα πρὸ ἐκείνων συγγεγράφθαι. Καὶ ταῦτα μὲν πρότερον τοῖς ἐν Κρήτῃ Ἀδελφοῖς ἐκμελετηθέντα, διὰ Συγγραφῆς ἐκδοθῆναι· ἐκεῖνα δὲ ὕστερον τοῖς ἐν Κωνσταντινουπόλει, ἐκ τότων τὰ πλείω ληφθέντα ἐπὶ λέξεως, ὑπὸ τῆ αὐτῆ Διδασκάλε Ἰωσὴφ Ἐκκλησιάζοντος ἀπὸ σώματος ἀνακηρυχθῆναι, ἔπαθε Πατριάρχη τε καὶ Βασιλεῖ κελεύσασιν ὑπακέσαντος, (ὡς αὐτὸς ἐν τῷ Προγράμματι φησί·) καὶ αὐτὰ πρὸς τοῖς ἄλλοις συνταχθῆναι. Ἐξ ἔτις ἐπάσεις, καθ' ἕνα τὰ ἐντελέστερα, ὡς, διὰ τὸ δευτέρων φροντίδων ἐξιωθῆναι, ἐπὶ τὸ μᾶλλον ἀκριβὲς καὶ ἐπιστατικώτερον ἐπεξεργαθέντα τε καὶ ἀποξεθέντα.

ἐκεῖναι τὰς ἔξω αἰσθήσεις ἐξαιρέτως εὐφραίνει τῦ Σώματος. ἔτω ταῦθ' ὑπὲρ πάνθ' ὅσ' ἄντις εἴποι, τὰς αὐτὸς φωτίζει δυνάμεις τῦ Πνεύματος. Διὸ καὶ μᾶλλον τετράφθαι πρὸς ταῦτα χρὴ τὴν ψυχὴν, εἴγε σωθῆκαι, ὡς τῶνδε χάριν πρὸς τῆς Προνοίας ὑφέσηκαν. (*)

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς τῦ Θεῦ εἰς ἡμᾶς Ἀγαθότητος καὶ Φιλανθρωπίας.

Οἱ Βασιλεῖς ἅπαντες τὰς ποτὲ ὑποχειρίας, ἀντάρτας αὐτῶν γενομένας, ἐπὰν χειρώσωνται, καὶ ἰσχύσωσι κατ' αὐτῶν, ἀφανισμῷ τελείῳ, καὶ αὐτὰς ἐκείνας, καὶ πάντα τὰ αὐτῶν σὺν τῇ ἁμαρτίᾳ, ἤτοι τῷ τολμηθέντι αὐτοῖς, ἄρδην παραδιδόασιν. Ὁ δὲ Βασιλεὺς τῆς δόξης Θεὸς, διὰ τὴν ἄκραν αὐτῦ Ἀγαθότητα, τὴν μὲν ἁμαρτίαν τὴν εἰς αὐτὸν ὑπὸ τῦ Ἀδὰμ γεγενημένην ἐξαφανίσαι ἠθέλησε διὰ τῦ θανάτε· αὐτὸν δὲ τὸν ἁμαρτήσαντα, ἢ τὴν αὐτῦ κλῆσιν, (**) τὸν κόσμον τῦτον, ἐδαμῶς· Οὐ γὰρ ὀργισθεὶς τὸν θάνατον ἐπήγαγεν, ἀλλὰ φιλανθρωπόσαμενος· καὶ ὡς ἀγαθὸς Ἰατρὸς, ὡς μέγα βοήθημα τῦτον τῷ ἀνθρώπῳ εἰσήγαγε· καὶ δόξαν τῇ αὐτῦ χρηστότητι καὶ φιλανθρωπίᾳ· ὅτι τὴν πλάνην, τὴν ἀπάτην, καὶ τὴν ἁμαρτίαν, τὸ μὴ ὄν, ἀφανίσαι ἠθέλησε· τὸ ἀδημιούργητον· Οὐ τὸν κόσμον, καὶ τὴν ἑαυτῦ εἰκόνα, τὸν ἄνθρωπον.

ΚΕΦΑΛ. Γ'.

(*) Τ' αὐτὰ εἴρηται κἂν τῷ περὶ Νοὸς ὑπομνήματι, ἐν Τόμ. Β'. Σελ. 340.

(**) Οὕτως ἐν τῷ Κώδικι. Ἴσ. δὲ κλίσιν. Εἰ μὴ κλῆσιν ἔλεγε νοῆσαι ὁ Συγγραφεὺς, ἀντιπαραβάλλων τῦτο, τῷ ἐν τῇ εἰκόνι ἀγωτέρω ῥηθέντι: ὅτι, καὶ πάντα τὰ αὐτῶν· κατὰ τὸ: τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

ΚΕΦΑΛ. Γ'.

Ὅτι χρὴ τοῖς καλοῖς τῶ Νῶ προσέχειν κινήμασιν.

Ὁ Θεὸς τὸν ἄνθρωπον ἐξ ἀρχῆς κατ' εἰκόνα πλάσας τιὼ ἑαυτῶ, εἰ καὶ ἐν τόπῳ, καὶ σώματι τέτον ἐποίησεν, ὡς καὶ ὁρῶμεν περιγραπτόν· ἀλλ' ἄγε τῷ νῷ, καὶ τοῖς τῶ νῶ ὀξυτάτοις κινήμασι, τῶ καὶ πανταχῶ εἶναι χεδὸν τέτῳ ἐνέδηκε δυνάμιν· εἴτε Ἀνατολὴν, Φέρε λέγειν, καὶ Δύσιν· καὶ ἄνω, εἰ δεῖ σωτόμως εἰπεῖν, καὶ κάτω, καὶ πανταχῶ. Καὶ ὁμολογεμένως μέγα τὸ τῆς ψυχῆς ὕψος καὶ βάθος, καὶ μῆκος καὶ πλάτος, ὃ πεπλέτηκε πρὸς Θεῶ· Εἰ δὲ σώματι κατεχομένη, τοσαύτη καὶ ἔτως ἀχώρητος, τίς ἔσαι καὶ μέχρι τίνων ἀφικνεμένη, λυθεῖσα τῶ σώματος; Ὥσε, ὁ διάτι τῶν παθῶν εἰς ἕνα τόπον ἑαυτῶ περιγράψας τὸν νῶν, τῆς τε Θείας εἰκόνος μακρὰν ἀπωκίθη, καὶ ἀλογίαν ἑαυτῷ προσεκλήσατο τιὼ ἐχάτιω· Ὁ γὰρ μὴ σωϊεὶς τὰ Θεῖα χαρίσματα, καὶ τέτων ἐκπίπλει, καὶ κολάσεις ὑπόκειται. Διο χρὴ τὸν νενεχῆ, μὴ ἐᾶν τὸν ἑαυτῶ νῶν ταῖς περιτλαῖς προόδοις, ἢ διεξόδοις ταῖς τυχέσαις τῶν ἰδίων κινημάτων ἀναχολεῖθαι. μᾶλλον δὲ, τοῖς ἀναγκαίοις, ἢ καλοῖς, ἢ χρησίμοις τῶν ἐν τοῖς πράγμασιν ἐγκεκρυμμένων θεωρημάτων κατακοσμεῖθαι· καὶ ἐρθνᾶν τὶ μὲν τὸ θέλημα τῶ Θεῶ, εἰς τί δὲ σωτελεῖ τὰ δοθέντα χαρίσματα· καὶ μὴ τὸν πρὸς τῆς προνοίας εἰς τιὼ τέτων χρῆσιν παραχεθέντα χρόνον ἀλλιωάλλως ἐν ἄλλοις διαβιβάζειν. Καὶ γὰρ ἄβυσσος θεωρημάτων ἁρέσεως, καὶ θάλασσα ἀπειράπλετος πορισμάτων ἡ τῶ ἀνθρώπε διάνοια πέφυκε. Τοιαύτη δὲ μάλισα ἡ τῶν Σοφῶν ἔοικεν εἶναι, τῶν τῆς κλήσεως ταύτης ἀξίων. Ἐνθντοι καὶ δεῖ τὸν ταύτης μετέχοντα ὁπωσῶν, Θεωρίας ἐπιβάντα καθάπαξ, μηκέτι καταδέχαθαι ταῖς ὑλικαῖς μελέταις συμφύρεθαι, ἀλλ' ἀκίνητον εἶναι, (*) ὡς λόγος ἀκίνητον.

(*) Οὕτ. ἐν τῷ Κώδικι.

ΚΕΦΑΛ. Δ΄.

Περὶ Βίβλων εἰς γνῶσιν ἅπασι Προκειμένων.

Βιβλία εἰς μάθησιν τῶν πραγμάτων, καὶ γνῶσιν τιὼ αὐτῦ, ταῦτα πρᾦθηκεν ἡμῖν ὁ Θεός· τιὼ Σωείδησιν, τὸν Κόσμον, τὰς διὰ λόγε Ἐντολὰς, τὰς διὰ γραμμάτων εἰσηγήσεις, τὰς τῶν ἀγαθῶν ἐπαγγελίας, ἡμᾶς αὐτὰς, καὶ ἑαυτὸν τὸ παράδοξον. Ἀλλὰ τιὼ μὲν Σωείδησιν ἔλεγχον ἀπότομον τῆς κακίας, καὶ ἀδέκαζον Κριτήριον ἀνομίας, ἡμῖν ἐνέθηκε, πλάσας ἡμᾶς κατ' ἀρχάς. Ὅθεν καὶ τὰ μὴ νόμον ἔχοντα Ἔθνη, καὶ ἀλογίᾳ σωτεθραμμένα τῆτον φέρει τὸν ἔμφυτον Δικαιωμόν. Τὸν δὲ Κόσμον, ἤτοι τιὼ κλῆσιν τιὼ ὁρωμένων, διδάσκαλον ἀγάπης ἡμῖν παρεχήσατο. Ἰδὲ γὰρ ὅλος ὁ Υ̓ρανὸς ὅλῃ τῇ γῇ, τῷ πυρὶ, τῷ ἀέρι, τῷ ὕδατι, καὶ τοῖς πᾶσι τὰ πάντα, φιλίως καὶ προσωπικῶς συναρμολογεῖται, καὶ ταῦτα συνεχῶτα ἐκ φύσεως πολεμίων ἀλλήλαις τῶν Φύσεων. Τὰς μέντοι διὰ λόγε καὶ γράμματος Ἐντολὰς δι-δὲς ἐκ ἐπαύσατο ὑπομνήσεως χάριν τῶν ἀγαθῶν, τὰς ἐπαγγελίας δὲ, καὶ ἡμᾶς αὐτὰς, τὰς μὲν ἐλπίδος χάριν τῆς εἰς αὐτόν· αὐτὰς δὲ πίστεως ἐναργῆς ἕνεκα. Ἐπεὶ ἀπεκδεχόμενοι τ' ἀγαθὰ, εἰς τὸν ἐπαγγειλάμενον ἀφορῶμεν· καὶ ἡμῶν αὐτῶν ἐπιγινώσκοντες τιὼ διάπλασιν καὶ τιὼ φύσιν, εἰς πίστιν ἀναγόμεθα, τῷ ἔτως ἡμᾶς σοφῶς καὶ ἀῤῥήτως συνησαμένῳ, ὃς ἑαυτὸν ἐν ὑστέροις τοῖς χρόνοις, ὑπογραμμὸν ἡμῖν ὑπακοῆς, ταπεινώσεως, καὶ ὑπομονῆς τέθηκεν. Ἵν' ἐκείνῳ κατ' ἴχνος ἀκολεθῆντες ὑψηλοὶ, καὶ σοφοὶ, καὶ ζωῆς ἀϊδίε γενώμεθα μέτοχοι.

ΚΕΦΑΛ. Ε΄.

Ὅτι πάντα χρὴ προσδοκᾶν τὰ τῆς προθέσεως ἐναντία.

Τῷ θέλοντι ἄρτι ἐν ἐχάτοις καιροῖς σωθῆναι, ἂν μηδὲν τῶν κατὰ σωήθειαν, ἢ πρόθεσιν, ἀπαντᾷ· θαυμά-

θαυμάζειν ἐ χρὴ. Σωτέλεια γὰρ ἐστὶ, καὶ ἐ δεῖ τὰ τῆς ἀρχῆς ἐπὶ ταύτῃ ζητεῖν, ἀλλ' ὅσα ὁ τῆς σωτελείας καιρὸς ἀπαιτεῖ· μᾶλλον δὲ, τῶν εἰθισμένων αὐτῷ ἐκδέχεσθαι μηδὲν, τ' ἀναντία δὲ ἅπαντα. Καὶ γὰρ, καὶ πρὸς γῆρας χωρεῖν τὸν τοιοῦτον εἰκὸς, πρός τε πενίαν καὶ ἀτονίαν, καὶ ἀήθεις διατριβάς· ὧν ἕκαστον, πάντῃ τῶν προτέρων σαφῶς ἠλοτρίωται. Νεότητος λέγω, καὶ Πλούτου, ἰσχύος τε, καὶ οἰκείων σωσεσίας διλωεκῆς. Οὐκοῦν κἄντι τῶν τοῖς ξηθεῖσι παρεπομένων ἀδοκήτως συμβῇ, τῆς Προθέσεως τὸν τοιοῦτον ἐκ ἀφίσασθαι δεῖ. Οὕτω γὰρ ἔχει τὰ πράγματα φύσεως. Φύσιν δὲ μετατρέπειν τῶν ἐκ ἐνδεχομένων ἐστί. Κἄνπερ πολλάκις τὰ αὐτὰ δυσχερῆ ἐπισαίη, μὴ ἀπειπεῖν. Εἶτι τε μὴ δέον παράτινος ξηθῇ, προσποιήσασθαι μὴ ἀκοῦσαι. Κἄν εἰς πρόσωπον ὑβρισθῇ, μὴ δευτερῶσαι τιὼ ὕβριν ἄλλοις, ἐπ' ἐκδικήσει τυχὸν αὐτιὼ, ἢ ἁπλῶς διηγέμενον. Κρύπλει γὰρ τιὼ ἑαυτῇ ἀτιμίαν πανοῦργος ἀεί. Καὶ τοῦτο πρὸ παντὸς ἄλλε ἐν καρδίᾳ μελετᾶν, ὡς ἐκ ἔστι δοῦλος μείζων τῷ Κυρίῳ. Καὶ εἰ τὸν Οἰκοδεσπότιω Βεελζεβὰλ ἀπεκάλεσαν, ἐνέπαιξάν τε αὐτῷ, καὶ ἐσαύρωσαν. καινὸν ἰδεῖν, εἰ καὶ ἕτος μηδὲν ὤν, ἀκούει κακῶς, καὶ μάλισα δι' ἐκεῖνον.

ΚΕΦΑΛ. ϛ'.

Ὅτι χρὴ προσέχειν Διαλεγόμενον.

Ἐν πάσαις ταῖς Διαλέξεσι, πρῶτον ἐκεῖνο δεῖν οἶμαι τηρεῖν, τὸν νικᾶν μετὰ τῆ ἀσχήμε καὶ τ' ἀληθῆς βελόμενον, μὴ καθ' ἓν μόνον τὸ τῆ λόγε ἐναντίον τοῦτο σπεδάζειν, ἀλλὰ καὶ τὸ ἅλως τοιοῦτον, τῷ λόγῳ δὲ ἁπλῶς ἀντικείμενον. Οὐ προσποιέμενον, ἐχ ὑβρίζοντα, ἐκ εἰρωνεύομενον, ἐδ ὀργιζόμενον ὅλως· κἂν ἐκεῖνος πρὸς ὃν ὁ λόγος, ἕτω διάκηται. Ἐπεὶ ὅσα ἄντις εἶπῃ μυρία χρήσιμα ἀνήκεσα, καὶ ξνίζοντα, εἷ ἀργὸν ῥῆμα, ἢ καὶ ἀσεῖον, παρὰ τὸ δέον ῥηθὲν, ἱκανὸν ἐστὶ πᾶσαν τιὼ ἐκ τῶν ῥηθέντων ὠφέλειαν ἀνατρέψαι καὶ ἀφανίσαι· καὶ τὸς ἀκέσαντας, εἰς τιὼ σώτροφον αὖθις ἀλογίαν ἐπαναστρέψαι.

Χρὴ τοίνυν πάσης ὁμιλίας τὰ μέρη, ὡς καὶ τὰ τῦ σώματος, τέλεια εἶναι, καὶ ἀλλήλοις σύμμετρα, καὶ διαπρεπῆ. Εἴπερ μὴ μέλλοιμεν ἐγκαλεῖσθαι ἀπρέπειαν ἐν αὐτῇ, ἀσυμμετρίαν, καὶ ἔλλειψιν· Ὡς γὰρ ἐπὶ σώματος, ἑνὸς μέρες ἔλλειψις, ἢ ἀθυρία, λυμαίνεται τῷ παντὶ, καὶ ὲ τὸ μέρος μόνον, ἀλλὰ καὶ τὸ ὅλον ὑβρίζεται τῷ τῦ ἑνὸς ἐλαττώματι· Οὕτω καὶ ἐπὶ λόγε παντὸς συμβαῖνον ἴδοι τις ἄν, τῇ τῆς μιᾶς λέξεως, ἢ ἐνοίας, ἀκαίρῳ προθέσει, ἢ ἀφαιρέσει, τὸν πάντα περιφρονέμενον, καὶ μάλα εἰκότως. Οὐ γὰρ δεῖ τοῖς καλοῖς τὰ ἀκαλῆ μίγνυθαι, ἅτε ταῖς ὕβρεσι τὰς ἐπαίνες ἁρμόττειν, ἐδὲ τοῖς σπεδαίοις συναναφυρεθαι τὰ γελοῖα.

ΚΕΦΑΛ. Ζ'.

Περὶ τῶν μετὰ τὴν Ἀνάςασιν, τοῖς Δικαίοις χαριζομένων.

Αὗται αἱ προῖκες, ἤτοι αἱ χάριτες, ἃς μέλλσι μετὰ τῶν ἄλλων ἐν τῇ κοινῇ Ἀναςάσει λήψεθαι πρὸς Θεῦ κοινῶς οἱ Δίκαιοι ἅπαντες.(*) Λεπλότης, ἐλαφρία, λαμπρότης, διόρασις. Λεπλότητος γὰρ μεθέξσιν ἐν τοῖς σώμασι μετὰ τὴν Ἀνάςασιν τοιαύτης, ὥςε καὶ διὰ σωμάτων ἀκωλύτως διέρχεθαι, ὡς τὸ τῦ Κυρίε σῶμα ἐσφραγισμένε τὸ τάφε, καὶ κεκλεισμένων τῶν θυρῶν, μετὰ τὴν ἔγερσιν διαβὰν ὲ κεκώλυται. Ἐλαφρίας δὲ τοιᾶς δὲ μεθέξσιν, ὥςε καὶ εἰς ἀέρα ἀνεμποδίςως κφίζεθαι· ἣν καὶ ὁ θειότατος Παῦλος αἰνίτλεται λέγων: ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τῦ Κυρίε, εἰς ἀέρα. Λαμπρότητι γε μὴν περιαςραφθήσονται τοῖς προσώποις, καὶ τῷ σώματι ὅλῳ τοσαύτῃ, ὡς ἐξισῶθαι ταύτῃ ταῖς τῦ Ἡλίε ἀκτῖσι· καὶ ταύτῃ δὲ πᾶσι προεῖπεν ὁ Κύριος λέγων: τότε οἱ Δίκαιοι λάμψσιν ὡς ὁ Ἥλιος· Διόρασιν

(*) Ὅρα ἐν Λόγῳ Α'. τῶν περὶ τῆς Μελλάσης Κρίσεως· Τόμ. Β'. Σιλ. 377.

Διόρασιν δὲ τῇ λαμπρότητι ἕξεσιν ἑπομένῳ, μεσότητος ἁπάσης καὶ ἐσόπτρου ἀρθέντων ἐκ μέσου, καὶ πρόσωπον πρὸς πρόσωπον τῷ Θεῷ ἑνορώντων, ἀλλήλους τε βλεπόντων, καὶ πάντα χρήματα ἀκριβῶς, καὶ τὰς λόγους αὐτῶν γινωσκόντων. Καὶ τοῦτο πάλιν ὁ μέγας γέγραφε Παῦλος. Ὥσπερ γὰρ νῦν Ἡλίου λάμποντος ἅπαντα φανερὰ τὰ ὑπὲρ γῆν, ἕτω τότε Θεοῦ καὶ πάντων λαμπόντων, καὶ Θεὸν, καὶ ἑαυτὸς, καὶ ἀλλήλους, καὶ πάντ' ὡς ἔχει λόγου καὶ Φύσεως ἐπιγνώσονται.

ΚΕΦΑΛ. Η'.

Περὶ τῆς ἐν ταῖς ὕβρεσι καρτερίας.

Σφάττειν ἅπαντάσσα τὰς ἐχθρὰς νόμιζε, καὶ τὴν ὕβριν ἐλαττοῦν, ὅταν τι φέρῃς ἀνιαρόν. Εἰ δὲ δυσχεραίνεις ἀκόων, εὐφραίνειν τάτας ἡγοῦ, καὶ λαβὶὼ διδόναι πίσσεσθαι τὸ λεγόμενον, καὶ πληθύειν αὐτὸ δηγόμενος ἐκ ἐπὶ καλῷ. Οὐκοῦν ἐπὰν λέγηταί τι ἀτιμίαν ἐπάγον, ἢ μειδιῶν σίγα, ἢ ἀπόπειραν τὸν λόγον ἐκεῖνον, καὶ ἀνθρώπων, καὶ δαιμόνων, τῆς σῆς ἀνδρίας ὑπόπτευε. καὶ φέρε γενναίως, ἐπιλέγων σεαυτῷ· νῦν ἦλθε τὸ κέρδος. Πάρεσιν ὁ ἀγών· Μικρὸν βασάσωμεν, καὶ νικήσομεν πάντως. Πρὸς τάτοις τὸ χῆμα σοι διάφορον δεικνύοντας μὴ δεδίτλε· μηδὲ πρόχῃς τὸν νοῦν, τοῖς τὰ τῶν ἐχθρῶν ἐπαινοῦσι· μήτετε κατηγόρει, ὅτι τοιόσδε, ἢ τοιάδε εἰργάσατο· μηδενί τε πίσσευε, ἢ ὀλιγίστοις. Τοῦτο δὲ, καὶ ἐπὶ τῶν τὰ σὰ ἐπαιρόντων τήρει. Ἰδὲ γὰρ, ὅσον ἔπω ἐντεῦθεν ἀπαίρομεν, ὡς ὁρᾷς. Εἰ ἦν θέλεις τινὶ τιμὴν καὶ τινὶ γνῶσιν, ἐντεῦθεν σαυτὸν ἄρτι τίμησον, καὶ σεαυτὸν αὐτὸς γνῶθι. Εἰ δὲ σὺ σαυτὸν ἀγνοεῖς καὶ ὑβρίζεις τίς ὁ γνωσόμενός σε, ἢ ὁ τιμήσων ἔσαι; Τὸν γὰρ ἑαυτὸν ἔργῳ τιμῶντα, ἐδεὶς ὑβρίσαι ἰσχύει. καὶ τὸν ἀληθεία ἑαυτὸν ἀτιμάζοντα, τιμῆσαι πᾶς τις ἀδυνατεῖ. Τὸν γὰρ ἁμαρτάνοντα εἰς τινὰ ἑαυτῷ ψυχικὸν, τίς δικαιώσει, φησίν; ὥστε τῆς γε τιμῆς, καὶ ἀτιμίας τῆς σῆς, σὺ κύριος εἶ, ἐχ οἱ ἔξωθεν. Γενοῦ τοίνυν σοφὸς, μήτε τινὰ ἀτι-

μίαν τῶν ἀνθρώπων, μήτε τιὼ τιμιὼ αὐτῶν λογιζόμενος· μήθ' ὅλως διὰ τὸ πληρῦσθαι τιὼ ἔφεσιν χαίρε, ὡς μέγα τι δῆθεν ὄρων. Μηδέγε δι' ἀπροσδόκητον λύπιω, ἢ περιφρόνησιν συμβᾶσαν σκυθρώπαζε· ἀλλ' ἀδιάλειπτον ἔχε σεαυτῷ, τό; βλέπε ταυτὶ τὰ ὀνείρατα ἐγρηγορὼς σὺ ἡμέρᾳ· ὥσπερ ἅ γε καθ' ὕπνες ἑώρακας σὺ νυκτί. Τὸ γὰρ ἄσατον, κοινὸν ἁπάντων· καὶ πᾶσιν ὡς φάρμακον ἀλεξιτήριον ἐπίπαλε τῦτο. καὶ τὸ Θεῖον κάλει πρὸ πάντων, κἂν τέτω συμμαχον. Πλιὼ γὰρ αὐτῦ, ὡς εἶδα, ἡ πρᾶξις, ἡ λόγος σωίσαται.

ΚΕΦΑΛ. Θ'.

Περὶ ὀφειλῆς καὶ ἀποτίσεως τῶν ληφθέντων παρὰ Θεῦ.

Σιὼ ἅπασιν ἄλλοις καλοῖς καὶ τῦτο λογίζεθαι μάλιστα χρὴ, τὸν ἐκ πλεσίε πάντα, γεγονότα, ἢ δυσυχήσαντα ἄλλως. Ὅτι πᾶς ὁ πλῦτον πρὸς τῦ Κυρίε λαμβάνων, ὥσπερτις οἰκονόμος, ὅσον πλείονα λάβῃ, τοσῦτον πλειόνων χρεοφειλέτης καθίσταται, καὶ μέζονα λόγον, ὅσον ἔπω μέλλει ἀπαιτηθῆναι. Ὡσαύτως γεμιὼ ἐπί τε ὑγιείας, καὶ κάλλες, καὶ ῥώμης, καὶ τῶν τοιύτων, τῶν ὧν τις λήψεται πρὸς Θεῦ σὺ τῷ προσκαίρῳ αἰῶνι. Ὀφείλει ἓν σὺ τῇ πτωχείᾳ εὐχαριςεῖν, ὅτι τὰ τῦ χρέες αὐτῷ ἐλατῦται· σὺ δὲ τῷ πλύτῳ ἀχάλλειν, ὅτι αὔξεται ὁ τῆς Οἰκονομίας ἀπόλογος. Τῦτο πρὸ παντὸς ἄλλο ἀεὶ μεμνημένος, ὅτι ὅσων πραγμάτων τιὼ ςέρησιν φέρομεν ἀχαρίτως σὺθάδε, τύτοις ἄλλων ἐμφορεμένων· τύτων ἡ ἀπόλαυσις σὺ τῷ μέλλοντι ἡμῖν ταμιεύεται χρόνῳ, φθειρομένη μηδέποτε· ἢ καὶ εἰς χρέες ἁμαρτημάτων ἐκπλήρωσιν αὕτη λογίζεται παρὰ τῷ Θεῷ. Ὡσαύτως καὶ τὸ ἀνάπαλιν. Ὅσωνπερ, ἄλλων ςερεμένων, σὺταῦθα ἡμεῖς ἀπολαύομεν, τύτων ἄρα ἡ ςέρησις ἡμῖν ἐκεῖ αἰώνιος σὺαπόκειται. Ὡς γὰρ ἀδιώατον ὧδε κἀκεῖσε δι' ὅλε κολάζεθαι, ἔτως ἀμήχανον σὺθάδε ἡδυπαθεῖν, καὶ

καὶ ἐκεῖ. Μνήσθητι γάρ, φησὶν, ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου κτλ.

ΚΕΦΑΛ. Ι'.

Ὅτι πολλὰ τῶν ἀγαθῶν ἡ Ἐκκλησία πέφυκεν. (*)

Ὥσπερ ὁ Χριστὸς μὲν, εἰς ὢν τιὼ ἐσίαν, πρὸς πάντας ἐχημάτισαι τὰ καλὰ διὰ τιὼ ἡμετέραν σωτηρίαν, καὶ πολλοῖς καλεῖται ὀνόμασιν· ἔτω καὶ ἡ αὐτὲ Ἐκκλησία, πολλὰ τῶν ὀνομάτων καὶ λέγεται, καὶ ἐσί. Καὶ γὰρ ἐ μόνον Θέατρον ἀγωνιζομένων αὕτη καλεῖται· καὶ Πανήγυρις πανηγύρεων πάλιν· ἀλλὰ καὶ ἐργασήριον πάσης τέχνης, καὶ διδασκαλεῖον πασῶν τῶν Ἐπισημῶν. Ἰατρεῖον τῶν ἀῤῥωσθέντων· καὶ πανδοχεῖον τῶν θλιβομένων. Βασίλειον τὲ Βασιλέως τῶν ὅλων, καὶ πολιτεία, καὶ πόλις ἀρίση. Δικασήριον κρινομένων, καὶ Στρατιὰ ἡ αὐτὴ στρατολογεμένων. Παράδεισος, καὶ Λειμών· Λετρὸν εὔχρηστον, καὶ Πηγή· Μήτηρ τε καὶ Τροφὸς ἁπάντων ἡμῶν. Μάνδρα λογικῶν προβάτων· Τράπεζα γάμε καὶ χαρᾶς. Νύμφη καὶ Σῶμα Κυρίε. Κόσμος ἄλλος πεποικιλμένος, καὶ ἐπίγειος Οὐρανὸς κατηγλαϊσμένος. Δῆλον δὲ, αὐτὸς γὰρ ταύτης ἔσηκεν ἕτοιμος, καὶ πάντας ἐκδεχόμενος ὁσημέραι, ὁ Πλάσης ἡμῶν Ἰησῆς. Ὅς, κἂν εἰς ἀγαθὸν προθυμίαν θελήσῃ τις ἡμῶν, ὁδὸς αὐτῷ γίνεται. κἂν εἰσελθεῖν εἰς τὸ καλὸν, θύρα. Κἂν δανείσασθαι, δανειςὴς ἑτοιμότατος. Εἰ τραφῆναι βεληθῇ, ἄρτος. Εἰ πιεῖν, πηγὴ ζωῆς, καὶ σωτηρίε ποτήριον. Εἰ οἰκῆσαι, οἰκία αἰώνιος. Εἰ πανηγυρίσαι, πανήγυρις. Εἰ βεληθῇ λαθῆναι, λοετρόν. Εἰ ἀγωνίσασθαι, ἀγωνοθέτης. Εἰ μαθεῖν τὰ καλὰ, Διδάσκαλος ὑπὲρ ἅπαντας. Εἰ ἰατρόθηναι, Ἰατρὸς ψυχῆς ἅμα καὶ σώματος.

(*) Τὸν αὐτὸν ἀπαραλάκτως ἐπεξεργάσατο τόπον, κἂν τῷ περὶ Καρτερίας Λόγῳ. Ἐν Τόμ. Β'. Σελ. 429. 430.

τος. Εἰ ποιμανθείην, Ποιμήν. Εἰ νυμφοθθείην, Νυμφίος ὁμῦ καὶ Νυμφαγωγός. Εἰ στρατοθθείην, Στρατηγός. Εἰ κριθείην, Κριτής. Εἰ βασιλεύσαι, χορηγὸς βατιλείας. Εἰ κοσμηθείην, κόσμος· καὶ εἰ πρὸς Οὐρανὸν ἀναβείην, ἐρανοβάμων χειραγωγός. Πάντα τοῖς τὰ καλὰ καλῶς θέλεσι γίνεται, ὁ Παντοδυνάμος Κύριος. Εἰ ἓν ταῦθ' ἕτως ἔχει, καὶ τοσότοις χαρίσμασιν ἡ τῦ Χριτῦ Ἐκκλησία καταφαιδρύεται, πάντες οἱ θέλοντες σωθῆναι, ὡς φιλόκαλοι καὶ ἀγνώμονες, εἰς ταύτην ἀποδύοντες σπερχώμεθα.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ ἐκπιπτόντων τῆς τῦ Θεῦ βοηθείας.

Δύο δυνάμεων, Θείας τε καὶ ἀντικειμένης, ἐσῶν ἐν τῷ κόσμῳ· τῆς μὲν, κατὰ τὴν τῆς ποιήσεως κυριαρχίαν καὶ πρόνοιαν· τῆς δὲ, κατὰ παραχώρησιν ταύτης, τυραννικῶς τῆς ἁμαρτίας ἐπιτατούσης· Οὔθ' ἡ ἀντικειμένη· τὲς τῦ Θεῦ θέλες περιπίπτοντας ἀθενείαις, θεραπεύειν ἀνέχεται· ἄτεμλὼ ἡ Θεία χάρις ἐνεργεῖ, εἰς τὲς πιτεύοντας τὴν ἀντικειμένην ἐνέργειαν, ἰάσθαι αὐτὲς δυνάσθαι ὁπωσῦν. Ἀμέλει, πολλὲς μὲν τῶν πρὶν τῇ ἀντικειμένῃ μερίδι προσφύγων, ὁρῶμεν νῦν καταφθύγοντας ἐπὶ τὸν Θεὸν, καὶ μὴ βοηθεμένες· ὅτι πρόσωκαν τὴν ἐλπίδα αὐτῶν, καὶ τὴν πίτιν, ἐκείνῃ τῇ ἐχθρᾷ τῷ Κυρίῳ. Καὶ ἐ πάσῃ πίτει προσίασιν, ἀλλὰ τῷ φαινομένῳ μόνον. Πλείτες δὲ πάλιν βλέπομεν ἐκ τῆς ἐναντίας μερίδος, ἀβοηθήτες χωρῦντας, ὅτι προπαρέχον ἑαυτὲς τῷ Χριτῷ, εἰ καὶ ῥαθυμήσαντες τῷ μὴ ταχέως ἀπαλλαγῆναι τῆς νόσε ἀπέτησαν. Προσεπιμαρτυρεῖ δὲ τοῖς εἰρημένοις καὶ ταῦτα μετὰ πολλῶν. Ὅτι λειψάνων Ἁγίων μετὰ πίτεως πρόσψαυσις, ἀνίατα πάθη θεραπεύειν οἶδεν ἐνθύς· καὶ θείων Ναῶν προσεδρεία πολλάκις ἀπήλασε δαίμονας. Σταυρός τε, καὶ εἰκόνες Ἁγίων ἐγκολπίως φερόμεναι, σὺν Παναγίας ὑψώσει, καὶ Χριτῦ ἐπικλήσει,

κλήσει, δεινῶν παντοίων ἀποτρόπαια ὤφθησαν· καὶ εἰσέτι καὶ νῦν ταῦτ' ἐνεργεῖται τῇ παναθενεῖ δυνάμει τὸ Πνεύματος. Καὶ σημεῖα δὲ τῆς ἐπὶ πολλὰς τῶν Δαιμόνων ἐπικρατείας, πλεῖστα, καὶ πολλαχῆ εὕροι τις ἄν, εἰ καὶ ψευδῆ τοῖς ἀπατωμένοις δόξαν παρέχεται. Ἔνθα γὰρ γοητεῖαι, καὶ Φυλακτήρια, μαντεῖαί τε καὶ παρατηρήσεις, καὶ ἔτι ἄλλο τοιοῦτον ἐπιτελεῖται, ἐκεῖσε ἆρα ἡ τοῦ ἐναντίου δύναμις δοκεῖ θαυματοποιεῖν. Πλὴν ἔστιν ὅτε τῶν πραγμάτων κατὰ συμβεβηκὸς, ἢ ὡς ἔχει φύσεως συμπιπτόντων, τὸν ἐχθρὸν, ἢ καὶ τοὺς ἐκείνου θεραπευτὰς, ἡμεῖς ψευδῶς αἰτιώμεθα.

ΚΕΦΑΛ. ΙΒ'.

Ὅτι χρὴ τῷ ἀνθρώπῳ ὑπὲρ πάντα δωροφορεῖν τῷ Θεῷ.

Πάντα τὰ ὑπὸ τῷ Κόσμῳ (*) ὑπὸ τῆς Θείας προνοίας γεγενημένα καρποφορεῖ. Τὰ μὲν τῷ Θεῷ, τὰ δὲ τῷ ἀνθρώπῳ, τὰ δ' ἄλλοις κλίσμασι. Πότερον ἓν, ὀφείλει τινὰ καρπὸν τῷ Θεῷ προσάγειν καὶ ἄνθρωπος, ἢ ἄκαρπος εἶναι, καὶ μάτην γέγονε μόνος; Ἀλλὰ τὸ μὲν δεύτερον ἄτοπον, ἵνα μὴ βλάσφημον λέγω. ἀληθὲς ἆρα τὸ πρῶτον, ὅτι καρποφορεῖν ἀεὶ χρεωστεῖ, ὡς καὶ τ' ἄλλα, ἢ μᾶλλον ὑπὲρ πάντα, καὶ διὰ πάντα. ὅτε πάντων τῶν ὁρωμένων ὑπέρτερος αὐτὸς πεφυκὼς, καὶ δι' αὐτὸν εἰς τὸ εἶναι τῶν λοιπῶν παρηγμένων. Ἔστι δὲ εἰσφορὰ ἰδία καὶ πρώτη πρὸς Θεὸν τῷ ἀνθρώπῳ, ἡ πάντοτε, καὶ πρὸς πάντα τὰ Θεῖα ὑπάλληλα ἑτοίμη ὑπακοή. Εἰ γὰρ ἀγαθὸν ἐστὶν, ὃ πάντα ἐφίεται, καὶ ἐδεὶς ἀντιλέγει· ἅπαντα δὲ, ὡς ὁρῶμεν, δωροφορεῖ τῷ ἀνθρώπῳ· Οὐρανὸς σκέπει, Ἥλιος φωτίζει, Ἀὴρ πνοὴν παρέχει, καὶ χώραν εἰς μετάβασιν· Γῆ καὶ βαστάζει, καὶ παρέχει τροφάς· ὕδωρ ποτίζει,

(*) Ἐν τῷ Β'. Λόγῳ τῶν εἰς τὸν Εὐαγγελισμόν. Τομ. Β'. Σελ. 157. 158.

ποτίζει, πλώει, καὶ ψύχει· ζῶα καὶ φυτὰ, τὰ μὲν τρέφει ἢ τέρπει, τὰ δέ γε παντοίως ὑπηρετεῖ. Ταῦτα δὲ πάντα πρὸς τῆς προνοίας οἰκονομεῖται, ἵνα καὶ ἡμεῖς αὐτὸν τὸν ἡμῶν Ἐπισάτ'ω γνωρίσωμεν· καὶ ᾧ δωροφορεῖν ὀσημέραι ὀφείλομεν· Τίνα λοιπὸν ἐν ἡμέρᾳ τῆς δίκης ἀπολογίαν εὑρήσομεν, καὶ αὐτῶν τῶν ἀναισθήτων στοιχείων, καὶ τῶν ἀλόγων πάντων κατηγορούντων ἡμῶν; ὅτι ἐκεῖνα μὲν, τὸν ᾧ ὑποτέτακται, ἐν τοσούτοις ἐτῶν περιόδοις ἀόκνως δεδέλδυκεν. Ἡμεῖς δὲ, καὶ τούτων χείρες ἐφάνημεν. καὶ τὸ ὄντως ἀγαθὸν ἠγνοήσαμεν, ἁμαρτίας ἀχλύϊ καθυπαχθέντες;

ΚΕΦΑΛ. ΙΓ'.

Ὅτι τὸν πάλαι Παράδεισον ὁ Κόσμος ὅδε ἐξεικονίζει.

Πᾶς ἔτος ὁ Κόσμος Παράδεισος ἐστὶν, ἢ τῷ ἐν Ἐδὲμ Παραδείσῳ ἀνάλογος. Διὸ ὥσπερ ἐκεῖ τότε Ἀδὰμ, Εὔα, ξύλον, ὄφις καθάπαξ, ἔτως ἐνταῦθα δὶ ὅλων αὐτὰ ταῦτα, ἢ παραπλήσια πεφύκασιν ἀληθῶς. Ὅτι πάντες μὲν, οἱ κατὰ διαδοχὴν τῦ ἡμῶν γένες γινόμενοι Ἄνδρες. Ἀδάμ· Πᾶσαι δὲ θήλειαι εἰς ἡλικίας ἀκμὴν προϊοῦσαι, ἄντικρυς Εὔα ὑπάρχουσι. Ξύλα δὲ τῷ Παραδείσῳ αἱ κατὰ κόσμον παντοῖαι τρυφαί· αἱ μὲν μείζους, αἱ δὲ ἥττους φαινόμεναι. Δένδρον ζωῆς τῷ Παραδείσῳ ἐν μέσῳ, ἤτοι πανταχῆ θεωρέμενον, ἡ ἀρετή. καὶ δένδρον γνώσεως καλῦ καὶ πονηρῦ, ἡ κακία, ἅτε τὴν ἡδονὴν προβαλλομένη ὡς θέλγητρον. Ὄφις ἐν τούτῳ σκολιὸς καὶ ἀπατεὼν καὶ ὀλέθριος, ὁ καὶ τῇδε συνεργῶν πρὸς ἡμῶν ἀπάτην τῷ Ὄφει χρησάμενος. Τοίνυν ἀπιστητέον αὐτῷ χρησὰ δῆθεν ὑπισχνουμένῳ, ἵνα μὴ φαγόντες τῆς φθαρτικῆς ἡδονῆς μυρίοις δεινοῖς περιπέσωμεν. Οὐ γὰρ μόνον χωριθῆναι τῆς Ἐδὲμ, καὶ τῆς ζωῆς, καὶ τῦ Θεῦ πρόκειται, ἀλλὰ καὶ εἰς τὴν ἄβυσσον ἐμπεσεῖν, καὶ τῷ κόσμῳ παντὸς ἔξω ἀποῤῥιφῆναι, καὶ μετὰ Δαιμόνων ταγῆναι, καὶ

καὶ θάνατον ὑπομεῖναι ἀθάνατον. Πειστέον δὲ τῷ Χριστῷ, καὶ τὸ τῆς ζωῆς ξύλον, τῆς ἀρετῆς, καλῶς προσαπτέον, ἵνα ζωὴν ἐκεῖθεν τρυγήσωμεν τελειωμένην μηδέποτε.

ΚΕΦΑΛ. ΙΔ'.

Ὅτι πολυφορώτατον δένδρον ὁ ἄνθρωπος.

Πρὸς τοῖς ἄλλοις θαύμασι τοῖς ἐν τῇ κτίσει θεωρεμένοις, καὶ τοῦτο εἶδον ἐγὼ, καὶ τεθαύμακα δοξάσας τὸν Ποιητὴν, ὅτι (*) ἑνὶ ἑκάστῳ τῶν φυτῶν δέδωκε χάριν ἰδίως, ὥστε μόνον ποιεῖν καρπὸν, καὶ ἅπαξ αὐτὸν φέρειν τῷ ἰδιαυτῷ, ὁ τῶν καλῶν χορηγός· οἷον τῇ συκῇ σῦκα μόνον, ἐχὶ καὶ βότρυας. Καὶ τῇ ἀμπέλῳ βότρυας μόνον, ἐμὶν καὶ μῆλα. καὶ ταῦτα κατὰ μίαν τοῦ ἔτους ὥραν, ἀλλ' οὐκ ἀεί. Τῷ δὲ βασιλεῖ τῶν φυτῶν, δηλαδὴ τῷ ἀνθρώπῳ, καὶ διαφόρους καρποὺς, καὶ καθ' ἑκάστην ὡς εἰπεῖν χρονιαίαν ῥοπὴν μυρίους προβάλλεσθαι, κατά τε τὸ σῶμα, καὶ κατ' αὐτὴν ἐχαρίσατο τὴν ψυχήν. Καὶ δὴ σκόπει ἐν αὐτῷ τοὺς καρποὺς θεωρῶν, πῶς ὄψιν μὲν διὰ ὀμμάτων, ἀκοὴν διὰ τῶν ὤτων, ὀσφρησιν διὰ τῆς ῥινὸς, γεῦσιν διὰ τοῦ στόματος, καὶ ἁφὴν διὰ τῶν χειρῶν· καὶ δι' ἄλλων μερῶν τοῦ σώματος, ἄλλα, ὡς διατίνων κλάδων, ἀναγκαῖα καὶ χρήσιμα καρποφορεῖν χάριν κέκτηται. Καὶ παρίημι τὸν τῶν ἀρετῶν κύκλον τῶν ψυχικῶν, ἅς, ὥσπερτινα πανσπερμίαν, ἡ ὁλοκάρπωσιν προσάγει τῷ πάντων Θεῷ· καὶ σὺ αὐτῶν τὰς ἐκ τῶν ἐντὸς αἰσθήσεων ἀποτελεσμένας δυνάμεις τοῦ πνεύματος. Ἀλλὰ τοῦτο τὸ μέγα καὶ πολύφορον, ἢ καὶ πάμφορον δένδρον, ὅταν ἀποπαυθῇ τοῦ φυτουργήσαντος, οἴμοι, Θεοῦ, ἐ μόνον ξηραίνεται, ἀλλὰ καὶ εἰς πῦρ ἄσβεστον βάλλεται· ὡς, ἀντὶ μὲν νόσεως δικαίας, περιεργίαν βλαστῆσαν, καὶ παρακολουθήσαντα ὑπακοῆς πάντη καρποφορῆσαν, τῇ τε ὀσφρήσει θηλωθὲν,

(*) Ἐν τῷ Β'. Λόγῳ τῶν εἰς τὸν Εὐαγγελισμόν. Τόμ. Β. Σελ. 158. 159. 160.

λωθεν, καὶ ἀντὶ δοξολογίας βλασφημίαν σιὼ λειμαργίᾳ, καὶ ψεῦδος ἀντ' ἀληθείας καὶ ἐγκρατείας ἀνθῆσαν, καὶ ἁρπαγὴν ἀντ' ἐλεημοσύνης προαγαγόν. Ἀντὶ καθαρότητος καρδίας, καὶ σώφρονος λογισμῦ, ἀκαθάρτες ἐνοίας, καὶ ἀκολάστες ὁρμὰς εἰεγκόν. Οὗτινας δὴ καρπὸς, μᾶλλον δὲ σαπρίαν καὶ βόρβορον, πάσῃ δυνάμει φεύξώμεθα οἱ θέλοντες τὴν γέενναν ἐκφυγεῖν. Ἀντὶ δὲ τύτων ταπεινωσιν, δάκρυα, Θείων λόγων ἀκρόασιν, πραότητα, σιωπὴν, θυσίαν, καθαρότητα, καὶ ἁγνείαν καρποφορήσωμεν.

ΚΕΦΑΛ. ΙΕ'.

Ὅτι τῶν κτισμάτων πάντων Ἀρχέτυπον καὶ ὅμοιον ὁ ἄνθρωπος ἐσί.

Πλοίῳ καὶ οἰκίᾳ, (*) Δικασηρίῳ καὶ Πόλει, Φυτῷ καὶ Γῇ καὶ Οὐρανῷ, μαθήμασιν ὅλοις, παντὶ κλίσματι, καὶ Θεῷ ὁ ἄνθρωπος ὅμοιος ἐσί. Τοῖς μὲν, κατὰ τὴν πλάσιν τὴν ὁρωμένην· τοῖς δὲ, κατὰ τὴν κίνησιν τὴν νοερὰν. Ὀφείλει γᾶν, ὡς μὲν πλοῖον, τὰ κύματα τῦ θαλατλώδες βίε φέγων καὶ ἀποκρεόμενος, ὁδὸν πρὸς τὸν ἀκύμαντον λιμένα διαπερᾶν, τῇ πανθενεῖ χειρὶ ἰθυνόμενος· Ὡς δὲ οἰκία, τὸν ἔνοικον πάντοθεν περιθάλπειν Θεόν. Ὡς δὲ Δικασήριον, ἐν τύτῳ μάλισα τηρεῖθαι, καὶ ἐκδικεῖθαι τὰ δίκαια. Ὡς δὲ πόλις, ἀνάλωτος εἶναι ταῖς ἐχθρῶν ἐπιθέσεσιν· Ὡς δὲ Φυτὸν, καρπὸς προσάγειν τῷ Φυτεργήσαντι ἀρεσές. Ὡς μέντοιγε Γῆ, παντοίας διὰ πασῶν τῶν αἰθήσεων βλασήσεις φέρειν Θεῷ. Ὡς δὲ Οὐρανὸς, φωτίζειν τὲς πάντας, τοῖς ἔργοις ὡς ἄσρασιν. Ὡς δὲ μαθήματα πάντα, διὰ πάντων ἅπαντας διδάσκειν εἰς ἀγαθόν· Ὡς δέγε παντὶ κλίσματι ὅμοιος, διά τε σώματος καὶ πνεύματος νοεραίνειν τὸν

(*) Τ' αὐτὰ κἄτω, καὶ ἐν τῷ Λ'. Λόγῳ τῶν περὶ Τριάδος· Τόμ. Α. Σελ. 17.

τὸν κλίσαντα, πρὸς τὰ λοιπὰ τῶν κλισμάτων ἀποσκοπῶν. Ὡς δὲ Θεὸς χαρίτι, ἐπὶ τὸ πρωτότυπον ὅσον οἷόν τε ἀφορᾷν, μιμούμενος τοῦτο, καὶ ὁμοιούμενος αὐτῷ ταῖς Θεουργικαῖς πράξεσιν. Οὕτω γὰρ μέγας Κόσμος ἐν μικρῷ τῷδε φανήσεται ἔτοσί· καὶ εἰκὼν Θεοῦ ἔσαι, καὶ τιὼ κλῆσιν ἕξει τοῖς ἔργοις ἀκόλουθον. Ὅτι δὲ πᾶσι τούτοις ἔοικεν ἄνθρωπος, ἔξεσι παντὶ σωιδεῖν Ἐπισήμονι.

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τῆς Μακαρίας καὶ ὑπερθέου Τριάδος.

Ἵνα τρισυπόστατον (*) ἑαυτὸν εἶναι γνωρίσῃ ἡμῖν ὁ Θεὸς, τὰ βέλτιστα πάντων τῶν νοουμένων, καὶ τὰ κρείττονα πάλιν τῶν ὁρωμένων, τὰ αὐτὰ καὶ ἓν εἶναι, καὶ εἰς τρία διαιρεῖσθαι, ἐποίησεν. Εὐθὺς γὰρ πάντα τόνδε τὸν Κόσμον εἰς τρία μέρη διεῖλε δημιουργῶν, εἰ καὶ ἕνα σωεχῆ τε καὶ ἀδιάσατον ἀπετέλει. Τὸ ἥδιστον τῶν ὁρωμένων τὸν Ἥλιον, καὶ τὸ τιμιώτατον τῶν κλισμάτων τὸν ἄνθρωπον, ἅτως ἐδημιούργησε. Τοῦτο μὲν κατὰ τὸ νοούμενον, νοῦν, καὶ λόγον, καὶ πνεῦμα· Ἐκεῖνο δὲ κατὰ τὸ ὁρώμενον. δίσκον, ἀκτῖνα, καὶ Φῶς παραχών. Σώματά τε παντοῖα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, τρεῖς διασάσεις ἐπίσης ὁμοίας παρέχετο. Τοῦτο χρόνον, εἰς διαρκῆ τινα τρία ἐμέρισε. καὶ τὰ τῆς ἀνθρωπίνης ψυχῆς μέρη, τρία ἀπέφηνε. Τιὼτε πάλαι Σκηνιὼ, καὶ τιὼ ἡμετέραν νιῶ Ἐκκλησίαν, ὡσαύτως εἰς τρία διαιρεῖσθαι διεκελεύσατο. Φαίη δ' ἂν ἅτω καὶ περὶ τῶν Ἀγγέλων, ὅτι τιὼ τε ζάσιν, καὶ τιὼ τάξιν αὐτῶν εἰς τρεῖς τριάδας διελὼν, ἑκάστιω αὐτῶν αὖθις εἰς τρία ἐμέρισεν, ἤτοι, εἰς τρεῖς διεῖλαν ἀρχάς· καὶ ἁπλῶς τὰ τῶν ἄλλων ὑπέρτερα, τρισί τισι διεκόσμησε μέρεσι. Διὰ πάντων, ὡς ἔφιν, τιὼ ἑνικιὼ Τριάδα, καὶ Τριαδικιὼ Μονάδα, ἦγεν ἑαυτὸν, ποικιλοτρόπως ἡμῖν παρισῶν.

ΚΕΦΑΛ. ΙΖ'.

(*) Τ' αὐτὰ εἴρηται καὶ Λόγ. ις', τῶν περὶ Τριάδος. Τόμ. Α'. Σελ. 295. 296.

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ τῦ Μέλλοντος κοινῦ γνωρισμῦ.

Ὧν μέλλομεν ἔξειν παρὰ Θεῦ ἀγαθῶν ἐν τῇ μελλόσῃ Μακαριότητι· μετὰ τῆς τῦ Θεῦ, καὶ τῶν Ἀγγέλων, καὶ τῶν λοιπῶν ἀγαθῶν ἀπολαύσεως, ἔσι καὶ ὁ ἀληθὴς πρός γε τὰ ἄλλα τῶν πραγμάτων, καὶ πρὸς ἡμᾶς αὐτὸς γνωρισμός. Ἔσαι δὲ μεγίσης ἔτος τῷ τότε, μᾶλλον δὲ ἀῤῥήτε χαρᾶς αἴτιος. Καὶ τῦτο δῆλον ἐκ πολλῶν μὲν καὶ ἄλλων, ἐχ ἥκισα δ' ἐκ τῶν σωήθων ἡμῖν ἀποδημιῶν. Ὅταν γάρ τις τῶν ἑαυτῦ συγγενῶν καὶ Φίλων ἀπόδημος ᾖ ἐπὶ δέκα ἐνιαυτὸς, ἢ καὶ πλείες· καὶ γένηται αὐτῷ ὑποσρέψαι εἰς τὸς ἰδίες, ἐκ ἔχει ὅ, τι καὶ γένηται ἀπὸ τῆς χαρᾶς, ἀναγνωρίζων τὸς ἑαυτῦ. Εἰ γᾶν ἐπ' ὀλίγον χρόνον τοσαύτης γίνεταί τις χαρᾶς ἔμπλεως, καὶ ταῦτα μέρος τῶν γνωρίμων ὁρῶν, ὅταν διὰ τοσέτων ἐτῶν περιόδων, καὶ ἅπαντας μέλει ἀκριβῶς καὶ ὁρᾶν καὶ γνωρίζειν τὸς ἑαυτῦ συγγενεῖς, Φίλες, γνωσὸς, πολλῷ μᾶλλον χαρήσεται χαρὰν ἀνεκλάλητον. Πλιὼ, εἰ καὶ τὸ παράδειγμα ἀναργὲς, ἀλλ' ὑπερτερθεῖ ἀσυγκρίτως τῶν τῇδε γνωρισμῶν, ὁ ἐκεῖσε γινόμενος. καὶ τὸ πῶς, ἰδὲ λέγω. Εἰς τόνδε τὸν Κόσμον ὁ πάντας, ἀλλὰ τὸς γνωρίμες ἡμῖν μόνον γνωρίζομεν ἅπαντες, ἐκ τῶν χαρακτηρισικῶν αὐτοῖς χημάτων τε καὶ χρωμάτων, τῶν ποτὲ σωήθων ἡμῖν. Ἔκλε χηματισμῶν φωνῆς, καὶ γραμμάτων ἐνίοτε, καὶ ἐξ ἑδενὸς ἄλλε. Ἐκεῖ δὲ ὁ μόνον ἐκ τέτων· μᾶλλον δ' ἐκ τέτων μὲν ἐδενός· ἐκ μέντοι τῶν εἰργασμένων αὐτοῖς, ἢ λεχθέντων, ἢ νοηθέντων ποτὲ, Φανερῶς ἢ κρυπῶς, μάλα σαφῶς πάντων αὐτῶν ὁρωμένων ὡς εἴργασαι, γνωριῦμεν αὐτός. (*) Καὶ τὸς εἰς τὰ τῆς οἰκεμένης ἄκρα, τὸς πρὸ ἡμῶν γενηθέντας, τὸς μετέπειτα, καὶ τὸς ὅτε ἐζῶμεν βιώσαντας, πάντας γνωρί-

(*) Ὅρα Καὶ ἐν τῷ Α'. Λόγῳ τῶν περὶ τῆς Μελλέσης Κρίσεως· Τόμ. Β'. Σελ. 375.

γνωρίσομεν ἀκριβῶς· ἤτοι: ὅθεν, καὶ τίνες, καὶ τίνων, καὶ πότε, καὶ πῶς βεβιώκασιν. Ἔτι γεμλὺ Ἀγγέλες τε καὶ Ἁγίες, καὶ πάντας ὁμῦ, καὶ ἕκαςον ἰδίᾳ, γνωρίσομεν ἀναργῶς, ἐκ ἀναμενόντες Ἑρμλωέα, ἀλλ' ἐξ ἑαυτῶν αὐτοὶ πάντας γινώσκοντες· ἐκ ἐν ὀλίγῳ χρόνῳ, ἀλλ' εἰς αἰῶνας ἀπείρες, αὐτὲς ἀνεπιλήπως, καὶ τὰ αὐτῶν ἐπισάμενοι. Μακάριοι τοίνιν οἱ τῶν ἀγαθῶν ἐργάται, ὅτι τοσέτες ἔξεσιν ἐπαινέτας, ἐπιφραινόμενοι ἐν τοῖς ἔργοις αὐτῶν. Ἄθλιοι οἱ ἁμαρτωλοὶ καὶ διὰ τῦτο, ὅτι ὁ γνωρισμὸς ἐκείνων εἰς μείζονα αἰχμίλω αὐτοῖς ἔσαι καὶ ὄνειδος· κἂν ἐν ὥρᾳ τῆς Κρίσεως μόνον αὐτοῖς ἔτος γίνηται. Εἰ γάρ τις ἀλὲς ἐνταῦθα κακέργος ἐφ' ἑνὶ ἐγκλήματι, καὶ διὰ μέσης θριαμβεύομενος τῆς ἀγορᾶς ὑπὲρ τέτε, εἰς γλῶ κύπλων ἐκ ἀναν[ίε]ται ποσῶς, τῇ πολλῇ αἰχμίλῃ ὡς ἄχθει καταπαμπ]όμενος, χιλιάδων ὀλίγων τῦτον βλεπόντων, ὅντα ταύταις πολλάκις ἀγνῶτα. Πῶς φέρει τις, πῶς βαφάσει, ἐνώπιον παντὸς τῦ θεάτρε τῆς οἰκεμένης ἑλκόμενος, καὶ ταῦτ' ἐπὶ μυρίοις τοῖς ἀτοπήμασι;

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ τῆς ἀτρέπ]ε καὶ Θείας Μεγαλειότητος.

Εἴτις ἐξίσαται (*) λογιζόμενος, πῶς ἡ Θεία Μεγαλειότης καὶ ἄπειρος ὑψηλότης, τοσῦτον ἠβελήθη ἐλαττωθλῶαι· καὶ ταῦτα ἀναγκάζοντος μηδενός· ὥσε καὶ αἷμα προσλαβεῖσαν, μήτραν οἰκεῖσαι γυναικὸς, καὶ φθορὰν φορέσαι, καὶ τελευταῖον ὑβριθεῖσαν τὰ χείρισα, σαυρικὸν ὑπομεῖναι τὸν θάνατον. Εἴτις ταῦτα, ἢ παραπλήσια τέτων λογιζόμενος, ταράτ]ηται ἀπορῶν, τὸ παράπαν μηδὲν παθεῖν ἐκ τῶν δε νομίσας τὸ Θεῖον· θᾶττον

(*) Διὰ τῶν ἐπὶ τῦδε τῷ Κεφαλαίῳ λεγομένων, ἐπροοιμιάσατο, καὶ τὸν περὶ τῆς Ἐνσάρκε Οἰκονομίας Λόγον, τὸν ἐν τῷ Παλατίῳ αὐτῷ ῥηθέντα, τῶν Πρέσβεων τότε τῶν ἐκ Περσίδος ἐκεῖ παρατυχόντων. Ὁρα ἐν τῷ Β'. Τόμ. Σελ. 92, 93.

τον ταύτης ἀπαλλατλέθω τῆς ταραχῆς· ἐ γὰρ μόνον τὸν κατ' εἰκόνα αὐτῦ γενόμενον ἄνθρωπον, χάριτι θεῶσαι τὸ Θεῖον (ἴσ. ἐκ) ἐσὶ παράδοξον· ἀλλὰ καὶ εἴ τινα φύσιν ἄλλιν, ἀτρέπλε καὶ ἀναλλοιώτε μόνοντος ἐκείνε, ἐδὲν πέφυκεν ἀπεικός. Οὐδὲν γὰρ τῶν τῦ Θεῦ δημιεργημάτων αἰχρὸν, ἐδὲ ἄτιμον, κἂν πολλὰ τοῖς ἀνοήτοις ἠτιμωμένα δοκῇ. Οὐδ' ἔτι πράξῃ, ἢ γένηται τὸ φύσει ὂν ἀναλλοίωτον, παθεῖν τι δυνήσεται. Εἰ δὲ καὶ παράδοξον λέγεται ἡ σύσαρκος τῦ Θεῦ λόγε οἰκονομία, καὶ ἀνάγκη γενέσθαι· τὸ μὲν, δι' χαρισίαν καὶ ἀνθρωπίνη γνώσει μετρέμενον, παράδοξον ἂν λέγοιτο· τὸ δὲ, καθ' ἡμᾶς, ἐ κατὰ τὸ Θεῖον, ἀνάγκη. Ἡμεῖς γὰρ ἀνάγκλιν ἔχομεν ἀπαλαγλῶαι καταράς, ῥυθλῶαι θανάτε, καὶ ἀναπαθλῶαι τῦ Ἅιδε. Ἐκείνη δὲ ἡ ἀνενόχλητος ζωὴ, καὶ ἀκήρατος φύσις, ἀνάγκη ἐχ ὑπόκειται· τῷ γὰρ ταύτης θελήματι ἀνθέσηκεν ἐδείς. Ὃ γὰρ θέλει, τῦτ' ἀναγκαῖον εἶναι· καὶ ὃ μὴ θέλει, τῦτ' ἀδύνατον εἶναι. καὶ ὅπερ εἶναι βέλεται, τῦτο ἐξ ἀνάγκης καὶ κάλλισον ἐσὶν, ὥσπερ καὶ ὃ μὴ εἶναι βέλεται, ἔτε λῶ, ἔτε ἐσὶν, ἔτέπε ἔσαι πώποτε. Οὐκεν κατὰ θείαν, ἀλλὰ καθ' ἡμετέραν ἀνάγκλιν γενέσθαι τλὺ θεϊκλὺ συγκατάβασιν νομισέον. Οὐδὲ καθ' ἕτερον, ἀλλ' ἢ κατὰ τὸν τῆς ἐξομολογήσεως καὶ δυχαρισίας τρόπον, τλὺ Θείαν ἀνανθρώπησιν θαυμασέον. Τὰ γὰρ τῷ Θείῳ νδύματι βελτιὰ, ὁποῖα ἂν εἴη, κἂν ἄλλως ἀνδέχηται γενέσθαι· κἂν αἰχισα πάντων εἶναι δοκῇ καὶ ἀναξια· πάντων ἐσὶ τιμιώτερα, καὶ ἀναγκαιότατα τοῖς τλὺ ἀληθειαν μετὰ πίσεως ἀκριβῶσιν.

ΚΕΦΑΛ. ΙΘ'.

Ὅτι δεῖ τ' ἀγαθὸν πᾶσι τρόποις πράτ]ειν ἀείποτε.

Ἔνιοι τῶν ἀνθρώπων δοκῦντες μετὰ τλὺ τῶν ἁμαρτημάτων ἐξομολογήσιν, καὶ τλὺ εἰς τλὺ τυχῶσαν ἁμαρτίαν αὐτῶν ἐπανασροφλὺ, μηκέτι προσδέχεθαι τλὺ

τὴν ἀγαθοεργίαν αὐτῶν, ἀργῆσι μὲν ἀπὸ παντὸς ἀγαθῆ, πᾶσαν δὲ κακίαν μετέρχονται, καὶ εἰς ἀπόγνωσιν τρέπονται τῆ λοιπῆ. Οὐμὶν ὀρθῶς οἴονται· μᾶλλον δὲ καὶ ἀπατῶνται πρὸς τῆ ἐξ ἀρχῆς ἀπατεῶνος ἀπάτιν ὀλέθριον. Εἰ γὰρ εἰς πάντα τις ἐπαναστρέψη, δίκαιος ἐσὶν ὑπὲρ πάντων δίκας ὑποχεῖν τὰς ἀξίας. Εἰ δὲ εἰς ἅν, ἢ δύο τῶν προγεγενότων αὐτῷ περιπέσῃ πάλιν, ὑπὲρ ἐκείνων καὶ μόνων ἀπολογήσαθαι ἄξιος· Οὐμὶν ἐξ ἀρχῆς ὑπὲρ ἁπάντων πάλιν. Ἀλλὰ γυμνότερος ὁ λόγος γενέθω διὰ σαφηνείαν.

Ἔσωσαν δύο τινὲς, φέρε εἰπεῖν, ἁμαρτάνοντες τὰ αὐτά· καὶ ὁ μὲν, μηδέποτε μετανοείτω ἐπὶ τοῖς πλημμελεμένοις αὐτῷ καθ ἑκάστην. Ἀλλὰ πρὸς τῷ τέλει μόνον καὶ ἅπαξ. Ὁ δὲ συχνῶς, ἢ κατ' ἐνιαυτὸν, καὶ ἐξομολογείσθω τὰ ἁμαρτήματα, καὶ ἀγαθοεργείτω τὸ κατὰ δύναμιν. Φθαθήτωσαν καὶ ἀμφότεροι ἐν τῇ ἁμαρτίᾳ· Ποῖος αὐτῶν ἐκεῖ κεφοτέρως κολάζεται; Ἢ, κοιμηθήτωσαν ἐν τῇ τῆς ἀρετῆς ἐργασίᾳ· τίς τέτων ἀνέσεως πλέον μεταλαμβάνει; Πάντως ὁ δεύτερος· ὡς καὶ πολλάκις μετανοήσας, καὶ τοσαυτάκις ἐξαγορεύσάμενος τὰ δεινὰ, καὶ σωτριβεὶς, καὶ κατανυγεὶς, καὶ τι τῶν καλῶν ἐργασάμενος, καὶ ἄκων ὥσπερ, καὶ ἀηδῶς τὴν ἁμαρτίαν ἀποτελῶν· τυραννέμενος ταῖς προλήψεσιν, ἀλλ' ἐχ ὅλον ἔκδοτον ἑαυτὸν παραχόμενος τῇ κακίᾳ, καὶ διὰ παντὸς τὸ ζῆν ταύτῃ ἡδέως δεδελδυκώς· καὶ διὰ τὸ ἐν ἐχάταις ἡμέραις μεταγνῶναι τυχὸν, ἐλπίδας ἔχων χρησάς· Ἄλλο γάρ ἐσὶ, τὸ ποτὲ μὲν ἀγαθοεργεῖν, ποτὲ δὲ τὰ φαῦλα πράτειν, καὶ πίπτειν βίᾳ, καὶ θελήσει ἀνίσασθαι, καὶ οἷον ἀμφιῤῥεπῆ καὶ ἀδεχόμενον ἐν τέτῳ ἢ ἐν ἐκείνῳ φθαθῆναι· καὶ ἄλλο, τὸ τὰς ἰδίας ὅλας τῇ κακίᾳ ἐνδόντα φέρεσθαι πρὸς ἀπώλειαν· καὶ ἐν ἐχάτῳ γήρᾳ πρός τινος Θείας αἰτίας μετανοήσαντα, βελ θῆναι μὲν τελέσαι τὰς ἀρετὰς, ἀναρπαθῆναι δὲ πρὸ τῆς συμπληρώσεως. Καὶ αἱρετώτερον πάνυ ὑπὲρ ἐνὸς δεθῆναι σφάλματος, ἀλλὰ μὴ περὶ πάντων· καὶ τῷ χρέῳ αὐξομένῳ, τῷ ἀμελεῖντος βελτίων ὁ ἀφαιρέμενος.

Οὐκῶν ἐξαίρετον μὲν καλὸν τὸ μετιέναι ἀεὶ τὰ καλά. κατὰ δεύτερον δὲ πλῶν, ὃ φασὶ, τὸ μετερχόμενον ἀηδῶς τιὶ κακίαν, καὶ ἀρετῆς ἐπιμελεῖσθαι ὅλῃ σπεδῇ· καὶ ἢ πλεονάζειν ἐν αὐτῷ τὰ καλὰ, ἢ ἐν μεθέξει ποσῶς τέτων γίνεσθαι, τὸν τέτων ἕνεκα ὑποσάντα. Ἴσως γὰρ ἔτω διάγων, φθάσῃ φθαθιῶαι ἐν τέτοις, καὶ τὸ πᾶν ἀπολήψεται. Ὅτι ἐν ᾧ τις εὑρίσκεται, ἐν αὐτῷ καὶ ὑπάγει. καὶ εἰ μὲν ἐν μετανοίᾳ, εἰς πολυπλασίονα μισθὸν, ἢ λύτρωσιν ἁμαρτιῶν, ἀποκείσεται τέτῳ ἡ ἐκ διαλειμμάτων, καὶ μὴ κατὰ συνέχειαν τελεθεῖσα αὐτῷ ἀγαθοεργία· εἰ δ' ἐν ἁμαρτίαις ἀπέλθῃ, καὶ ἔτω πρὸς τὸ ἅγαν ἀκριβῶς εὐθυόντος τὰ ἡμέτερα, ἐταθεῖσα, καὶ ποσωθεῖσα κατὰ ἀκρίβειαν, κάφισμὸς γενήσεται τῆς κολάσεως· μὴ ἀπώναθαι δὲ ταύτης ὅλως ἀμήχανον. Εἰ δέτις ἀπεκδέχηται τότε μόνον τὸ ἀγαθὸν πρᾶξαι καὶ προσδεχθιῶαι, ὅτε πάσης κακίας ἀλλότριος γένηται, ἢ ὅταν μὴ παρεμπίπτῃ διὰ μέσε τῆς ἀρετῆς, καὶ εἰς κακίαν ὄλιθος· ὁ τοιῦτος, ὡς ψευδέσιν ὀνείροις ἀπατώμενος διορθέθω. Καὶ νομιζέτω ὡς πάντες οἱ ἀπολύμενοι χεδὸν ταύτῃ φενακιζόμενοι, καὶ ταύταις ταῖς ματαίαις ἐλπίσι δελεαζόμενοι, πάντως ἀπόλωνται.

ΚΕΦΑΛ. Κ'.

Ὅτι δεῖ, ἐφ' ἕνα σκοπὸν βάλλειν ἀεί.

Ἓν ἔργον ἐκ πάντων, ὧν ποτὲ εἶχες. ἢ νῦν ἐργάζῃ, ἢ μέλλεις ἕξειν κατὰ τῦτο τὸ πρόσκαιρον μέλον, νόμιζε τὰ κοσμικὰ ἅπαντα· καὶ τέτων μορίε μόριον τὰ περὶ τὸ σῶμα. Ἐξαίρετον μέντοι, καὶ ἀπαραίτητον ἔργον κέκτησο τιὶ πρὸς τιὶ μέλλσαν κρίσιν ἑτοιμασίαν σοι. καὶ περὶ ταύτιν ἀχολῦ· καὶ ἑτοιμάζε πρὸς τιὶ ταύτης ἀπάντησιν· καὶ σύτρεπίζε, ὡς ὅσον ἔπω παρασησόμενος ὡς κατάδικος. Τὰ δ' ἄλλα πάντα ἐχ ὡς ἡμέτερα μετέρχε καὶ μένοντα, ἀλλ' ὡς ἀλλότρια καὶ φθειρόμενα, καὶ εἰς τὸ μηδὲν ἀναλυόμενα. Κἂν πάντες ἐνδώσσι, διὰ τὸν καιρὸν τῆς σωτελείας, καὶ τὰς συνεχεῖς καὶ ἀδοκήτες

τες τότε ἐπιφορὰς, σὺ τῆς προθέσεως ἔχε σεβρῶς, ὡς ὄναρ παρερχόμενος τὰ παρόντα, τῶν δὲ μελλόντων ἀγαθῶν ὡς ἐνεστώτων ἐχόμενος. ἀεὶ σὺ ἔργῳ, καὶ λόγῳ, καὶ ἤθει διεγηγερμένος καὶ ἕτοιμος μένων. Ἦθος ἱλαρὸν σὺ ταῖς ὁμιλίαις, σιγνοιάντε, καὶ βραδεῖαν φωνὴν μετὰ ἐμβλέμματος καὶ κινήματος σαθερᾶ, ἀνδρὶ μεγαλοφρονι πρέποντος, φέρων. Δι' ὀλίγα γὰρ χρόνε πολλῶν ἐτῶν μακαρισμὸν βέλει κλήσαθαι· κὰν τι παρατεραπῇς τῆ σκοπῆ, ἀνακαλῆ σεαυτὸν, καὶ δεῦρο θᾶτλον ἐπὶ τὸ ἔργον σε. Καί γε, εἰ σωφρονεῖν ἠρετίσω, καὶ λογισμὸς ἐνοχλεῖ ἐναντίος, πρόσεχε τότων φόβῳ, μὴ ἐνδένας ποσῶς τῆς ἐνάσεως· λέγω δὴ, πυρὸς γεεννης, δεινῆ ταρτάρε, βρυγμῆ ὀδόντων, σκώληκος ἀκοιμήτε, σκότες ἐξωτέρε, κλαυθμῆ ἀπαρακλήτε, δεσμῶν ἀλύτων, καὶ πάσης ἄλλης κολάσεως. Πρὸς τότοις σκόπει τὰς ἑπομένας σοι ἐκ τῆ πράγματος ἀτιμίας, Φροντίδας, θλίψεις· τὰς ὑποψίας, τὲς φόβες, τὲς μιασμὲς, τὰς ζηλοτυπίας· καὶ τότων ἐχ ἥκιστα τὰς τῶν ψυχῶν ἀπωλείας, αἷς ἀφορμὴν παρέξεις δράξαθαι μὲν κακίας, ἐπιλαθέθαι δὲ ἀρετῆς. Ὁ γὰρ πάθεσι σαρκικοῖς ὑποπίπλων, τότων πάντων ἔνοχος αἰώνιος γίνεται.

Μὴ τοίνυν ὑποκύψῃς· ἀλλ' ἐφέσει τιμῆς, δόξης, ἀγαθότητος, σοφίας, ζωῆς αἰωνίε, Παραδείσε τρυφῆς, βασιλείας ἀρανῶν, τῆς ἄνω Ἱερεσαλὴμ, τῆς τῶν Ἁγίων σωδιαγωγῆς, τῆς τῶν Ἀγγέλων συγκοινωνίας, καὶ πρό γε πάντων τῆς τῆ Θεῆ ἀπολαύσεως, ἴσασο ἀκλινὴς, τλὴ μέλεσαν κρίσιν ἀεὶ προορώμενος, καὶ περὶ τῆς παρεσίας Χριςῆ μελετῶν. Κὰν ἐν ὁδῷ περιπατῇς, κὰν ἐν τῇ Ἐκκλησίᾳ ἴσασαι, κὰν ἐπὶ ἀρίςε κάθῃ, κὰν ἐν Κλίνῃ ἀνάκεισαι, πάντοτε περὶ τῆς ἀπολογίας ἐκείνης μερίμνα. μελετῶν ἐν σεαυτῷ καὶ ἄλλα, τῶν ὧν εὐπέποθας προσκαίρων, καὶ τῶν ἀπαντησομένων σοι μετ' ὀλίγον. Ἐπιφωνῶν δὲ καὶ ταῦτα: ἠυφράνθης; παρέδραμεν. Εὐφράνη; παρέρχεται· μέλεις; καὶ τῆτο παραδραμεῖται. Ἐκδέχε μέντοι καὶ πᾶν τ' ἐναντίον, καὶ πάλιν πεωθάνε σαυ-

τῦ σωεχῶς, λέγων: ἔπραξάς τι; ἔξεις ἐκ τύτυ τί; Ἆρα ἀρέσκει ὁ λογίζομαι νῶ, ἢ ἐργάζομαι, τῷ Κριτῇ; Καὶ ὡς ἤδη παρόντος, καὶ κρίνοντος, τύτυ μέμνησο· καὶ οἰκονόμει τὰς λόγες ἀπ' ἄρτι, τῦτον ὡς χρὴ φυλαβόμενος.

ΚΕΦΑΛ. ΚΑ'.

Ὅτι ὁ ἑαυτὸν γινώσκων, πᾶσι τὰς ὀφειλὰς ἀποδίδωσιν.

Τῆς τῶν πραγμάτων γνώσεως ἐδὲν οἶμαι κρεῖττον τῦ ἑαυτὸν γινώσκειν διὰ παντός· Ἂν γὰρ τῦτο προσῇ τινι τῶν ἀπάντων, πᾶσαν χεδὸν αἱ τῶν λοιπῶν γνώσεις ἕπονται. Οἷον τί λέγω; Εἴτις ἐπίσαται ἑαυτὸν ἀκριβῶς, καὶ ταύτῃ ἐμμένει τῇ γνώσει, φυθὺς γινώσκει τὶ μὲν πρὸς Θεῦ, τὶ δὲ παρ' Ἀγγέλων, καὶ τὶ παρ' ἀνθρώπων ἐκτήσατο. Ταῦτα δὲ σωιὼν, φυχάριτος μένει πρὸς ἅπαντας· Οὕτω δὲ διακείμενος, ἀγαπᾶται πρὸς πάντων, καὶ ὑπ' αὐτῦ τῦ Θεῦ· καὶ παρὼν φιλεῖται, καὶ ἀπὼν ζέργεται, δι' αὐτὸ τῦτο τὸ συνιέναι ἑαυτὸν καὶ γινώσκειν. Διὸ καὶ ὁ θεῖος Μωσῆς ὡς μέγα τῦτο παράγγελμα γέγραφε· „ Πρόσεχε λέγων σεαυτῷ. Ὅπερ οἶμαι καὶ Ἕλληνες ἀπὸ „ τύτυ λαβόντες, ἄριζον τεθείκασι γνώμονα γνώσεως, τὸ „ Γνῶθι σαυτόν. Ἵνα δὲ σαφέζερον γένηται τὸ λεγόμενον, σκοπῶμεν ὧδί.

Ἐπιγνώμων ἑαυτῦ εἶναί τις γνωρίζεται, ἐκ τῦ συνιέναι ὅτι πρὸς Θεῦ ἐκ τῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη, καὶ παρ' αὐτῦ εἰς τὸ εὖ εἶναι διατηρεῖται, καὶ ὅσον ἔπω εὐτεῦθεν μεθίσαται. Ἐκ τῦ μεμνῆθαι, ὅτι παρ' Ἀγγέλων φυλάτλεται, καὶ πρὸς τὸ Θεῖον ἀνάγεται, παρὰ δ' Ἁγίων διδάσκεται πᾶν ἀγαθὸν, καὶ φωτίζεται. Ῥύεται τῶν κινδύνων, καὶ πρέσβεις οἰκείας σφᾶς αὐτὲς κέκληται τὰ πρὸς τὸν Θεόν. Ἐκ τῦ ἐπίσαθαι, ὅτι παρὰ Γονέων καὶ γεγέννηται, καὶ ἀνετράφη, καὶ παντοίως πεπλέτισται· ἐκ τῦ γινώσκειν, ὅτι πρὸς τῶν Κυρίων, καὶ τῶν φίλων, καὶ τῶν γειτόνων, καὶ τηρεῖται, καὶ φιλεῖται, καὶ σώζε-

σωζεται, καὶ πᾶσι τέτοις ὁσημέραι κατ' ἀξίαν ἀποδιδόναι ὀφείλει τὰς ὀφειλάς. Τῶτο δὲ λέγω, ἐπεὶ πολλὰ καὶ διάφορα χρέη πολλοῖς τισι χρεωστῶμεν, οἱ τῷ Χριστῷ ὀνόματι σεσημασμένοι, Θεῷ, Ἀγγέλοις, Ἁγίοις πατράσι, Κυρίοις, Συγγενέσι, Φίλοις, γνωρίμοις, πᾶσι, καὶ ἡμῖν αὐτοῖς ἰδιώτατα. Θεῷ μὲν, πίστιν, ἐλπίδα, θυσίαν αἰνέσεως, εὐχαριστίαν τε καὶ προσκύνησιν. Ἀγγέλοις δὲ ἱκετηρίαν, πρεσβείαν, καὶ προσασίαν αἰτεῖσθαι πλεττῶν παρ' αὐτῶν εἰς Θεόν. Ἁγίοις δὲ, λιτανείας καὶ παρακλήσεις ὀφείλομεν· Ἵνα τιὼ ἀντάμειψιν τέτων ἀντιλάβοιμεν ἐκ χειρὸς τῶ Κυρίε. Πατράσι μέντοι τιὼ λεγομένιω ἀντιπελάργησιν· καὶ Συγγενέσι πρόνοιαν τιὼ προσήκεσαν. Κυρίοις δὲ καὶ Φίλοις, τοῖς μὲν τὰ τέλη (καὶ) τὸν φόρον σιὼ τῷ φόβῳ, τοῖς δὲ ἀγάπιω καὶ ἀντίχαριν σιὼ ἀγαθωσιώῃ. Γνωρίμοις δὲ, καὶ πᾶσιν ἀγνώσοις, διάθεσιν φυσικιὼ, φιλοξενίαν τε καὶ συμπάθειαν. Ἡμῖν δὲ αὐτοῖς ἐξαιρέτως, ἐπιμέλειαν ὑγιείας σωματικῆς, τιμιὼ προσωπικιὼ, γνῶσιν τῶν ὅλων, καὶ σωτηρίαν ψυχῆς πραγματεύεσθαι. Ταῦθ' ὁ πληρῶν ἀπ' ἀντεῦθεν τὰ χρέη, εἰς κρίσιν ἐκ ἔρχεται, ἀλλ' ἐλεύθερος μεταβαίνει πρὸς τιὼ ἐκεῖθεν μακαριότητα. Ταῦθ' ὁ σωιείς ἀληθείας καὶ ἔργῳ, ἑαυτὸν γινώσκειν ἔντος γνωρίζεται, καὶ γνώσεως ἀληθῆς τεκμήρια φέρει, καὶ ἄνθρωπος εἶναι πιστεύεται.

ΚΕΦΑΛ. ΚΒ'.

Ὅτι Φυσικῶς πάντων τῶν ἀ τῷ Κόσμῳ μετέχομεν.

Πάντων τῶν ἀ τῷ Κόσμῳ Φυσικῶς μετέχομεν ἅπαντες ἄνθρωποι (*) κἂν τιὼ τῶν πολλῶν αἰθησιν λέληθεν αὕτη ἡ μετοχή. Λίθων, ὅτι ἀ ἡμῖν αὐτοῖς ὁσα περιφέρομεν, τοῖς λίθοις τ' αὐτὰ κατὰ τὸ ἀναίθητον· Φυτῶν,

(*) Ταῦτα εἰρημένα εὑρήσεις, καὶ ἐν τῷ περὶ τῆς ἡμῶν Πίστεως Λόγῳ, ἐν Τόμ. Β'. Σελ. 40. 41.

τῶν, κατὰ τὴν αὐξητικὴν, καὶ θρεπτικὴν, καὶ γεννητικὴν δύναμιν. Ζώων, κατὰ τὴν αἰσθητικὴν, καὶ μεταβατικὴν ἐνέργειαν, ἥτις καὶ ἐν ἡμῖν, ὡς ἐν ἐκείνοις τελεῖται. Τῶν ἁπλῶν στοιχείων, ἐκ γὰρ ἐκείνων συνέστημεν, καὶ εἰς αὐτὰ κατὰ τὸ ὁρώμενον ἐχήκαμεν τὴν διάλυσιν. Τῦ παντὸς, ὅτι μέρος αὐτῦ ὄντες, ἐξ ἀνάγκης καὶ τῦ ὅλε μετέχομεν. Ἀγγέλων, ὡς λογικοὶ καὶ αὐτοὶ πεφυκότες, καὶ νῶν ἔχοντες ἀσείκινητον, καὶ Πνεῦμα ἄϋλον καὶ ἀθάνατον. Θεῦ, ὅτι πνοὴ, καὶ εἰκὼν, καὶ ὁμοίωσις ἐκείνε ὑπάρχομεν, καὶ αὐτεξσιότητι, καὶ ἀρχῇ πρὸς αὐτῦ τετιμήμεθα· καὶ ἐν αὐτῷ ζῶμεν, καὶ κινέμεθα, καὶ ἐσμέν.

Καὶ ἄλλως δὲ τῦτο ἐστὶν ἰδεῖν, ὅτι διερχόμενος ὁ ἄνθρωπος τὸν παρόντα βίον, πάντων ὥσπερ τὰς Φύσεις, ἢ τὰ ἰδιώματα διέρχεται τῶν κλισμάτων, καὶ γε ἁπλόμενος τελειότητος ἔγγισα γίνεται τῦ Θεῦ. Καὶ θαῦμα θαυμάτων, πῶς ἐκ τῶν φαύλων καὶ εἰδεχθῶν καὶ χαμερπῶν ἀρχόμενος τῆς προκοπῆς ταύτης καὶ ἐπαυξήσεως, βελτίων ὑψηλὸς καὶ θεῖος ἀποκαθίσαται. Εὐθὺς γὰρ καταβαλόμενος ἐν τῇ μήτρᾳ; ὥσπέρ τις λίθος ἀκινητίζει τελῶν· μετὰ τῦτο ὥσπερ φυτὸν τρεφόμενος αὔξει ἀναισθητῶν· Εἶτα εἰς ζωοφύτε ὥσπερ μεθίσαται φύσιν, ἅτε, ὡς διάτινος ῥίζης τῦ ὀμφαλῦ τὴν τροφὴν πῶν καὶ αὐτὸς ἐκ τῶν πέριξ, μικρὰ αἰσθανόμενος, καὶ ὀλίγα κινέμενος κατ' ἐκεῖνο· ἢ σκώληκος οἰκτρῦ βίον τὴν ἀκαὶ τὰ βιοῖ, ἰλυσπώμενος ἐν κοιλίᾳ τὸν ἀνεάμιλλον χρόνον. Μετὰ ταῦτα πρόεισιν ἀτελές τι ζῶον καὶ ἄτελὲς, πολλῆς προμηθείας δεόμενον, καὶ ἀλόγων ἐδὲν διαλυσιτελές· Εἶτα βίᾳ πολλῇ, καὶ μακρᾷ, καὶ ποικίλῃ, λόγε μεταχὼν καὶ παιδείας ἄνθρωπος γίνεται. Πλὴν ὀψὲ τῦτο καὶ μόγις, καὶ χρόνῳ ἐχὶ (ἐ) συχνῷ. Ὁ αὐτὸς μέντοι μετάγε ταῦτα ἀρετῆς καὶ Θείας χάριτος μεταχὼν ἅγιος γίνεται, καὶ εἰς τὴν τῶν Ἀγγέλων ὁμοιότητα ταῖς τῦ πνεύματος ἀναβάσεσι φθάνει. Ἐλάμψεώς τε τυχὼν τῆς ἀμείνω, θέσει υἱὸς Θεῦ, καὶ Θεὸς χρηματίζει λοιπόν.

Οὕτως

Οὕτως ἄρα πάντων τῶν ὄντων μετέχει· καὶ διὰ τοσούτων περιόδων βιαίων καὶ δυσεκλύτων τελεσιεργεῖται τοῦτο τὸ ζῶον ὁ ἄνθρωπος.

ΚΕΦΑΛ. ΚΓ'.

Ὅτι πάντα τὰ ἐπαγόμενα πρὸς Θεὸν τοῖς ἀνθρώποις φιλάνθρωπα καὶ ἐπωφελῆ.

Ὥσπερ πάντα τὰ ἔργα, ὅσα πρὸ τῆς παραβάσεως τοῦ Ἀδὰμ ἐποίησεν ὁ Θεὸς, καλὰ, καὶ καλὰ λίαν· Οὕτως ὁπόσα μετὰ τὴν τότε παράβασιν οἰκονόμησεν, ἢ γίνεσθαι συγχωρεῖ, πρός τι τέλος πάντα χρηστὸν καὶ σωτήριον ἀφορᾷ· εἰ καὶ ὀλίγοις δυσιώπητος ἡ ἐξ ἑνὸς ἑκάστου ὠφέλεια. Εἰ γὰρ τὸ δεινότατον τοῦτο ὁ θάνατος, ἐπωφελέστατον τοῖς ἀνθρώποις ἐστίν· Ἵνα γὰρ ἡ ἁμαρτία διακοπῇ, φησὶ, καὶ μὴ ἀθάνατον ᾖ τὸ κακόν· πολλῷ μᾶλλον τὰ ἐλάττω ἐκεῖνα δοκοῦντα κακὰ, τοῖς μετ' εὐχαριστίας ταῦθ' ὑπομένουσιν ὠφελεῖ ἐπωφελῆ· Ὅθεν οὐδὲ κακὰ εἰκότως κληθεῖεν ἄν· ἀλλὰ φάρμακα προφυλακτικὰ, καὶ καθάρσια· Πικραίνοντα μὲν ὀλίγα τινὶ αἴσθησιν, ἀπαλλαγὴν δὲ κακῶν ἐπάγοντα ὀλεθρίων, καὶ σωτηρίαν προξενοῦντα ψυχῆς. Τινὶ γὰρ ἐκ τοῦ ἡμετέρου αὐτεξουσίου ἐμπαθῆ ζοργὴν καὶ παράχρησιν πρὸς τὰ πράγματα καταργῶν φιλανθρώπως καὶ πολυτρόπως, ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν Κύριος, ἐναντία πολλὰ, καὶ κοινὰ βοηθήματα, ὡς κοινῶν δήπου καὶ τῶν παθῶν πεφυκότων, τῷ βίῳ ἡμῶν παρεισήγαγε. Καὶ δῆλον τοῦτο ἐντεῦθεν.

(*) Πρόσκαιρον μὲν εἶναι ταύτην ἡμῶν τὴν ζωὴν ἀπεφήνατο, ἵνα μὴ τῇ ταύτης ἀϊδιότητι φανταθῶμεν ἰσοθέαν. Βραχεῖαν δὲ, ὥστε μὴ ἁμαρτίας ἐφ' ἁμαρτίαις ἡμᾶς προσιθέναι. Τοῦ πλησίον ἡμῶν, καὶ συγγενεῖς, καὶ

(*) Ταῦτα μετελθοῦσι κατὰ τὸν περὶ τῆς ἡμῶν Πίστεως λόγον, Τόμ. Β'. Σελ. 39.

φίλες καθ' ἑκάστω ἀντεῦθεν μετάγει, τιὼ ἡμῶν σύνεσιαν πρὸς τὸν κόσμον ἐκεῖνον μετατιθεὶς, ὅπε πάντες καθ' ἡμέραν ἀπαίρεσι προφανῶς· Γῆρας τῇ νεότητι παρὰ πόδας ἐπάγει, τὸ ἀκαμπὲς ἡμῶν καὶ ἀταπείνωτον φρόνημα καταπτῶν. Πόνοις ἀλλεπαλλήλοις, καὶ συχναῖς θλίψεσι προπαλαίειν ἡμᾶς συγχωρεῖ, ταύτῃ τὰς μελλέσας κολάσεις καὶ ἄκεσιν ἐπικερδίζων ἡμῖν. Ῥᾳδὰ καὶ φθαρτὰ, καὶ ἐδὼ ἀμείνω σκιᾶς τὰ ἀνθρώπινα δείκνυσιν ἅπαντα, ὡς ἂν τῶν ἀκηράτων ἐκείνων ἀγαθῶν χοίημεν ἔρωτα διαρκῆ. Πενίαι ἀφίησι, καὶ νόσοις πολλάκις περιπεσεῖν, τῇ μὲν, τῶν πλωχῶν τῆς ταλαιπωρίας· ταῖς δὲ, τῆς ἀντεῦθεν ἐξόδε εἰς μνήμιλιν ἀάγων ἡμᾶς. Πάθεσιν αἰχροῖς ἠτιθασάτας βδελυχθιῶαι καὶ καταιχωθιῶαι παραχωρεῖ, ὥσε ποσῶς εἰς αἴσθησιν τῆς τέτων βλάβης ἐλθεῖν, καὶ ἀναπῆψαι ἡμᾶς τῆς πωρώσεως προμηθέμενος. Ζωῦφιοις ὀντελέσι καὶ ἐδαμινοῖς συγχωρεῖ καταφρονεῖθαι καὶ νύτλεθαι· τᾶτο μὲν, τῆς ἀρχῆς ἰῶ εἴχομεν πρὸς τὰ τῶν ζώων ἅπαντα γένη· τᾶτο δὲ, τᾷ μέλλοντος σκώληκος ἐκείνε τᾷ ἀκοιμήτε ὑπομιμνήσκων ἡμᾶς. Καὶ ἑνὶ λόγω, ἐκ ἔξιν ἐδὰ τῶν ἀ τῇ κλίσει δοκέντων κακῶν, ἢ τῶν τοῖς ἀνθρώποις ἐπαγομένων ἀπροσδοκήτως, ὃ μὴ ἐκκόπτοι κακίαν προσῆσαν, ἢ μέλλσαν. ἢ μὴ ἐπάγοι ἀρετιὼ ἀπῆσαν, καὶ προθεμνίω τοῖς ταύτης ἐφιεμένοις.

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τᾶ Σταυρικᾶ Τύπε.

Συμφυὴς τῷ Κόσμῳ (*) καὶ σύγχρονος, καὶ τοῖς ἀ αὐτῷ καλλίστοις, ὁ τᾶ Σταυρᾶ τύπος πρὸς τῆς παντατίε Τριάδος ὑπέση. Εὐθὺς γὰρ ὕψος καὶ βάθος, μῆκος καὶ πλάτος, σωυφέσηκε τῷ Παντί. Ἀνατολὴ καὶ Δύσις, Ἄρκτος καὶ Μεσημβρία ἀνθεωρεῖται τῇ κλίσει.

(*) Διὰ τέτων, καὶ τὸ Προοίμιον τᾶ Δ'. Λόγε περὶ τῆς τᾶ Κυρίε Σταυρώσεως, ἐν Τόμ. Β'. Σελ. 299. 300. 301.

σει. Ἄνεμοι οὕθεν σταυροειδῶς πνέουσι· καί γε αἱ ἐναντίαι κράσεις καὶ ποιότητες τῶν τε ἔτεσ ὡρῶν, ἔτως ἀλλήλαις ἀνθίσανται. Κορυφὴ, καὶ ῥίζα. καὶ κλάδοι ἑκατέρωθεν τοῖς φυτοῖς συμφύονται. Ἐμπρόσθια, ὀπίσθια, δεξιάτε καὶ ἀριστερὰ, τοῖς ζώοις συναύξεται. Οἱ Ἰχθύες τῆς θαλάσσης, σταυρικῷ σχήματι νήχονται· καὶ τὰ τε ἑρπετὰ τέτῳ τῷ τύπῳ, ἑπλάμενα, τὸν ἀέρα διαπερᾷ. Ἔτι αἱ κινήσεις ἅπασαι, καὶ αἱ τέχναι, εἰ μὴ σταυρὸς τύπος ἡγήσαιτο, μένσι πάντη ἀργαί. χρὴ γὰρ ἄνω καὶ κάτω, οὕθεντε κἀκεῖθεν κινηθέντας πρότερον, ἔτως ἐργάσασθαί τι, ἢ μεταβλῆαι, ἄλλως δὲ ἀδύνατον. Ὅθεν σταυρὸς τοῖς ὑφάσμασι μυριάκις συνεξυφαίνεται· σταυρὸς τοῖς Οἰκοδομήμασι συνοικοδομεῖται. Σταυρὸς ταῖς Ναυπηγίαις προκαταβάλλεται· Σταυρὸς ἐν ταῖς Ναυτιλίαις τῷ Ἱστίῳ συνεξαπλῶται· Σταυρὸς τοῖς ὁρόφοις συνυψῶται σαφῶς· Σταυρὸς τοῖς σκεπάσμασι συνεφαπλῶται· Σταυρὸς πανταχῆ, καὶ ἐν πᾶσι, καὶ πάντοτε φαίνεται· Ἐν ὅλοις, ἐν μέρεσιν· ἐν μεγάλοις ὁμοίως καὶ μικροῖς, τῶν τε Θείων κτισμάτων, καὶ τῶν ἀνθρωπίνων τεχνασμάτων, ὁρᾶται σταυρός. Καὶ γὰρ ὅλη ἡ οἰκία τῷ τύτῳ τέτῳ κοσμεῖται· αἱ ταύτης γωνίαι, τὸ δόμα, ἡ θύρα, τὰ ἐντὸς, τὰ ἐκτὸς, τὰ ἄνω, τὰ κάτω· καὶ ἑνὶ λόγῳ πάντα Σταυρῆ τύπον φέρεσι. Καὶ αὐτὸς ὁ ἄνθρωπος κατὰ τὴν διάπλασιν ἐνεργείᾳ Σταυρός. Καὶ θαῦμα πῶς ἡ πόρρωθεν τῶν μεγάλων πραγμάτων προκαταβαλλομένη τὰς ἀπαρχὰς πρόνοια, καὶ ἐν τοῖς νομίσμασι πᾶσι, καὶ ἐν τοῖς ἔργοις, καὶ ἐν αὐτῇ τῇ διαπλάσει πάντων, ἰωαγκασμένως ὥσπερ, ἢ μᾶλλον πανσόφως, προετυπώσατο τὸν Σταυρὸν, ἵνα καὶ ἄκοντες οἱ ἀσεβεῖς καὶ ἐνεργῶσι καὶ φέρωσι τέτον, καὶ πάντοτε, καὶ πανταχῆ ἀδιστάκτως σωῶσιν αὐτῷ· Σταυρῆ γὰρ ὕψει Ἄγγελοι ἀγιάζονται. Καὶ γὰρ τὰ τῷ θείῳ Ησαίᾳ φανέντα Σεραφὶμ, ὅτε εἶδε τὸν Κύριον, τέτῳ τῷ σχήματι ἵπταντο Σταυρῆ τῷ βάθει Δαίμονες καταβάλλονται· φρίττσι γὰρ τέτε τὸ φοβερὸν καὶ ἀήττητον· καὶ Σταυρῆ τῷ μήκει αἱρετικοὶ καταισχύνονται. Σταυρῆ τοῖς ἄκροις ἀφ'

ἡμῶν

ἡμῶν ἄπιστοι ἐξορίζονται. Καὶ Σαυρῦ τῷ μέσῳ ἡ τῶν πιστῶν Ἐκκλησία τῇ Οὐρανίῳ σωάπτεται.

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τῆς ἐν ταῖς πράξεσιν Εἰδωλολατρείας.

Εἰδωλολατρεία ἐ τῦτο μόνον ἐςὶν, ἵνα τις εἴδωλον προσκυνήσῃ γλυπτὸν, ἀλλὰ καὶ τάδε πάντα, ὥσγε δοκεῖ. Εἴτις τὸ φθονεῖν ἔργον ἔχοι διωνεκὲς, τὸν Κρόνον ἔτος ἔχει θεόν. κἂν μὴ τῦτο, ἀλλὰ τό γε μεθύειν, τὸν Διόνυσον πάντως ἡγεῖται Δεσπότιν. Εἰ τὸ μαντεύεσθαι, τὸν Ἀπόλλωνα. Εἰ τὸ πορνεύειν, τὴν Ἀφροδίτιν. Πάλιν ἂν ἀμετανοήτως φιλαργυρῇ, τὸν Ἑρμῆν, καὶ τὸν Ἄρεα, ἐὰν ὀργίζηται. Καὶ ἐὰν λυπῆται ἀδιορθώτως, τὸ Αὐτόματον. Καὶ ἁπλῶς ὅσα πάθη ψυχῆς, τοσῦτοι Δεσπόται. Ὑπόκειται γὰρ ἕκαστος καθάπερ τινὶ βαρβάρῳ, τῷ τῦτον νικήσαντι πάθει· Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τὸ ἑλληνικοῖς ἔθεσι προσέχειν τὸν νῶν, ἀσέβεια ἐςὶν ἄκρα. Ὅθεν καὶ μέχρι τέλες ζωῆς τὸν τέτοις ἁλόντα, τῆς ἱερᾶς κοινωνίας οἱ ἱεροὶ Κανόνες ἀπείργσι. Πλεῖστοι γὰρ τῶν ἀνθρώπων ἐπὶ παντὸς σωματικῦ μέλες πόνον· Ἔτι δὲ εἰς ἀχρῶν ἀφορίας, καὶ κλινῶν ἀῤῥωςήματα, καὶ ἐπὶ πᾶν αὐτοῖς ἐμποδὼν, μίαν ἴσασιν Ἰατρείαν τὰς ἐπῳδάς. Ὅθεν ἰδίᾳ ἑκάςῳ μέλει τῦ σώματος, καὶ οἰκείαν ἑκάςῳ πράγματι, ἐκ ὁῖ' ὅθεν ἐφεῦρον τινὲς ἐπῳδήν. Ἦν δὴ καὶ γοητείαν καλῦσιν. Ἐγὼ ἓν καὶ τὸν τῦτο ποιῦντας, καὶ τὸν δεχομένες, τῶν εἰδωλολατρῶντων ἴσες τιθέμενος, ἐκεῖνα γνώμην δίδωμι τοῖς μήπω ἑαλωκόσι τῷ πάθει.

Πονεῖς μέλος τι τῦ σώματος, καὶ θέλεις τῦτο ἐπᾶσαι, ὡς δή τι λυσιτελέσης τῆς ἐπῳδῆς; σφράγισον τοίνυν αὐτὸ τῷ τῦ Σταυρῦ σημείῳ· καὶ εἰπὲ, ὁ Θεὸς μεθ' ἡμῶν, καὶ ἔθνεις καθ' ἡμῶν, καὶ εὐθὺς οἰχήσεται ἡ ὀδύνη· Φθοράτις ἀφνήδιος τοῖς σοῖς ἐνέσκηψε κλήμασιν; Εὔξαι, εἰ ἀπαλλαγήσεται τὰ πάσχοντα, ἀνάθημα εἶναι τῦ λοιπῦ τῷ Κυρίῳ. Ἀθνεῖτις τῶν σῶν; ἢ καὶ σύγε; καὶ δέδοικας

δοικας ἀποθανεῖν; Προσκάλεσαι τὲς ἱερεῖς, καὶ εὐξάθωσαν, κατὰ τὶνὶ τῆ Ἀποστόλε διαταγὶν, καὶ ἀλείψάτωσαν τὸν ἀῤῥωστοῦντα ἐλαίῳ Ἁγίῳ, πίστει τῆτο θερμῇ προσδεχόμενον. Ἀντὶ φυλακτηρίε, ὕψωσον Παναγίαν, καὶ σαυτῷ περίαπτε. Ἀντὶ βοτάνης ῥίζαν, ἀπαιώρησον τῷ σῷ τραχήλῳ Σταυρόν. Βάλει τὰς μαντείας σε τελεσθῆναι; μηδόλως μαντεύε. Θέλεις τηρεῖσθαι σε πρὸς Θεῆ τὰ κατὰ τὸν βίον; ἀπόφυγε τὰς παρατηρήσεις. Ἀποδέχῃ σε τὰ καταθύμια πληρωθῆναι; ἀπόδραθίσε τῶν ἐπιθυμιῶν. Εὔμορφος φάινεσθαι ὀρέγῃ, καὶ μέγας ἀδεσθαι τοῖς πολλοῖς; μὴ σαυτὸν ἔπαιρε, μηδὲ διάθρυπτε, καὶ δὴ ἐπέτυχες τῆ σκοπῆ. Καὶ ἁπαξαπλῶς, εἰ ἐν ἅπασι τοῖς κατὰ κόσμον πράγμασι καλλοδοῦσθαι θέλεις, ἢ ἀρετὶν προσίδει τῷ εἰς χρῆσιν σοι προκειμένῳ, ἢ κακίαν τὶνὶ προσοῦσαν ἄφελε τότε, καὶ εὐτυχίαν εὕρες εὐθὺς τὶνὶ ἀκριβεστάτῳ τε καὶ ἀληθεστάτῳ.

ΚΕΦΑΛ. ΚΖ'.

Περὶ τῆς ἡμῶν παροικίας, καὶ τῶν ἡμετέρων τῆς εἰς τὰ κρείττω μετακομιδῆς.

Ξένοι ἐσμὲν (*) ἅπαντες καὶ πάροικοι τῶν ἐνταῦθα ἁπάντων· ἐ μόνον ὅτι μεταμείβομεν τόπες ἐκ τόπων ταῖς συχναῖς ἡμῶν μεταβάσεσι, καὶ κλώμεθα ἄλλα ἀντ' ἄλλων ἐνίοτε πράγματα, τὰ ποτὲ ἡμέτερα ποιῆντες ξένα, καὶ τὰ ἄλλοτε ξένα, ποιέμενοι ἴδια τὸ δοκῆν· ἀλλὰ ξένοι ἐσμὲν τῆς ἡμῶν ταύτης πόλεως· Ὅτι πόλις ἡμῶν πέφυκεν ἀληθὴς ἡ ἄνω Ἱερσαλὴμ, ἡ ἐλευθέρα Μητρόπολις. Ξένοι πεφύκαμεν τῶν ἡμετέρων τέτων οἰκιῶν, ὅτι οἰκίαν ἔχομεν ἀχειροποίητον ἐν Οὐρανοῖς, τὰς αἰωνίες Σκηνὰς, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία. Ξένοι τῶν παρόντων κήπων, χωρίων τε καὶ ἀμπελώνων, ὅτι Παράδεισος ὃν ἐφύτευσεν ὁ Θεὸς κατὰ Ἀνατολὰς, τῆς τρυφῆς τὸ χωρίον, ἡμῶν χάριν πεφύτευται, καὶ

(*) Ὅρα ἐν τῷ περὶ τῆς ἡμῶν Πίστεως Λόγῳ. ἐν Τόμ. Β'. Σελ. 39. 40.

καὶ ἡμᾶς θεωρὲς ἀποδέχεται. Τῶν τε συγγενῶν, τέτων δὴ τῶν ἐξ αἵματος ὑπάρχομεν ξένοι, ὅτι γενεὰ τῶν ζητέντων τὸν Κύριον οἱ κατ' ἀρετὴν γεννηθέντες εἰσὶ, καὶ σωαρμοθέντες τῷ Χριςῷ διὰ πνεύματος. Καὶ ἄλλως δὲ πεφύκαμεν παντοίως ξένοι, ὅτι πάντα τὰ πράγματα ὧδε εὑρίσκομεν, καὶ μὴ θέλοντες ὧδε ἀφίεμεν. Χρήματα, βρώματα, ενδύματα, καὶ ἁπλῶς ἅπαντα. Πλὴν, δέδωκεν ἡμῖν ὁ Θεὸς χάριν μεγίςην, καὶ ξένον ἐμπορίας τρόπον εν τέτοις· Ἵνα μενόντων αὐτῶν ἀκερεάων ὧδε, δυνώμεθα μετατιθέναι αὐτὰ καὶ εἰς ἕτερον κόσμον, εἰ θελήσωμεν μόνον· καὶ μεταποιεῖν ἅπαντα ἀντὶ φθαρτῶν ἄφθαρτα, ἀντὶ προσκαίρων αἰώνια, καὶ ἀντὶ ἐπιγείων ἐράνια. Ταῦτα γὰρ ἔτω μετασκευάζειν ἐπὶ τὸ βέλτιον ἰχύομεν ἅπαντες διὰ τῆς χρηςῆς μεταδόσεως. Καὶ τὸ δὴ μέγιςον, ὅτι ὥσπερ ὁ Θεὸς Φύσει ἐςὶ Δημιεργὸς ὢν βέλεται, ἔτω καὶ ἡμῖν παρέχετο ἰχὺν καὶ χάριτα ξένιν, εἰ καὶ ὀλίγοις αὕτη εὐσιώπλος, τὸ δημιεργὲς εἶναι χάριτι, πρὸς τῷ πρώτῳ Δημιεργῷ τὰς τῆς δημιεργίας ἀρχὰς, ὡς καὶ τὸ εἶναι, λαμβάνοντας. Ταύτῃ τοι καὶ κόσμον οἷοίτε δημιεργεῖν πεφύκαμεν ὅλον· Φυτά τε καὶ ζῶα, Παραδείσες, Λειμῶνας, καὶ πᾶν ἔτι τῶν ἐν τῇ γῇ. καὶ τό γε κάλλιςον, λογικὰ ζῶα, ἄνθρωπον, καὶ Ἅγιον, καὶ Ἄγγελον· καὶ ὑπὲρ ταῦτα, υἱὸν Θεῦ, καὶ Θεὸν, τὸ παραδοξότατον. Ταῦτα μέντοι ἡ Φύσει, ἀλλὰ προαιρέσει· Ὅθεν καὶ τ' ἀναντία τέτων ποιεῖν ἡμῖν οἷόν τε, κατὰ τὸ εἰρημένον ὑπὸ Θεῦ: ἐγὼ εἶπα Θεοὶ ἐτὲ, καὶ Υἱοὶ ὑψίςε πάντες· Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν Ἀρχόντων πίπλετε: Ταῦτα τοίνυν εἰδότες, ὡς παρεπίδημοι τὴν ἀναςροφὴν ἡμῶν διαθώμεθα, καὶ ὡς ξένοι τῶν τῇδε παρασκευαθῶμεν πρὸς τὴν εἰς τὴν Πατρίδα ἐπάνοδον. Καὶ, ὡς Κύριος κελεύει, Θεῷ υἱοὶ ἀπάρτι γενώμεθα.

ΚΕΦΑΛ. ΚΖ'.

ΚΕΦΑΛ. ΚΖ'.

Περὶ μνήμης τῶν ἐν τῇ Κρίσει.

Πάντων τῶν ἁμαρτημάτων ὧν πταίομεν τῷ Θεῷ, ἃ μόνον αὐτὸν ἔχομεν μάρτυρα καὶ κατήγορον, ἀλλὰ καὶ Ἀγγέλους, καὶ Ἁγίους, καὶ ἀνθρώπους, καὶ Δαίμονας, Οὐρανὸν, Γῆν. καὶ τ' ἄλλα στοιχεῖα· καὶ ἁπλῶς ἅπαν ποίημα. Ὅτι καὶ τούτων ἀνώπιον ἡμάρτομεν, καὶ πάντων ἔμπροσθεν κατηγορεῖσθαι μέλλομεν περὶ τῶν πραχθέων. καὶ ὅτι καὶ Ἀγγέλων, καὶ Ἁγίων, καὶ Στοιχείων διδασκόντων ἡμᾶς τὸ τοῦ Θεοῦ θέλημα, τῶν μὲν τῇ ὄψει, τῶν δὲ τῷ λόγῳ, παρηκέσαμεν πάντων, καὶ αὐτοῦ τοῦ Θεοῦ· καὶ τὸ δὴ μεῖζον εἰς τὸν τῆς Κρίσεως λόγον, ὅτι ἃ μόνον ὑπὲρ τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ ὑπὲρ τῶν χαρισμάτων, ὧντε ἄνωθεν ἔχομεν παρ' αὐτοῦ κοινῇ, καὶ ὧν ἕκαστος ἰδίως, λόγον ἔχομεν δοῦναι, καὶ τίνι ἀντάμειψιν πάντων ἀπαιτηθῆναι. Καὶ ὅτι ἀδὲ σωιέναι κἂν ἰωεχόμεθα, τίνος χάριν εἰς τὸ εἶναι παρήχθημεν, καὶ οἷος κόσμος ἡμᾶς ἀπεκδέχεται· ἢ τίνος εἰκόνα φορεῖμεν ἁπλῶς.

(*) Ἵνα γοῦν ἡ τῶν ἀποῤῥήτων ἐκείνων ἀγαθῶν ἔφεσις, καὶ τῶν ἀποφράδων κολάσεων ἡ μνήμη ὡσαύτως αὔξηται ἐν ἡμῖν, διαγραφόμεν τῷ λόγῳ, καὶ τῇ τοῦ νοῦ θεωρίᾳ τὰ συμβησόμενα τηνικαῦτα. Καὶ πρὸς τούτοις τῶν τε Ἁγίων τὰς μετὰ τὴν Ἀνάστασιν ἀπολαύσεις, καὶ τῶν ἁμαρτωλῶν τὰς μετὰ τὴν Κρίσιν κολάσεις. Ὥστε τῶν μὲν βιαθῆναι διαδρᾶναι τὴν πεῖραν, τῶν δὲ ἀπολαύσεως τύχεσθαι. Οἷον, ὡς ἐν ὑποδείγματι, λογιζώμεθα καὶ σκοπῶμεν, πῶς περὶ μέσας νύκτας ἐξαίφνης τοῦ Ἀρχαγγέλου Σάλπιγγι τῇ ὑστάτῃ σαλπίσαντος, εἰλιχθήσεται μὲν ὁ Οὐρανὸς ὡς Βιβλίον, ἤτοι ἐπὶ τὸ κρεῖττον ἀλλοιωθήσεται· σαλευθήσονται δὲ πᾶσαι τῶν Οὐρανῶν αἱ Δυνάμεις, ἤγουν οἱ Ἄγγελοι· τιναχθήσεται τὰ στοιχεῖα· Σεισθήσεται ἡ Γῆ· Τρομάξει ἡ θάλασσα· ἐραγήσεται

(*) Τοῖς αὐτοῖς ἀπαντήσεις καὶ ἐν τῷ Α'. τῶν περὶ τῆς Μελλ. Κρίσ. Λόγ. Τόμ. Β'. Σελ. 371.

γήσεται ἡ ἄβυσσος· δονηθήσεται τὸ πᾶν· ἀνοιγήσονται οἱ Τάφοι· ἀναστήσονται οἱ νεκροί· ἀλλαγήσονται οἱ ζῶντες, ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν· φεύξεται οἱ Δαίμονες· Σκοτισθήσεται ὁ Ἥλιος· σβεσθήσεται ἡ Σελήνη, καὶ τὰ Ἄστρα κρυβήσεται, ἐκ ἀφανιζόμενα ἐπὶ τὸ μὴ ὄν, ἀλλὰ τὸ φῶς ἀμαυρέμενα· Ὡς γὰρ τῇ τῦ ἀληθινῦ Ἡλίε ἀνατολῇ, πάντων ἀμαυρῆται τῶν Ἄστρων τὸ φῶς, ἅτω τῦ ἀληθινῦ φωτὸς ἐκ τῶν Οὐρανῶν φαινομένε, τῇ ἀῤῥήτῳ τότε λαμπρότητι, αἱ Ἡλιακαὶ πᾶσαι ἀμαυρῦνται ἀκτῖνες.

Καὶ πρῶτον μὲν ἡ βασιλικὴ καὶ Θεία Σημεία (*) ὁ τῦ Κυρίε Σταυρὸς φανήσεται ἐν τῷ Οὐρανῷ λάμπων ὑπὲρ τὸν Ἥλιον, ἀπ' ἄκρων τῶν Οὐρανῶν, ἕως ἄκρων αὐτῶν, Ἁγίων Ἀγγέλων περιεχόντων αὐτόν. Ἔπειτα δὲ καταβαίνοντος τῦ Δεσπότε Χριτῦ, καὶ χιλίαν χιλιάδων, καὶ μυρίων μυριάδων, ἤτοι ἀπειράκις ἀπείρων Ἀγγέλων παριτημένων, ἑπομένων, προπεμπόντων, εὐφημόντων, καὶ λειτουργόντων αὐτῷ, εἰς Ἀέρα γενήσεται ἡ τῶν Ἁγίων ἀπάντησις, καθὰ καὶ ὁ Θειότατος Παῦλος αἰνίττεται λέγων: „ ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν „ τῦ Κυρίε, εἰς ἀέρα. Αὗται γὰρ αἱ χάριτες, (†) ἃς μέλλεσι μετὰ τῶν ἄλλων ἐν τῇ κοινῇ ἀναστάσει λήψεθαι πρὸς Θεὸν κοινῶς οἱ Δίκαιοι ἅπαντες· λαμπρότης, λεπτότης ἐλαφρία, διόρασις. Λεπτότητος γὰρ μεθέξουσιν ἐν τοῖς σώμασι μετὰ τὴν Ἀνάστασιν τοιαύτης, ὥτε καὶ διὰ Σωμάτων ἀκωλύτως διέρχεθαι, ὡς τὸ τῦ Κυρίε Σῶμα ἐσφραγισμένε τῦ Τάφε, καὶ κεκλεισμένων τῶν θυρῶν μετὰ τὴν ἔγερσιν διαβὰν ἀ κεκώλυται. Ἐλαφρίας δὲ τοιᾶς δὲ μεθέξουσιν, ὥτε καὶ εἰς ἀέρα ἀνεμποδίτως κεφίζεθαι· ἵν' καὶ ὁ Θειότατος Παῦλος, ὡς προείπομεν, ἔφη: „ ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τῦ Κυρίε, εἰς „ ἀέρα. Λαμπρότητι γεμὶν περιαστραφθήσονται, ὡς ἐξισῦθαι

(*) Ἐν τῷ ἀρημ. Α'. Λόγ. περὶ Μελλόσ. Κρίσ. Τόμ. Β'. Σελ. 373.

(†) Ταῦτα δὲ ἄρηται καὶ ἀνωτέρω ἐν τῷ Ζ'. τῶν παρόντων Κεφαλαίων. — Ὅρα καὶν τῷ ἐηθέντι Α'. Λογῳ, ἐν Τόμ. Β'. Σελ. 376. 377.

σεσθαι ταύτῃ ταῖς τοῦ Ἡλίου ἀκτῖσι, καθὼς προεῖπον ὁ Κύριος· τότε οἱ Δίκαιοι λάμψουσιν ὡς ὁ Ἥλιος. Διόρασιν δὲ τῇ λαμπρότητι ἕξουσιν ἐπομένως, μεσότητος ἀπάσης καὶ ἐσόπτρου ἀρθέντων ἐκ μέσου, καὶ πρόσωπον πρὸς πρόσωπον τῷ Θεῷ ἐνορώντων· ἀλήθειαν τε βλεπόντων, καὶ πάντα τὰ χρήματα ἀκριβῶς, καὶ τοὺς λόγους αὐτῶν γινωσκόντων. Ὥσπερ γὰρ νῦν Ἡλίου λάμποντος ἅπαντα φανερεῖται τὰ ὑπὲρ γῆν· οὕτω καὶ τότε Θεοῦ, καὶ πάντων λαμπόντων, καὶ Θεοῦ, καὶ ἑαυτοῦ, καὶ ἀλήθειαν ἐπιγνώσονται. "

Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν· εἰς Ἀέρα γενήσεται ἡ τῶν Ἁγίων ἀπάντησις· ἥτις ἐχ ἁπλῶς, καὶ ὡς τύχοι, (*) ἀλλὰ μετὰ τάξεως Ἁγίοις Θεοῦ ὑπαντῶσι (πρεπούσης) γενήσεται. Αὐτίκα γὰρ τῶν πάλαι Προπατόρων ὁ χορὸς, κορυφαῖον ἔχων Ἀδὰμ τὸν γενάρχην, πρῶτος ὑπαντήσει τῷ Φοβερῷ. Μετὰ τοῦτον, ὁ τῶν Ἀποστόλων θίασος· καὶ μετ' αὐτὸν εὐθὺς ὁ τῶν Μαρτύρων δῆμος· εἶτα Προφητῶν ὁ ἀνθεος κύκλος· καὶ ἐχόμενον τούτου, τὸ τῶν Ἱεραρχῶν ἄθροισμα. Στῖφος ἕψεται τὸ τῶν Ὁσίων μετέπειτα, ἀκόλουθον ἔχον τὸ τῶν Δικαίων πλῆθος αὐτῷ. Μεθ' ὃ γυναίων Ἁγίων πλῆθος, σιγῇδὸν ἑπομένη σωυπαντήσει τοῖς πᾶσι Θεῷ. Καὶ περιηχήσει τοῖς πάντων ὕμνοις Ἀήρ, τῶν μὲν λεγόντων: Εὐλογημένη ἡ δόξα, ἡ ἐκπορευομένη ἐκ τοῦ Ἁγίου τόπου αὐτοῦ· τῶν δὲ ὑμνούντων: Ἅγιος Ἅγιος Ἅγιος Κύριος Σαβαὼθ, πλήρης ὁ Οὐρανὸς καὶ ἡ Γῆ τῆς δόξης σου. Ἄλλων βοώντων: δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ Γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· καὶ τῶν μὲν ψαλλόντων: Ἀλληλούϊα· τῶν δὲ κραζόντων: Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ· καὶ τῶν μὲν διακελευομένων ἀλλήλοις μετὰ χαρᾶς: Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ· ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν· τῶν δὲ ᾀδόντων: Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. "

Ἀλλὰ

(*) Ἐν τῷ αὐτῷ Α'. Λόγ. Τόμ. Β'. Σελ. 373. 374.

Ἀλλὰ ταῦτα μὲν ἴσως ἡμεῖς τεκμαιρόμενοι λέγομεν ᾄσαι (ἴσ. ᾄσειν.) τὰς Ἁγίας Χριςῷ. Ὑπὲρ δὲ ταῦτα, καὶ ὡς ἐκ ἂν νῆς ἐφίκοιτο, ἔσαι αὐτοῖς ὁ ἀλαλαγμός. Πλιὼ, ἐλθόντος, θρόνοι τεθείσονται Φοβεροί· Ποταμὸς πυρὸς ἐνώπιον αὐτῦ προπορεύσεται, καὶ φλογιεῖ πάντας τὲς ἐχθρὲς αὐτῦ· καὶ βίβλοι ἀνοιγήσονται εἰς τὸ τὰς πράξεις πάντων φανερωθῆναι· Ἄγγελοι ἀςράψουσιν· οἱ Δίκαιοι λόγχειμονήσουσι, καὶ λάμψουσιν ὡς ὁ Ἥλιος. οἱ Ἁμαρτωλοὶ ςήσονται ἅμα τετραχηλισμένοι (*), κατηχυμένοι, καὶ κατηφεῖς· καὶ οἱ Δαίμονες πεσῦνται, διαπεφωνηκότες πρὶν εἶς. Τότε πράξεις ἐλέγχονται, διάνοιαι, καὶ ἐνθυμήσεις φανεραὶ, καὶ ἐ λανθάνουσα, τῦ Φύλακος τῆς ἑνὸς ἑκάςυ ψυχῆς Ἀγγέλυ, καὶ πάντων τῶν πρόςτινός τι παθόντων ἀνθρώπων, ἐλεγχόντων παῤῥησίᾳ πολλῇ, καὶ ἀναίδην τὲς πλαίσαντας· μᾶλλον δ' αὐτῶν τῶν πραγμάτων φανομένων ὡς πέπρακται, καὶ κατηγορέντων ἀσύγγνωςα. Καὶ πρό γε πάντων, τῦ σωειδότος ἑκάςυ κατεξανισαμένυ, καὶ τὸν πλάσαντα πλήττοντος. καὶ ἀρνεῖσθαι ἐκ ἔτι, ἀληθείας ἐλεγχόσης, καὶ δειλίας κατεχόσης, καὶ ἀνενδότυ ἀνάγκης κατεπειγόσης. Ὅθεν ἔτε Πατὴρ, ἐκ ἀδελφὸς, ἐ μήτηρ, ἐ συγγενὴς, ἐ φίλος, ἐ τέχνη, ἐ ἀσθὴ, ἐ δῶρα, ἐ ῥητορικὴ, ἐ δόξα, ἐ πλῆτος, ἐ Ῥώμη σώματος, ἐ Φρένησις, ἐκ ἄλλοτι τῶν ἀνθρωπίνων ψυχῇ βοηθῆσαι δυάται. Ὅτι πρὸς τοῖς ῥηθεῖσιν, Ἄρχων καὶ ἀρχόμενος, Βασιλεὺς καὶ προσάτης, (**) μικρὸς καὶ μέγας, ἀξία πᾶσα καὶ ἡλικία, πᾶν γένος καὶ πᾶν ἐπιτήδευμα, κριθήσονται ἐν τ' αὐτῷ.

Τότε φωνῇ ἱλαρᾷ, καὶ προσηνεςάτῃ ἐρεῖ τοῖς Δικαίοις ὁ Κύριος: Δεῦτε οἱ εὐλογημένοι τῦ Πατρός μυ κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμυ. Καὶ εὐθὺς πορεύσονται μετ' αὐτῦ ἐν χαρᾷ ἀῤῥήτῳ, καὶ ἀγαλλιάσει ἀνεκλαλήτῳ, ἐν τῷ Παραδείσῳ,

(*) Ὅρα ὁμοίως Αὐτ. Σελ. 376. καὶ προσωτέρω Σελ. 380.
(**) Αὐτ. Σελ. 380. 381.

ϖω, ἐν τῷ Οὐρανῷ, ἐν τῇ ἄνω Ἱερουσαλήμ. Ὅπου τὸ ἀδιάλειπτον τῶν Ἀγγέλων, τὸ χωρίον τῆς αὐδύτου φωτός. Τῆς εὐκοσμίας ἡ ἀρχὴ, ἡ χώρα τῶν ζώντων, φωνὴ ἀγαλλιάσεως, ἐξομολογήσεως ᾠδὴ, καὶ ἦχος ἑορταζόντων ἀπέραντα. Καὶ σωζόμενοι τῇ λοιπῇ τῷ Κυρίῳ πάντων ἀγαθῶν ἀπολαύοντες, καὶ αὐτῇ. Αὐτὸς γὰρ ἐστὶ τῶν ἐφετῶν τὸ ἀκρότατον· ἐν αὐτῷ ἀεὶ μένοντες, καὶ αὐτὸς ἐν αὐτοῖς.

Ἀλλ' οἱ μὲν Δίκαιοι ταῦτα λήψονται εἰς αἰώνιον κληρονομίαν· οἱ δὲ ἁμαρτωλοὶ μετὰ τὸ ἀκοῦσαι: Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ· διὰ ξενοχωρίαν πνεύματος χωριζόμενοι τοῦ Θεοῦ, καὶ τῶν Ἁγίων, καὶ παντὸς ἀγαθοῦ, οἰκείων τε, καὶ τῶν ποτὲ φιλτάτων αὐτοῖς, κόψονται πικρῶς, καὶ κλαύσονται ὀδυνηρῶς, καὶ ὀλολύξουσι μέγα, ὡς καὶ τὴν κοιλάδα τοῦ κλαυθμῶνος περιηχῆσαι, καὶ μέχρις Οὐρανοῦ τὴν φωνὴν διαβλῶαι, καὶ τὰ πάντα σωθρωνῆσαι αὐτοῖς. Ἐκβληθήσονται ἐν τῆς Οὐρανίου Σφαίρας ἐκλὸς, καὶ πόρρω ἐριφήσονται τοῦ παντός. Πλεῖον, ἢ ὅσον ἀπέχει ὁ Οὐρανὸς τῆς γῆς, εἰς τὸ χάος, καὶ τὴν ἀπώλειαν. κληρονομήσουσι δὲ τῆς Θείας δόξης τὴν ξέρησιν, τὴν τοῦ Θεοῦ ἀγανάκλησιν, τῶν Ἁγίων τὴν ἀλλοτρίωσιν, τῶν οἰκείων τὸν μακρυσμὸν, τὸν τῶν αἰωνίων ἀγαθῶν χωρισμὸν, τὸ σκότος τὸ ἐξώτερον, τὴν μετὰ τῶν Δαιμόνων καταδίκην, τὰ ἄλυτα δεσμὰ, τὸν Τάρταρον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸν ἀκοίμητον σκώληκα, τὴν δυσωδίαν καὶ τὴν ξενοχωρίαν, τὸν ἀπαράκλητον θρῆνον, τὸ Οἴμοι, τὸ Οὐαὶ, τὸ Φεῦ, τὸ ἀβάλε, τὰς ξυναγμὰς τὰς ἀνωφελεῖς, τὰ ἀνενέργητα δάκρυα, τὰς πυριφλεγέθοντας ποταμὰς, τὸ τῆς γεέννης πῦρ ἐκεῖνο τὸ ἄσβεστον, τὴν ἀπώλειαν, καὶ τ' ἄλλα δεινὰ, ἃ μηδέποτε πέρας ἐκδέχεται. Ταῦτα τοίνυν ἅπαντα, καὶ τὰ τοιαῦτα ἀναλογιζόμενοι ὁσημέραι, τὴν ἡμῶν ζωὴν διαθυμώμεν· ἵν' ἢ τῷ φόβῳ τῶν δεινῶν, ἢ τῷ τῶν ἀγαθῶν πόθῳ, τῷ θείῳ εὐαρεστήσαντες, ἐλέους τύχωμεθα.

ΚΕΦΑΛ. ΚΗ'.

Ὅτι χρὴ σωιζόντας τίνος ἕνεκα πάντα παρήχθη, ὑπερδυχαριστεῖν.

Ἐν καὶ τῦτο πρὸ πάντων ἔχειν δεῖ προειλημμένον ἐν ταῖς διανοίαις ἡμῶν ἀνεπίλησον, ὅτι πάντα τὸν ὁρώμενον Κόσμον, δι' ἑδὲν ἄλλο τῶν κλισμάτων ἔκλισεν ὁ Θεὸς, ἀλλ' ἢ δι' ἡμᾶς μόνον· ἔδαφος ἡμῖν ὑφαπλώσας τλὺ γλῦ, ὄροφον τείνας τὸν ὑπερκείμενον Οὐρανὸν, πρὸς ἀναπνοὰς τὸν πέριξ χέας Ἀέρα, καὶ εἰς λύχνε λόγον ἀνάψας τὸν Ἥλιον. Τῶντε ζώων τὰ γένη, καὶ τὰ εἴδη τῶν φυτῶν τὰ μυρία εἰς ὑπεργίαν καὶ τροφὴν ἡμετέραν παρασησάμενος. Καὶ ἁπλῶς ἑνὶ λόγῳ, δι' ἡμᾶς ἅπαντα ἐκ τῦ μὴ ὄντος παρήγαγεν εἰς τὸ εἶναι. Πρὸς τῦτοις τῆς τρυφῆς τὸ χωρίον, φημὶ δὴ τὸν Παράδεισον, τλὺ ἄνω Ἱερεσαλὴμ, τλὺ αἰώνιον ζωλὺ, καὶ τὰ μέλλοντα ἀγαθὰ, ἡμᾶς τιμῶν παρεσκεύασε· καὶ πάντα σωτηρεῖ ἡμῶν χάριν, καὶ προνοεῖται ξυμπάντων, καὶ εἰς πέρας ἄγει τὸ βέλτισον. Ταύτητοι χρὴ καὶ ἡμᾶς σωιέντας, καὶ μεμνημένες αὐτῶν, τὸν τοσῦτον πάροχον καὶ δοτῆρα δοξάζειν ἔργοις καὶ λόγοις Θεὸν, ποιῦντας κρίμα καὶ δικαιοσωλύν, κατὰ τὸ γεγραμμένον, ἐν μέσῳ τῆς γῆς. Ἵνα μὴ ὡς ἀχρεῖα, καὶ ἀχάριστα κλίσματα, καὶ δι' αὐτὸ κολαθῶμεν τὸ ἄγνωμον καὶ ἀχάριστον, καὶ ἀφανισμῷ πλείονι διὰ τῦτο παραδοθῶμεν. Ὁ γὰρ κατὰ χάριν τῦτο τῷ Κόσμῳ διοικητής τε καὶ οἰκονόμος, ὁ ἄνθρωπος ἐσί· κἂν μὲν ἑαυτὸν γνῷ, καὶ τὸν φύσει Κύριον, προνοήσεται καὶ διοικήσει πάντα κατά γε τλὺ Θείαν θέλησιν, καὶ τλὺ ἑαυτῦ δλύαμιν, ὅσα εἰς χεῖρας αὐτῷ ἥκει πρὸς τῆς προνοίας, κερδίζει τὸν ἅπαντα κόσμον, ἑαυτὸν, τὰ μέλλοντα, καὶ αὐτὸν τὸν Θεόν. Εἰ δ' ἦν, ἐκπίπλει μὲν ἐλεεινῶς τῷ Θεῷ, ἐξορίζεται δὲ τῷ Κόσμῳ παντὸς, παραδίδοται δὲ κολάσει δλωσεκεῖ. καὶ ἑαυτῷ ἔξω γίνεται φρενῶν, οἵμοι, καὶ αἰθήσεων ἐναργῶν μένας ἔρημος. καὶ τὸ δεινότατον, τλὺ μετὰ Δαιμόνων κάθειρξιν, τῆς μετὰ Θεῦ ἀνταλ-

ἀνταλλάτ|εται σωτηρίας. Καὶ τοῦτο Θεῷ κρίσει μάλα πάχει δικαίως. Ἐπεὶ γὰρ κλιθεὶς αὐτῷ μόνῳ πιστεύειν, καὶ ὡς ἐκείνῳ δοκεῖ νομίζειν τὰ πράγματα· χάριτας αὐτῷ ὑπὲρ τῶν ἤδη γεγενημένων ὁμολογεῖν· ὑπέρ τε τῶν μελλόντων ἅπασαν εἰς αὐτὸν τὴν ἐλπίδα κεκλῆσθαι· Οὗτος ἀπεναντίας, καὶ ὡς αὐτῷ δόξει, ἕτω πάντα μόνον ἐκ ἄλλως εἶναι πιστεύει· καὶ πρὸς τῷ μένειν ἀχάριστος, εἰς πλοῦτον, ἢ ἰσχὺν, ἢ καὶ ἄνθρωπον τὴν ἐλπίδα ἅπασαν τρέφει, καὶ, ὡς ἐξ ἑαυτοῦ δῆθεν ἔχων τὸ εἶναι καὶ σώζεσθαι, ἰσχυρίζεται· εἰκότως ἄγαν τῶν προειρημένων ἁπάντων ἐκπίπτει.

ΚΕΦΑΛ. ΚΘ'.

Ὡς ἔστι σαδιοδρόμος πᾶς ὁ σωθῆναι βουλόμενος.

Ὅσοι μέλλω λέγειν οὐ ὑποδείγματι, μὴ οὐ τῷ λόγῳ Σκηνήν τινα τοῦθ' ὑπολάβῃς, ἢ γεγονὸς ἅπαξ, καὶ σκιαγραφηθὲν οὐ εἰκόνι πρὸς μίμησιν, ἀλλ' οὐ ἀληθείᾳ· καὶ βλέπε τὸ πρᾶγμα εἰς πάντας γινόμενον. Τί δ' ἄρα τοῦτο ἐστίν; ὅτι σάδιον πέφυκεν ἅντικρυς ἅπας ὁ τῶν ἀνθρώπων βίος, καὶ αὐτὸ δὴ τὸ μέτρον τῆς ἑκάστου ζωῆς. Καὶ ὅρα αἰσθητῶς τε καὶ νοητῶς, ὡς ἔχει ἡμῖν τὰ ἀνθρώπινα. Ὁ παντεπόπτης Θεὸς ἐπὶ μετεώρου θρόνου καὶ ἐπημένου καθήμενος, πάντα σκοπεῖται τὰ οὐ τῷ Κόσμῳ γινόμενα. Θεωροὶ δὲ σὺν αὐτῷ αἱ τῶν Ἀγγέλων τάξεις· καὶ πάντες δ' οἱ τῶν Ἁγίων χοροὶ θεαταὶ καθεσήκασι τούτων ἀλάθητοι, ὡς ἐξ ἀπόπτου τινὸς, καὶ ὑψηλοτάτης περιωπῆς, καὶ αὐτοὶ κατοπτεύοντες τὰ ἡμέτερα. Τρέχουσι γὰρ τὸν τοῦ σαδίου αὐτοῖς προκείμενον δρόμον, ἅπαντες οἱ κατὰ γενεὰς διαφόρους παραγόμενοι εἰς τὸν βίον, καὶ σωθῆναι σπεύδοντες ἄνθρωποι. Ὁ μὲν τούτων, ἀρχόμενος ἀφ' ἧς ἡμέρας γεγένητο· ὁ δ', ἀφ' ἧς ἐβαπτίσατο· ἄλλος, ἀφ' ἧς μετενόησεν· ἕτερος, ἀφ' ἧς ἀπετάξατο· τέλος δὲ κοινὸν αὐτοῖς τοῦ σαδίου ὁ θάνατος. Ἀλ-

λὰ τῦτο μὲν ἅπασι πρόδηλον. Σὺ δέ μοι θέασαι τὰ τῶν τρεχόντων ἐνταῦθα κωλύματα· καὶ σκόπει ταῦθ' ὡς ἂν ὑπερβῇς. Ἔνθεν γὰρ κἀκεῖθεν τῦ δρόμε, ἢ μᾶλλον πρὸ ποδῶν τῶν τρεχόντων, πρόκειται πάνθ' ὅσα, ἃ τὲς πόδας σφῶν εἴργει τῆς πρόσω πορείας, ἀλλὰ καὶ τὶ ψυχὶ ἅπασαν σὺ τῷ σώματι, τῶν μὴ ὅλη ἰσχύϊ ἐπεκτεινομένων τοῖς ἔμπροσθεν, μεθέλκει πρὸς ἑαυτά· ἃ καὶ τῦ σκοπῦ τῆς προθέσεως ἀφιξᾶ, καὶ τῶν μελλόντων ἐφάπτεσθαι τὲς τότοις ἀλόντας ἀποσερεῖ. Εὐθὺς γὰρ ἐν ἀρχῇ τῦ σταδίε, ἤτοι τῦδε τῦ βίε, πάντα βρώματα καὶ πόματα ἡδονῆς ἀποπνέοντα, καὶ παιδιᾶς πρόκειται εἴδη μυρία. Μικρὸν μετὰ ταῦτα προβάντα, γυναίων πλῆθος ἀμύθητον, τῷτε Φυσικῷ καὶ τεχνητῷ κάλλει θρυπτόμενον· Ἱματίων ποικιλία, καὶ χρωμάτων εὐώδεις· μεσικῶν τε ὀργάνων ἴυγγες, καὶ ᾠδῶν Σειρῆνες, πρὸς ἑαυτὰ ἐφέλκεται καὶ δεσμεῖ. Ταῦτα παρερχομένῳ διαδέχεται χρημάτων Φιλία, κλημάτων ἔσμὸς, οἰκημάτων ματαίων κατασκαί, καὶ δόξης ἀδόξε Φροντίς· Τῷ ταῦθ' ὑπερβάντι τὰ θήρατρα, ἄνθρωποι σωσαντῶσιν ἀπ' ἐναντίας τρέχοντες τότῳ, εἰς τ' ὀπίσω χωρεῖν βιαζόμενοι, καὶ τὶ πρόθεσιν ἀνακόπτοντες· τῦ σκοπῦ ἐγγελῶντες, καὶ εἰς ἀμηχανίαν ἐμβάλλοντες, ἢ καὶ ὑποσαίνοντες ἄλως, ὑφεῖναί τῦτον τῦ δρόμε, ὡς ἀδυνάτοις ἐπιχειρήσαντα. Ἂν δὲ καὶ ἴτες ἀποσείσηται, μέλανές τινες καὶ ἄγριοι τῷ ὄντι Αἰθίοπες, ἐκπληκτικὰ ἐπαγόμενοι φόβητρα ἐπανίσανται, ἀπειλῦντες μυρία, εἰ μὴ θᾶττον ἀπόσχηται τῆς πρόσω ὁρμῆς. Ὅτι δὲ τοιῦτος ὁ βίος, καὶ τῆς ἡμέρας φανώτερον. Χρὴ ἓν τὸν σωθιῶαι προθέμενον, Παύλῳ πειθόντα τῷ Θεῷ, μήτε δεξιὰ, μήτε ἀριστερὰ νεύοντα· ἀλλὰ τοῖς μὲν ἔμπροσθεν ἐπεκτεινόμενον, τῶν δ' ὄπισθεν ἐπιλανθανόμενον, ἀπὸ φυλακῆς πρωΐας ἄχρις ἑσπέρας δραμεῖν τὰ Ὀλύμπια, πρὸς τὸν Ἀρχηγὸν καὶ τελειωτὴν τῦ δρόμε μόνον ἀποσκοπῦντα, καὶ πρὸς μηδὲν ἄλλο ἐπιστρεφόμενον τῶν ὅσα τὶν αἴσθησιν ὑποσαίνει, ἢ ἐκφοβεῖ τὶν ψυχήν.

ΚΕΦΑΛ. Λ'.

ΚΕΦΑΛ. Λ'.

Περὶ τῆς Ἱερᾶς Λειτουργίας.

Διὰ πάντων τῶν ἐν τῇ Ἱερᾷ Λειτουργίᾳ τελεμένων, καὶ τῶν ὑπὸ τὸ Ἱερέως διὰ πάσης τῆς τελετῆς πραττομένων, ἡ ἔνσαρκος Οἰκονομία σημαίνεται τὸ Σωτῆρος Χριστοῦ· καὶ ταύτης μάλιστα τὰ περὶ τὸ πάθος. Ἵνα γὰρ ἡμῖν πρὸ τῶν ὀφθαλμῶν ἅπαντα τὰς ψυχὰς ἀγιάζῃ, καὶ πρὸς τὴν τῶν ἱερῶν δώρων ὑποδοχὴν παραπέμπῃ ἐπιτηδείας, τοῦτο μὲν, ἐ λόγοις μόνον σημαινομένη, ἀλλὰ καὶ ὑπ' ὄψιν ὥσπερ προτιθεμένη· τοῦτο δὲ, καὶ πάθος ἐπαινετὸν ἡμῖν ἐντιθεῖσα, καὶ ἐ πρὸς ἄλλοτι ἐῶσα τὸν λογισμὸν τρέπεσθαι, ἕως ἐπ' αὐτὴν ἀγάγῃ τὴν φρικτὴν τράπεζαν, καθ' ἑκάστην ἅτε τελεῖσθαι νενομοθέτηται τοῖς Ἁγίοις· καὶ ὡς ἂν μηδαμῶς τῆς μεγίστης ἐκείνης εὐεργεσίας ἐπιλαθώμεθα.

Οὐκ εὐθὺς ἦν εἰς τὸ θυσιαστήριον ὁ προσαγόμενος Ἄρτος ἄγεται καὶ ὁλοκαρποῦται· ἀλλὰ πρῶτον, ὡς δῶρον ἀνατίθεται τῷ Θεῷ· ὅτι προσήγοντο μὲν θυσίαι παρὰ τῶν παλαιῶν, ζώων ἀλόγων σφαγαὶ καὶ αἵματα· προσήγοντο δὲ καὶ δῶρα, ὥσπερ τὰ χρυσᾶ σκεύη, καὶ ἀργυρᾶ· Τὸ δὲ Σῶμα τοῦ Χριστοῦ καὶ ἀμφότερα φαίνεται ἔχον. Καὶ γὰρ θυσία μὲν γέγονεν ὕστερον, ἀνέκειτο δὲ ἐξ ἀρχῆς τῷ Θεῷ, ὅτι δῶρον ἦν αὐτῷ τίμιον, καὶ ὡς προσληφθὲν ἀπαρχὴ τοῦ γένους ἡμῶν· καὶ ὅτι πρωτότοκος ἦν, καὶ τοῦτο κυρίως. Ἀλλὰ παρὰ μὲν τοῖς παλαιοῖς ἀπαρχαὶ πάντων προσήγοντο τῶν κτημάτων· ταῦτα δὲ προσάγομεν ἡμεῖς, ὡς ἀπαρχὰς ζωῆς ἀνθρωπίνης, καὶ σωτηρίας ἡμῶν. Ὁ μὲν ἓν ἀποτμηθεὶς Ἄρτος, ἕως ἂν ἐν τῇ προθέσει κῆται, Ἄρτος ἐστὶ ψιλὸς, τοῦτο μόνον λαβὼν τὸ ἀνατεθῆναι Κυρίῳ, καὶ γενέσθαι δῶρον· Ὅτε δὴ, καὶ σημαίνει τὸν Χριστὸν κατὰ τὴν ἡλικίαν ἐκείνην, ἐξ ἧς ἐγένετο δῶρον. μετὰ δὲ τὸ τελεσθῆναι ἐν τῇ Ἱερᾷ καὶ Θείᾳ Τραπέζῃ, οὐκέτι Ἄρτος, ἀλλὰ Σῶμα καθίσταται. Ταῦτα δὲ τὰ δῶρα καὶ εὐχαριστήσαντες Θεῷ ὑπὲρ ὧν εὖ πεπόνθαμεν, καὶ ἱκετεύοι-

τες ἵνα εὖ πάθωμεν, καθ' ἑκάστω προσάγομεν τιὼ ἡμέραν· ἐν οἷς τὸ πᾶν ἡ χάρις ἐργάζεται. Ὁ δ' Ἱερεὺς ὑπηρέτης μόνον ἐστὶ, καὶ ἐδ' αὐτὸ τὸ ὑπηρετεῖν οἰκοθεν ἔχων. Αἱ προφητικαὶ γὰν ῥήσεις προαδόμεναι τὰς ἀρχὰς, τιὼ αὐτῦ παρεσίαν σημαίνουσιν, ὅτε παρεγένετο μὲν, ὅπω δὲ ἐφαίνετο τοῖς πολλοῖς. Ταύτη τοι καὶ ὡς ἐκ προσώπε τῶν Προφητῶν, ἀντιφωνέντων ἀλλήλοις ἄδομεν, τὸ: » Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ· κτλ. Μετὰ δὲ τὸ » δειχθεὶν τὸ Εὐαγγέλιον παύεται μὲν τὰ Προφητικὰ, ἄδεται δὲ, ἔτι τῆς Καινῆς Διαθήκης ἐσίν. Ἡγεμιὼ εἴσοδος, ἡ ὅτω καλεμένη μεγάλη τιὼ τῦ Χριςῦ πρὸς Ἱερεσαλὴμ δηλοῖ ἔλθσιν, ὅτε καὶ ὀχέμενος εἰσήει τιὼ πόλιν, ὑπὸ πολλῶν παραπεμπόμενος, καὶ ὑμνέμενος. Τό, τε θερμὸν ὕδωρ τοῖς Μυσηρίοις ἐπεμβαλλόμενον μετὰ τιὼ τελείωσιν, τῆς τῦ Ἁγίε Πνεύματος ἐπὶ τιὼ Ἐκκλησίαν καθόδε σημαντικὸν πέφυκεν. Ὥσπερ ἄρα καὶ ἡ πρὸς τὸν λαὸν τῦ Ἱερέως μετὰ ταῦτα ἐπιςροφὴ, καὶ τῶν θώρων ἐπίδειξις, ὅτε προσφωνεῖ τὸ προσέλθετε, τιὼ δευτέραν παρεσίαν τῦ Λόγε αἰνίτλεται. Καὶ ἁπλῶς ἅμα πάντα, ἵνα μὴ λέγω καθ' ἕκασον, πάσης τῆς Θεανδρικῆς οἰκονομίας ἀνάμνησις ἐσὶν ἐναργὴς. Ἐπεὶ γὰν τοσαύτης καὶ τοιαύτης οἰκονομίας ἀρξήτε τε καὶ φρικῆε Μυσηρίε δήλωσις ἐσὶ τὰ τελέμενα, μετὰ φόβε ἐσάμεθα, καὶ μετὰ τρόμε προσέχωμεν, οἱ καταξιωθέντες τέτων μύσαι γενέσθαι καὶ κοινωνοί.

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ ὑπομονῆς.

Ὑμῖν τοῖς εἰς τὰ τέλη καταντήσασι τῶν αἰώνων, καὶ εὐσεβεῖν αἱρεμένοις, ἐν τῷ ὀνόματι τῦ ὑπὲρ τῶν κατακριτῶν ἀποθανόντος, ἰδὲ παραγγέλλομεν. Μικρὸν ὑπομείνατε ἐνθάδε χρόνον, ὡς ἂν ἐκεῖσε ἀπέραντα ἀναπαύησθε. Ἥκει γὰρ ὁ ἐρχόμενος τῦ κρῖναι πᾶσαν τιὼ γιὼ· ἔρχεται ὅσον ὅπω. Ἐγγὺς ἐσὶν ἐπὶ θύραις. Ὁ καιρὸς

καιρὸς τῆς ὑπομονῆς ὀλίγος, τῆς δὲ βασιλείας τῶν Οὐρανῶν τέλος ἐκ ἔσιν. Οὐκ ἄξια τὰ παθήματα τῦ νῦν καιρῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, Παῦλος ὁ Μέγας φησίν. Ἀφόρητοι οἱ ὀνειδισμοὶ, ἕως διὰ Χριςὸν ὑπομένετε; Ἀλλ' οἱ ἐκ τέτων πλεκόμενοι ςέφανοι ἀειθαλεῖς καὶ ὡραῖοι. Μνήσθητε τίνων ἐςὲ μιμηταὶ, καὶ συμμέτοχοι, καὶ θεαρέςως εὐφραίνεσθε. Τῶν Ἀποςόλων, τῶν Μαρτύρων, τῶν Προφητῶν· ὧν οἱ μὲν ἐδιώχθησαν, οἱ δὲ ἐλιθάσθησαν, οἱ δὲ ἐμαςίχθησαν, ἕτεροι καθείρχθησαν, ἄλλοι ἀνεπαίχθησαν, οἱ δὲ καὶ τὸ ζῆν ἀφηρέθησαν. Τέτων ἓν ὄντες μαθηταὶ καὶ ζηλωταὶ, τὰ παραπλήσια τέτοις πάσχοντες μὴ λυπεῖσθε· Οὐδὲ γὰρ ἐκεῖνοι ἐδυσχέραινον ὑπὲρ τῦ καλῦ δυσωπᾶντες· ἀλλὰ τότε ἤλγεν, ὅτε μὴ ἔπασχον ὑπὲρ ἀληθείας. Ἔχειρον δὲ καὶ ἐσκίρτων ἰνῖκα ἠξιώθησαν, παθεῖν τι ὑπὲρ τῦ Χριςῦ. Τὸ γὰρ ὑπὲρ εὐσεβείας εἰδέναι πάσχοντας ἑαυτὲς, ἐ μικρὸν αὐτοῖς εἰς ψυχαγωγίαν. Χαίρετε ἓν καὶ ὑμεῖς σὺν αὐτοῖς, καὶ σκιρτᾶτε. Ὑπὲρ γὰρ εὐσεβείας ἡ καρτερία ὑμῖν. καὶ ὅτι ἐκ ἐγκαταλιμπάνων ὑμᾶς ὁ Θεὸς παραχωρεῖ ταῖς θλίψεσι περιπίπτειν, ἀλλὰ παιδεύει προσκαίρως, ἵνα ἀπέραντα ἀναπαύσῃ. Ὡς τές γε μὴ παιδευομένες ἐν τῷ δε τῷ βίῳ, τῇ τῶν δαιμόνων παραπέμπει μερίδι, καὶ μετ' ἐκείνων καταδικάζει. Ἐν κόποις γὰρ, φησὶν, ἀνθρώπων ἐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων ἐ μασιγωθήσονται· Οἷς ὁ δίκαιος Κριτὴς τὸ νῦν ἔχον ἐδαμῶς ἐπεξέρχεται, τῇ ἐκεῖσε χαλεπωτάτῃ δίκῃ αὐτὲς ἀποταμιεύων. Φυλάσσεται γὰρ ὁ ἀσεβὴς εἰς ἡμέραν κακλῶ. Καὶ δόξα τῇ τῦ Κυρίε χρηςότητι, καὶ οἰκονομίᾳ· ὅτι συμφορώτερον ἡμῖν τοῖς αὐτῷ προσκειμένοις κρίνει, ἐνταῦθα τῶν ἡμαρτημένων δῦναι τὸν δίκλω, ἢ τῇδε τὰς θλίψεις ἀνεῖς, ὑποχρέως ἡμᾶς τῆς ἐκεῖ δίκης ἔξειν, ὅθα ἐ κολάσαι, τιμῆσαι δὲ βάλεται. Ἐπεὶ πάντως, κρεῖτον ἡμέραν μίαν τινὰ πιεθέντα θλίψεσιν, ἐ ἀνέσει τὸν ἅπαντα βίον διαγαγεῖν, ἢ κατὰ τὸ πρόχειρον ἀνέσεως ἀπολελαυκότα, τὸ ἑξῆς ἅπαν τῷ βίῳ κολάζεσθαι.

(*) Πλὴν ὃ τὸ νῦν εἶναι μόνον ἔτω Θεὸς πραγματεύεται τοῖς ὠκειωμένοις αὐτῷ τὰ πρὸς σωτηρίαν· ἀλλὰ καὶ ἐπὶ τῆς Παλαιᾶς νομοθεσίας μυρίαις ἂν εὕροιτε τὸ τότε ἐπίλεκτον Ἔθνος Θεῷ ὁμιλῆν περισάσεσι· καὶ νῦν μὲν Αἰγυπτίοις δεδεμένον, νῦν δὲ εἰς Βαβυλῶνα ἀγόμενον, καὶ δεινὰ ὑπομένον χαλεπωτάτυ. Εἶτα ὑπὸ Ἀντιόχυ τὰ ἀνήκεστα πάσχον δεινά. Ὁρῶμεν δὲ καὶ πάντας Ἁγίυς ὡς ἔφθυ εἰπὼν, μηδ' ὅτιῆν ἀναῦθα ἀπολελαυκότας χρηστῆ, ἀλλ' ἐπὶ ταῖς θλίψεσι καὶ τοῖς ἀνιαροῖς, οἷς διὰ βίυ ὡμίλισαν, περιόδυων ἔτι καὶ τὸ τέλος ἐχηκότας τῆ βίυ. Μὴ δὴ ἀποκάμητε καὶ ὑμεῖς. Ἀλλὰ φέρετε γενναίως τὰ λυπηρὰ, παρέρχεται γάρ. καὶ ἐπιφερόμενα τοῖς ἀποκειμένοις ὑμῖν ἀγαθοῖς, ἄφθαρτα γάρ. Εἰ δὲ ἀν ταῖς τῶν καιρῶν ἀνωμαλίαις ταράτῃσθε, καὶ ταῖς τῶν πραγμάτων ἀνελπίστοις μεταβολαῖς, ὡς μὴ κατὰ θέλησιν τὴν ὑμῶν γινομένοις, λογίσασθε τίνι οἰκίᾳ νομοθετεῖν βέλεσθε, καὶ τίνος Οἰκοδεσπότυ μὴ πειθαρχεῖν διατάξεσι. Καὶ ἀν οἷς τὰς αἰτίας ἀπορεῖτε τῶν γινομένων, τὰς τέτων λύσεις τῇ μελλόσῃ ζωῇ ταμιεύεσθε, καὶ ὅτε σφοδρὸς ἐπέλθοι ποθὲν πειρασμὸς, τὴν διέγερσιν τῶν ναυτίλων ἐνδείξασθε, ἵν' κἀκεῖνοι ἐν τῇ τῆς ἀνάγκης ὥρᾳ ἐνδείκνυνται. Τῶν ἱππέων, τῶν Ἰατρῶν, τῶν πολεμιστῶν· ἐκεῖνοι ἵνα σώματα διασώσωσιν. Ὑμεῖς δὲ, ἵνα τὰς ὑμετέρας ψυχάς.

ΚΕΦΑΛ. ΛΒ'.

Περὶ τῆς τῦ Κόσμυ Διαιρέσεως καὶ τῶν ἀν αὐτῷ διαφορῶν.

Εἰς τρία ὁ Κόσμος ἔτος διήρηται (**), ὧν τὸ μὲν ἄνω καὶ Οὐράνια· τὸ δὲ κάτω, καὶ Ἅδης· τὸ δὲ μέσον, καὶ ἐπίγεια λέγεται. Τέτων ὁ μὲν Οὐρανὸς, Ἀγγέλων καὶ

(*) Τέτοις προσεοικότα τινὰ εὑρήσας, κἀν τῷ ὑπὲρ τῆς Ἐνσάρκυ Οἰκονομ. Λόγ. ἐν Τόμ. Β'. Σελ. 107.

(**) Ταῦτα ἐπανείληπται καὶ ἐν Λόγῳ Α'. περὶ Συντελείας. Τόμ. Β'. Σελ. 204. 205.

καὶ Ἁγίων· τὰ δὲ καταχθόνια, δαιμόνων καὶ ἁμαρτωλῶν πέφυκεν οἴκησις· Τὰ μέντοι ἐπίγεια, κοινὸν ἁπάντων ἐστὶν ὁρμητήριον. Ὅθεν εἰ μὲν Οὐρανοῖς ἁμαρτία ἀπελήλαται πᾶσα, καὶ ἀρετὴ πολιτεύεται, καὶ θέλημα ἔν πληροῦται, τὸ τοῦ Θεοῦ· Ἐν δὲ τῷ Ἅδῃ, ἀρετὴ πᾶσα ἀπέδρα, καὶ τυραννεῖ ἁμαρτία καὶ βέλημα ἓν μόνον ἐνεργεῖται τὸ τοῦ ἐχθροῦ· Ἐν δὲ γε τῇ γῇ, ὡς μετεχέσῃ τῶν δύο ἄκρων, ἐνεργεῖται μὲν ὡς ἐπὶ τὸ πολὺ τὰ τῆς κακίας, ἔστι δ' ὅτε καὶ ἀρετῆς ἔντισι, μᾶλλον δὲ ἐν τοῖς ἅπασιν ἐπιμέλεια. Οὐδεὶς γὰρ ἀνθρώπων πάντῃ ἀμέτοχος τοῦ καλοῦ. Ὥσπερ ἄρα καὶ ἐδείς ἀναμάρτητος. Πάλιν, εἰς μὲν τὰ Οὐράνια, φῶς ἀνέσπερον φαίνει, Θεὸς ἄρχει, καὶ ἀδιάπαυστος ὕμνος τελεῖται. Εἰς ἅδδ δὲ σκότος ἀτελεύτητον περικέχυται· ἄρχων συγερώτατος δαίμων ἐστὶ, καὶ Θεοῦ λήθη μένει διωκής. Ἐν ἅδδ γὰρ, φησὶ, τίς ἐξομολογήσεταί σοι; Εἰς δὲ τὰ ἐπίγεια, ὁτὲ μὲν φῶς, ὁτὲ δὲ σκότος· καὶ τῶν μὲν, Θεὸς ἄρχει, τῶν δὲ δαίμων· καὶ οἱ μὲν Θεὸν ὑμνέουσιν, οἱ δὲ καὶ βλασφημέουσι. Καὶ ἐξ ὑπαρχῆς αὖθις ἄλλης, ἐν ἅδδ μὲν ὀδυνὴ, λύπη, αἰχμὴ, καὶ δεινὸν ἅπαν ἀφόρητον· καὶ ἐν τῇ γῇ τὸ τῆς ζωῆς ἡμῶν πλέον κόπος καὶ πόνος, ὡς γέγραπται. Ἀλλ' ἐν τῷ Οὐρανῷ ἀνάπαυσις, χαρὰ καὶ δόξα ἀμάραντος ἀναβλύζει, καὶ διαρκής.

Ὡς ἔοικε τοίνυν, ξυμπάντων ἀνθρώπων πειρατήριον καὶ δοκιμαστήριον ὁ περίγειος Κόσμος ἐστίν. Ὅτι δὲ τοῦτο ἐστὶν ἀληθὲς, καὶ τὸ μέσον εἶναι τῶν ἄκρων συμμαρτυρεῖ. Ὡς γὰρ ἐπὶ τῆς Τρυτάνης, τὰ μὲν ἄκρα ἐκ διαμέτρου ἀλλήλοις, καὶ αἱ πλάστιγγες φέρονται, τὸ δὲ μέσον ἐπίσης ἀμφοῖν ἄπεστιν· Οὕτως ἄρα καὶ ἐπὶ τοῦδε τοῦ παντὸς ἀριδηλότατον ἡ καθ' ἡμᾶς Οἰκουμένη μέσον ἐστίν· ἄκρα δὲ τοῦτο, τὸ μὲν Οὐρανὸς, τὸ δὲ Ἅδης λέγεται· εἰ καὶ ἐγγύτερος ἡμῖν Οὐρανῷ τῇ θέσει ὁ Ἅδης ἐστὶν, ὧν μεταξὺ βιοῦντες ἡμεῖς, διὰ πάσης ἡμῶν τῆς ζωῆς, πρὸς λογισμῶν, καὶ παθῶν, καὶ δαιμόνων δοκιμαζόμεθα. Ποτὲ μὲν ἐπὶ τὰ κάτω διὰ τῶνδε χωροῦντες καὶ βυθιζόμενοι· Ἔστι δ' ὅτε Ἀγγέλων χειραγωγίαις καὶ πρὸς τὰ ἄνω αἰρόμενοι·

μενοι· Πλεῖν, ἐφ' ὅσον διατρίβομεν ἐνθάδε χρόνον, ὑπὸ πλοῖ τῆ ἡμετέρας ἐξεσίας ῥοπλοῖ αἱ πλάστιγγες αὐτας κεῖνται, ὅπη, καὶ ὡς ἂν ἡμεῖς νεύσωμεν θᾶττον φερόμεναι, καὶ ταῖς τῦ ἡμετέρε θελήματος ῥοπαῖς ἑπακολεθῆσαι· κἂν μυρίοι ὦσιν οἱ ἐμποδίζοντες ἴσως, ἢ, τ' ἐναντίον, συμπράττοντες. Λοιπὸν ἕως τὸ μέσον οἰκῶμεν (*), φύγωμεν πλοῖ τῦ ἅδε σκοτόμαιναν· ἀνανεύσωμεν πρὸς πλοῖ Θείαν ἀκτῖνα· ἀναβάσεις ποιώμεθα πρὸς Οὐρανὸν, μὴ ἅδης ἡμᾶς διαδέξηται. Διὰ γὰρ πλοῖ τῆς Φύσεως ἀσθένειαν, πάντες ἄνθρωποι πολλοσημορίον τι τῦ παντὸς αἰῶνος βιῶμεν. Τετελευτήκαμεν δὲ πάντα τὸν ὕστερον χρόνον· καὶ τοῖς μὲν ἡμῶν ἐν τῷ ζῆν, μηδὲν ἀξιόλογον πράξασι, ταῖς τῶν σωμάτων ἅμα τελευταῖς, καὶ τ' ἄλλα πάντα συντελευτᾷ τὰ κατὰ τὸν βίον· τοῖς δὲ κτησαμένοις δόξαν δι' ἀρετῆς, αἱ πράξεις καὶ τὰ ὀνόματα, ἅπαντα μνημονεύονται τὸν αἰῶνα. Καλὸν ἔν οἶμαι, καὶ πάνυγε κάλλιστον τοῖς εὖ φρονῦσι, ῥεόντων πόνων ἀνταλλάξαθαι πλοῖ ἄῤῥευστον εὐφημίαν. Οὐχ ἕτω γὰρ ἀναγκαῖον ἐσὶ μεμνῆθαι τῆς προσκαίρε ζωῆς ταύτης, ἐπεὶ ζῶμεν, ὡς τὸ μεμνῆθαι τῆς ἀϊδίε· ὅτι ὅσον ἔπω, ταύτλιν, ἐκείνη ἡ ἄληκτος διαδέξεται.

ΚΕΦΑΛ. ΛΓ'.

Εἰκόνες Βίε.

Ἔοικε μετὰ τῶν ἄλλων ὁ Κόσμος ἔτος (**) Πανηγύρει, καὶ ἀγορᾷ ἀῇ πάντα χρήματα εἰς ἐμπορίαν τοῖς βελομένοις ἅπασι πρόκειται. Πάλιν, παραπλήσιος ἐσὶν ὁ τῆς ζωῆς ἡμῶν χρόνος ποταμῷ ῥέοντι, καὶ ἑδαμῶς τῷ ῥεύματος παυομένῳ, μυρία κέρδη ἐπάγοντι διαρκῶς. Ἡμεῖς δ' ἀνθρώποις παρὰ πλοῖ ὀχθιω ἑσῶσι, καὶ τὰ παραῤῥέοντα ἁρπάζεσι κέρδη, ἢ καὶ ἄλλως παροῤῥῶσιν αὐτά. Ὡς ἔν ἐκεῖ, ἂν ἡ ὥρα παρέλθῃ τῆς Πανηγύρεως, ἐκ

(*) Ὅρα ἐν τῷ Β'. Λόγῳ τῶν περὶ Συντελείας. Τόμ. Β'. Σελ. 221.

(**) Παραπλήσια ἀπαντᾷ σοι κἀν τῷ Β'. Λόγῳ τῶν περὶ Συντελείας, ἐν τῷ Β'. Τόμ. Σελ. 220. 221.

ἐκ ἔστιν ὁ πωλῶν, ἐδ' ὁ ἀγοράζων· ἕτως οὐταῦθα, εἰ παραδράμῃ τὸ κέρδος, ἀνόνητος ἡμῖν ἡ πρὸς τὸν ὄχθον ἐπιμονή. Ῥεῖ γὰρ ὁ χρόνος ἐπὶ τὰ πρόσω, καὶ ἐκ ἐκδέχεται τὸν βραδύνοντα· καὶ (ὡς) ἐκ ἔστι ῥεῦμα ποταμῷ κατὰ πρανὲς φερόμενον ἀναχαιτίσαι, ἕτω τῷ χρόνῳ τὸ ῥέον παλινοστῆσαι ἀδύνατον. Ἔτι ἀγρῷ καὶ ἀγῶνι παρόμοιος ἅπας ὁ πρόσκαιρος αἰὼν πέφυκεν ἀντικρυς· ἡμέρα δὲ μία πᾶσα ἡμῶν ἡ ἑνὸς ἑκάστου ζωή· Ἀγωνιστὰὶ μέντοι τῷ Ἀγῶνος, ἢ ἐργάται τῷδε τῷ Ἀγρῷ, πάντες ἐσμὲν οἱ χρισιανοί· Οἰκοδεσπότης δὲ, καὶ ἀγωνοθέτης Ἰησῆς ὁ Χρισός· ἐργασίας μισθὸς τοῖς ἐργάταις, καὶ νίκης ἆθλα δωρέμενος τοῖς Ἀγωνισαῖς. Ἔτι ὅμοιος ἐστὶν ἕτος ὁ Κόσμος δενδρῳ μεγάλῳ καὶ ὑψηλῷ, καρπὸν μὲν ἄλλον ἐδένα, ὀνειράτων δὲ εἴδη δύο καρποφορῶν, ἡδέα τὸ δοκεῖν, καὶ πικρά· καὶ τὰ μὲν ἐγρηγορόσι, τὰ δὲ ὑπνώτλεσιν ἐμφανίζων ἡμῖν. Καὶ δῆλον ἀντεῦθεν· Ὡς γὰρ ἐπὶ τῶν ὑπνόντων αἱ νυκλερειναὶ ὄψεις τῆς ἀκλῖνος φανείσης ἀφίπλανται· Οὕτως ἐπὶ τῶν ἐγρηγορότων αἱ μεθημερειναὶ φαντασίαι, ὁποῖαι ἂν ὦσι, τῷ ὕπνῳ ἐπιχυθέντος ἀφίπλανται, ὀλίγα τλὶ ἄἰθησιν ἐνοχλήσασαι μόνιν. Πρὸς τέτοις, φερεάτις ἐστὶν ὁ παρὼν βίος, καὶ φερεᾶς ὄντως χείρων, ὅτι ὀδώδας σιωεχεῖς καὶ μερίμνας, θλίψεις ἀλλεπαλλήλως καὶ βίας τοῖς βιῶσιν ἐπάγει, ξενοχωρῶν αὐτὲς καὶ σκοτίζων ταῖς καθ' ἑκάσλιν μεταβολαῖς, καὶ τὰς ἀὐλως τέτων ψυχὰς, ὡς εἰς τινας λάκκως δυσώδεις κατέχων τέτοις τοῖς σώμασι. Φυλακὴ γᾶν ἐστὶν ἀπαράκλητος, περὶ ἧς, οἶμαι, καὶ Δαυὶδ εὔχεται λέγων: ἐξάγαγε ἐκ φυλακῆς τλὶ ψυχλίν μὲ. κατεκρίθημεν δὲ ταύτλιν οἰκεῖν, διὰ τλὶ προπατορικλὶ, καὶ ἡμῶν ἁμαρτίαν· καὶ τὸ τῆς εἱρκλῆς ταύτης δεινότατον, ὅτι τοῖς μὴ μετ' εὐχαρισίας φέρεσι ταύτης τὰ δυσχερῆ, σκότες πάλιν αἰωνίε, Φεῦ! καθίσαται αἴτιος· οἳ καὶ ἀπὸ σκότες νηδύος μητρικῆς, εἰς σκότος προϊόντες τῷ βίῳ, εἰς τὸ ἐξώτερον αὖθις σκότος πορεύονται μετὰ θάνατον.

Εἰ τοίνιν ταῦτ' ἀληθῆ, καὶ τοιῶτος ὁ βίος, ὑπομείνωμεν τὰ τέτε δεινὰ, παρέρχεται γάρ. Μὴ πισεύσωμεν ὀνείρασιν

ἐνέρασιν αὐτῦ τοῖς ἀπατηλοῖς, μήτε τοῖς δεδίτλοσι, μήτε τοῖς σαίνεσιν. Ἐσῶτα γὰρ παρατρέχει, καὶ κρατέμενα διαφθύγει, καὶ μικρόντι ταῦτα φανέντα, εὐθὺς ἀποκρύπλεται. Ἕως ἡμέρα ἀγῶνος, καὶ καιρὸς ἐργασίας, ἐργασώμεθα καὶ ἀγωνισώμεθα, μισθῶν ἀθανάτων, καὶ ἀμαράντων στεφάνων προκειμένων ὑμῖν. Παρατρέχει ὁ χρόνος· διώξωμεν τὴν ἀρετὴν ὡς φθύγεσαν, καὶ καταλάβωμεν. Σωτηρία πωλεῖται· πρὸ τῦ τὴν Πανήγυριν λυθῆναι, ταύτην πραγματευσώμεθα. Ὅτι ὁ μὲν Κόσμος, καὶ τὰ τῦ Κόσμε πάντα, παράγεται· ὁ δὲ ποιῶν τὸ θέλημα τῦ Κυρίε μένει εἰς τὸν αἰῶνα, δεδοξασμένος, ἀείμνηστος, ἄφθαρτος.

ΚΕΦΑΛ. ΛΔ'.

Πῶς χρὴ διϊσύαν τὸν βίον ἡμῶν.

Ἀληθῶς ἄξιον καὶ δίκαιον ἐσὶ, πρέπον καὶ σωτηριῶδες, ἅπαντα χρισιανὸν, τὸν θέλοντα σωθῆναι, ταῦτα διὰ παντὸς ἐν ἑαυτῷ περισρέφειν. Ὅτι ἰδὲ ἐκ τῦ μὴ ὄντος εἰς τὸ εἶναι πρὸ μικρῦ χρόνε, πρὸς τῆς προνοίας παρήχθην· καὶ ἰδὲ γνωρίζω, καὶ ἀληθείᾳ αἰθάνομαι, ὅτι ζῶ ζωὴν παρερχομένην καὶ ῥέεσαν, καὶ ὅσον ἔπω φθάνει τὸ τέλος αἰφνήδιον, καὶ ἀναλύσαι εἰς ἑτοιμασίαν ἐκ εἶναι. Ὁδὸς γὰρ ἐσὶν ἡμῶν ἡ ζωὴ ἀμετάσρεπλος, ἀπὸ γεννήσεως ἄχρι καὶ τελευτῆς παρεκτεινομένη. Ξενοδοχεῖον (*) ἔτος ὁ Κόσμος, καὶ κατάλυμα πάντων ἀνθρώπων ἐσί· καὶ τὰ αὐτὰ τῷ πράγματα σήμερον ἡμῖν, καὶ αὔριον ἄλλων, καὶ ἀδέποτέ τινος. Καὶ λόγον ἔχω δῶναι ἔμπροσθεν πάσης τῆς Κτίσεως, περὶ πάντων τῶν εἰργασμένων μοι. Ὡς ἓν ἔχω καιρὸν, σπεδάσω εὐαρεσῆσαι Χριςῷ. Ἐν ὅσῳ αἰθήσεις κέκτημαι, δοξάσω διὰ τέτων τὸν ποιητήν. Ἕως ὑπάρχω, ἐργάσωμαι τ' ἀγαθόν· ἐφ' ὅσον κύριος εἰμὶ τῶν ἐμῶν κτημάτων, πέμψω ἐξ αὐτῶν, ὅπε χρείαν ἔξω μετὰ μικρόν· ὁ γὰρ καιρὸς ἐργασίας· ἡμέρα ἐμπορίας· κέρδες ὥρα ἐσί.

Διὸ

(*) Ἐν τῷ Β'. Λόγ. τῶν περὶ Συνετλάσας. Τόμ. Β'. Σελ. 224. 225.

Διὸ καὶ ὅταν ἴδῃ ἄλλες περὶ τὰ πρόσκαιρα σπεδάζοντας ὁ τῆς σωτηρίας ἔτος Τιὸς, ὀφείλει λέγειν αὐ ἑαυτῷ· Οὕτω σπεδάσω κἀγὼ περὶ τῶν αἰωνίων ἐκείνων καλῶν· Ὅταν ἄλλοι διηγῶνται περὶ τῆς ὧδε διατριβῆς, διηγήσομαι κἀγὼ περὶ τῆς ἐκεῖσε διαγωγῆς. Ὅταν εἰς γάμος καυχῶνται, καὶ φίλες καὶ γνωρίμες ἐκεῖνοι, καυχήσομαι καὶ αὐτὸς εἰς Θεὸν τὸν πάντων Πατέρα, εἰς Οὐρανίες Ἀγγέλες, καὶ εἰς Ἁγίες ἅπαντας. Οὗτοι γὰρ καὶ γνώριμοι, καὶ φίλοι, καὶ μέγιστον γένος ἐμοί. Πάλιν εἰ θεάσηται λειμῶνα εὐθαλῆ, καὶ κῆπον εὐώδη, ἢ παράδεισον κατάσκιον φυτοῖς, εὐθὺς τὲ τῆς Ἐδὲμ χωρίε μνηθῆναι, καὶ τὲ ξύλε τῆς ζωῆς ταυτὶ αἴτια γίνεται. Ἂν τριορόφες οἰκίας, καὶ πασάδας ἴδῃ πολυτελεῖς, ἐπὶ τὸν Οὐρανὸν ἔπεισιν αὐτῷ τλὼ διάνοιαν μεταθεῖναι, καὶ πρὸς τλὼ ἄνω Ἱερσαλὴμ τὸν νῶν ἐκεῖθεν μεταβιβᾶσαι. Ὁ μὲν τῶν γειτόνων πλέτω κομᾷ· ὁ δ' ἀπόδημος ὢν ἀναγκος ἐπανῆκε, φέρων κέρδη τὲ κεφαλαίε πολλαπλασίω· καὶ ἕτερος εὐθηνεῖται τοῖς ἐξ ἀγρῶν. Ταῦτα πάντα τλὼ τῆ σωζομένε ψυχλὼ ἐπαίρει πρὸς τὸν ἀληθῆ πλῆτον, καὶ τὸ μόνον κέρδος, καὶ τὸν ἀδάπανον θησαυρόν. καὶ τῆτον αὐτοῖς ἀμιλᾶσθαι ἐπὶ τὰ καλὰ πείθει ζήλῳ διεγειρόμενον. Ἔτι, κἂν ὁ μὲν τῶν ἀνθρώπων ζημίᾳ περιπίπτῃ, καὶ ἄλλος δυσυχίαν φέρῃ, ἔσι δ' ὃς καὶ πενίᾳ συζῇ, ὁ κατὰ Θεὸν ζῶν, καὶ ἐκ τέτων εὑρίσκεται ὠφελέμενος· μίαν γὰρ οἶδε ζημίαν χαλεπλὼ, δυσυχίαν τε ἐχάτλω, καὶ πενίαν ἄκραν, τλὼ τῆς ψυχῆς ἀπώλειαν. Καὶ ταῦτα εὐθὺς ἐξ ἐκείνων δέδοικεν. Ἀξιώματός τινος ἐξ ἀπροσεξίας, ἢ ἐπηρείας, ἐκπέπλωκέτις; τλὼ ἔκπλωσιν τῆς βασιλείας ἔτος ἀναμνηθήσεται. Εἰς φρεᾶν διὰ χρέα ἐνεβλήθη ἄλλος; τὰς ἑαυτῆ ἁμαρτίας ὡς χρέα, καὶ τὸ σκότος εὐθὺς τὸ ἐξώτερον, ὡς εἰρκλὼ ἔτος ἀναπολήσει. Τέτῳ μεγάλη ἐλευθερία τὸ δεδέσθαι Θεῷ, καὶ μεγίση δεδεμένα τὸ ὑποκύψαι πάθεσι. Τῆτον ἠχὼ σάλπιγγος, τῆς κοινῆς Ἀναςάσεως ἀκεθεῖσα ὑπομιμήσκει. καὶ Κριτῆ λεχθὲν ὄνομα, τῆς Κρίσεως ἐκείνης τῆς φοβερᾶς· θεὸς πυρὸς, εἰς ἄνοιαν ἤγαγε τῆς Γενέσης. καὶ φωνὴ πόθι-

μος,

μος, εἰς δάκρυα κατήγαγε ψυχικά· καὶ ἁπλῶς, πᾶν τὸ προσιπτον αὐτῷ, ἀβέλητον ἅμα καὶ βελητὸν, οἰκεῖον τε καὶ ἀλλότριον, ἐπωφελὲς εὐθὺς γίνεται, καὶ πρὸς τὸν σκοπὸν συνεργὸν, καὶ ὑπέκκαυμα.

Ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα, πᾶς τις σωθῆναι βελόμενος, ἀναπολεῖν ὀφείλει ὡ ἑαυτῷ, καὶ πᾶσαν τὴν κίνησιν καὶ τὴν ὁρμὴν τῆς ψυχῆς ἔχειν πρὸς τὸ σωθῆναι, καὶ πρὸς τὸν πλάσαντα μόνον ἀφορᾶν, καὶ χεῖρα βοηθείας ἐκεῖθεν αἰτεῖσθαι. Κἂν τι παρατραπῇ τῦ σκοπῦ, ἑαυτὸν εὐθὺς εἰς σωσαίθητιν ἐπανάγειν· καὶ λαβόμενος τῆς προθέσεως ἔχεσθαι πάλιν, ἄχρις ἂ παρασῇ τῷ Χριςῷ· καὶ μὴ μέλλειν, μήθ' ἁναβάλλεσθαι· τὸ γὰρ τῆς ἡμετέρας ζωῆς μέτρον βραχύτατον.

ΚΕΦΑΛ. ΛΕ'.

Ὅτι συμφέρει ἡμῖν τὸ Ὀλιγοχρόνιον.

Διὰ τῦτο (*) κατὰ τὰς ἡμετέρας γενεὰς, τὸ τῶν ἀνθρώπων γένος βραχύβιον, ἵνα μὴ μακροχρονίζον ἀπέραντα, ἢ ἀμετάγνωςα ἁμαρτάνῃ· Εἰ γὰρ εἴκοσι, ἢ τριάκοντα ἐτῶν ἔπω τις γενόμενος, πάσης κακίας μέτεισιν εἶδος· εἰ πεντακόσια ἔζησεν ἔτη, τῦ ἐκ ἂν ἐξώκειλεν ἀσεβείας; Καὶ εἰ πρὸ πάντε, καὶ δέκα ἐτῶν, τελευτώντων τῶν πλείσων, τῦ θανάτῦ ἐπιλανθάνονται οἱ λοιποὶ, εἰ τριακόσια ἔζων, πολλῷ μᾶλλον τῦ αὐτῦ ἐπιλάθοιντο· ἂθεντοι Θείᾳ προνοίᾳ καὶ τὰ πολλὰ τῶν πραγμάτων, μετὰ τὸ πειραθῆναι καὶ ἐθισθῆναι, τὸ ἀπ' αὐτῶν ἡδὺ, ἢ ὠφέλιμον, προσκορῆ γίνεται τοῖς ἀνθρώποις. Καὶ ὅσα νηπίοις ἔσι σφίσιν αὐτοῖς ἡδύτατα φαίνεται, προϊοῦσιν εἰς Ἄνδρας ἐκέτι τοιαῦτα δοκεῖ, ἀλλὰ τῷ χρόνῳ ἀεὶ συμμαραίνεται ἡ ἡδονοποιὸς αὐτῶν Φαντασία· τὸ μὲν, ὡς ἔφθιν εἰπὼν διὰ τὴν πεῖραν καὶ τὴν σωσθεῖαν· τὸ δ', ὡς τῆς χαροποιῦ δυνάμεως σκεδαννυμένης τοῖς τῦτο

(*) Τὰ αὐτὰ ἀναγινώσκεται καὶ ἐν τῷ περὶ τῆς ἡμῶν πίστεως Λόγῳ, ἐν τῷ Β'. Τόμ. Σελ. 38.

τῆτο πάσχεσι· καὶ προσέτι διὰ τὸν τῶν παθῶν πληθυσμόν. Τοιγάρτοι καὶ ὁ Κόσμος τῆτῳ τῷ λόγῳ τοῖς καθ' ἡμᾶς μάλισα Φορτικὸς εἶναι δοκεῖ· καὶ τοῖς γέρασιν ἄχθος μὲν τὸ ζῆν, καὶ τὰ ἐν χερσὶν· τὰ δὲ ἐν νεότητι, ἥδιστος μνήμη. Καὶ ἁπλῶς ἀεὶ ἅπερ ἔχομεν, καὶ τὰ πέρυσι βελτίω. Ταύτητοι καὶ ἐδὲν ξένον, εἰ πάντα ἄνω καὶ κάτω τὰ νῦν. Εἰ γὰρ μὴ ἀκολέθως ἔτω συνέπιπλεν, ἀΐδιος ἂν ἔδοξεν ὁ Κόσμος εἶναι πολλοῖς. Ὅτι δὲ τῆτο ἐσὶν ἀληθὲς, μαρτυρῆμεν τοῖς τρόποις ἡμῖν, ἔτω ζῶντες, ὡς ἀεὶ βιωσόμενοι, καὶ φθορᾶ μηδαμῶς ὑποκείμενοι. Καὶ ταῦτα μήπω πεντηκοσὸν οἱ πολλοὶ παρελάσαντες ἔτος, καὶ μυρίοις ὁσημέραι συνέμενοι πάθεσι, καὶ τὸν κοινὸν ὀλετῆρα τὸν θάνατον καθ' ἑκάσλιω βλέποντες ὀφθαλμοφανῶς. Εἰ γὰν ἔτω παντοίως φθειρόμενοι, οἰόμεθα καὶ αἱρέμεθα ζῆν ὡς ἀΐδιοι τέως· ὥσε καὶ πολλὰς ἡμῶν τῶν ἐφημέρων, Θεὰς ἑαυτὰς νομίσαι καὶ ἐξειπεῖν, καὶ τῆς ἀπάτης ταύτης πολλοῖς μεταδῶναι· χολῇ γ' ἂν ἐπὶ τῆς ὁλικῆς τῶν πραγμάτων φύσεως, εἰ μὴ καθ' ἑκάσλιω ῥοπλὼ ἠλλοιῆτο, καὶ μάλις' ἐπὶ τῷ τέλει τῶν χρόνων, ἀϊδιότητα ταύτης καὶ ὑπωπλῶσαμεν, καὶ διεβεβαιώμεθα οἱ πολοί.

Ἐπεὶ δὲ τοῖς ἐχολακόσιν ἐν τέτῳ τὸν νῶν, Ἀνδρὸς βίῳ ἑπλὰ μεθηλικιώσεσι τρεπομένῳ, τῶν ἀσάτων τέτων ἐτῶν ἡ ἑβδομὰς τῶν χιλιάδων εἰκάζεται· καθάπερ ἐκεῖ ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ πολὺ τὸ ἀνόητον καὶ μωρὸν, καὶ ἐν τῇ ὑσέρᾳ πολλῷ τὸν κλόνον καὶ τλῷ σωοχλῷ συμπίπλειν εἰκὸς, ἀναλόγως δεῖ κἀνταῦθα συμβαίνειν. Ὅθεν ἄντικρυς περὶ τὰ μέσα ταύτης γε τῆς ἑπτάδος, πολλοὶ καὶ πλέσιοι, καὶ ἀνδρεῖοι, καὶ σοφοὶ ἐφάνησαν ἄνδρες· κατὰ δὲ τὰ τέλη τ' ἐναντίον ἅπαν, ὀλίγοι, πλωχοὶ, δειλοὶ, ἀγενεῖς, καὶ μωροὶ τὰ πολλά. Καὶ τὰ περὶ ἡμᾶς δὲ νῦν, ἔντε ποσότητι, καὶ τάξει, καὶ πηλικότητι, τ' αὐτὸν πάσχει χεδὸν ἅπαντα. Ἀμέλει καὶ τὰ τῆς γεωργίας, πλεῖσα μὲν σπείρεται καὶ φυτεύεται, ὀλίγα δὲ τελεσιεργεῖται· Τῶν τε παντοίων ζώων, ἐνύδρων, ἀερίων, καὶ χερσαίων τὸ πλῆθος εἰς ὀλιγότητα περιέση. Καὶ αὐτὴ ἡ κατὰ

φύσιν τῶν πραγμάτων προχώρησις· καὶ πάντα, ὡς ἡμῖν μὲν δοκεῖ, ἐπὶ τὸ χεῖρον ἀντέστραπται· ὡς δὲ τῇ τὰ πάντα διεξαγούσῃ προνοίᾳ, ἐπὶ τὸ βέλτιον ἄρα, εἰ καὶ τιὼ ἡμετέραν διάνοιαν ὑπερβαίνει τῆς τότων οἰκονομίας ὁ λόγος. Οὐδὲν ἓν ξένον, ἀλλὰ καὶ λίαν σύμφωνον, καὶ συμφέρον ἡμῖν, ἡ τῶν προσκαίρων ἀλλοίωσις προζενεῖ. Ἵνα γὰρ μὴ ἀΐδια, τὰ ἐφήμερα· καὶ Θεῖα, τὰ ἀνθρώπινα· καὶ πόῤῥωπε τῆς Σιωτελείας ὁ καιρὸς νομισθῇ· καὶ ἡμεῖς ἀπολώμεθα, οἱ τὰ μὴ ὄντα, ὡς ὄντα δοξάζοντες, ταῦτα πρὸς τῆς παντοτίε προνοίας οἰκονομεῖται. Λέγω δὴ, ὅσα ἐχ ἡμέτερα ἔργα, καὶ ἐκ ἐφ' ἡμῖν ἔτω καλέμενα. Ἐν οἷς χρεία νήψεως διλωκεῦς, καὶ καρτερίας ἄκρας· τῶν δὲ ἐφ' ἡμῖν, ἄλλος λόγος.

ΚΕΦΑΛ. ΛΞ'.

Περὶ Ἀναβάσεως Ἀρετῶν, καὶ κακιῶν Καταβάσεως.

Οὐ μόνον πᾶσαι αἱ Ἀρεταὶ εἰς ἕν ἀθροισθεῖσαι, μιᾶς Κλίμακος ἀποτελοῦσιν εἰκόνα, ἀλλὰ καὶ τέτων ἑκάστη χωρὶς, Κλίμακι ἔοικέτινι, καὶ ἀνόδῳ· ὅτι ἀπὸ τῆς γῆς τὸν μετιόντα ταύτιω ἄνθρωπον μεθιστῶσα καὶ τῶν γηΐνων, πρὸς Οὐρανὸν μεταβιβάζει καὶ τὰ Οὐράνια. Οὐμιὼ ἀλλὰ καὶ ἑκάστη τῶν κακιῶν ὡσαύτως, ὥσπερ τισὶ βαθμίσι σιωτιθεμένη τοῖς ἑαυτῆς μέρεσι, κλίμακι ὁμοιῆται καταβιβαζέσῃ εἰς Ἅιδε τὸν αὐτιὼ μετερχόμενον. Μᾶλλον δὲ, μία τις καὶ ἡ αὐτὴ ἐσὶ κλίμαξ ἀρετῆς καὶ κακίας, εἰ καὶ παράδοξον τὸ λεγόμενον· ἀπὸ τῶν ἀνωτάτω τῦ Οὐρανῦ ἀρχομένη, καὶ καταχθονίων ἄχρι διικνεμένη, ἧς τὸ μέσον ἡ γῆ· καὶ δῆλον ἐκ τῶν ἑξῆς.

Σωφροσύνη λέγεται ἅπασα ἡ περὶ τὰ σώματα πολύτροπος ἐγκράτεια, καὶ ἡ περὶ ταύτιω σπουδὴ, ἣ καὶ πόνε δεῖται πολλῦ, καὶ ἀγρυπνίας διλωκεῦς πρὸς τὸ κατορθωθῆναι. Βιασῶν γάρ ἐσί· Τοίνυν ὁ θέλων ταύτιω ἀναβῆναι, ὡς ἐν εἰκόνι, τιὼ κλίμακα· ἤτοι ἐναργῶς πρᾶξαι τιω

τὴν δὲ τὴν ἀρετὴν, πρῶτον ἀπέχεται τῆς κατ' ἐνέργειαν ἁμαρτίας· αὕτη πρώτη βαθμὶς ἀναβάσεως· ἔπειτα ἐπαφῶν, καὶ ἀσέμνων περιπλοκῶν· αὕτη δευτέρα, ἰδού· Εἶτα καὶ ἀποχὴν ἠθῶν καὶ χημάτων ποιεῖται θυμελικῶν· Αὕτη γε τρίτη. Εἶτα καθεξῆς λόγων Ἐρωτικῶν, καὶ παρῳδῶν θεοσυγῶν· Ἔτι δὲ ἀσμάτων καὶ νόμων ἄρνησιν ἀπεργάζεται παντελῆ. Προκόπλων δὲ εἰσέπειτα ἐπὶ τὰ καλὰ, λογισμὲς ἀπρεπεῖς ἀπωθεῖται· σιωδοισμές τε καὶ προσβολὰς ἀποκρέεται, καὶ πρὸς αὐτὴν λοιπὸν ἀποδύεται τὴν τῶν ὀνείρων φαντασίαν, καὶ τὸν ἁπλῶς παραρρῖπισμόν· καὶ ἕτω τῇ πανθενεῖ χειρὶ δωμαίμενος, εἰς τὴν ἀνωτάτω βαθμίδα τῆς ἀρετῆς ταύτης ἄνεισιν. Ἀλλ' ἰῶ ἔτος ἔχε κορυφὴν ἀναβάσεως, ταύτην ἄρ' ὁ κατιὼν ἀρχὴν κέκληται καταβάσεως. Πρῶτα μὲν φαντασίαις νυκτερειναῖς ἐκθαμβέμενος· ἔπειτα προσβολαῖς μεθημεριναῖς ἀπατώμενος· Συγκαταθέσεσι μετὰ ταῦτα προσπίπτων· εἶτα λογισμοῖς ἐξελκόμενος, καὶ νόμασιν ἀσέμνοις δελεαζόμενος· Συχναῖς παρόδοις μετὰ τοῦτο· λόγοις ἀτόποις, καὶ ἐπαφαῖς τὸ μετέπειτα· τὴν ἀρετὴν προδιδὰς, ἢ τῇ κακίᾳ δελέμενος, ἕως ἂν εἰς τὸ κατώτατον τῆς κακίας, ἤτοι τὴν πρᾶξιν, χωρήσῃ· καὶ ἁπλῶς ἰῶ ὁ Σώφρων ἀνοδον πρὸς Οὐρανὲς ἐποιεῖτο, αὐτὴν ταύτην ἀνάπαλιν τὴν πορείαν, κάθοδον εἰς πέταυρον Ἅδε, ὁ ἀκόλαστος ποιεῖται, προδήλως ἑαυτὸν ἀπολύς

Αὐτὰ μέντοι, μᾶλλον δὲ παραπλήσια, καὶ ἐπὶ τῶν λοιπῶν Ἀρετῶν καὶ κακιῶν, καὶ τῶν ταύταις χρωμένων ἀπαραλλάκτως συμβαίνοντα ἐστὶν ἰδεῖν. Ἀμέλει καὶ κολάσεων ἐν Ἅδε διαφορὰς, καὶ πολλὰς μονὰς παρὰ τῷ Σωτῆρι πεφύκασιν, ὡς ἐ πάντων τῶν σωζομένων, ἢ τῶν ἀπολυμένων, ἐν ταῖς αὐταῖς ἀναβάσεσιν, ἢ καταβάσεσι τῆς κλίμακος ἐν τῇ τελευτῇ φθανομένων. Ὁ μὲν γὰρ ἐν μέσοις τυχὸν, ὁ δ' ἐν ἄκροις εὑρίσκεται· ἐν οἷς καὶ τὴν κρίσιν ἐνδικώτατα φέρει πρὸς τὸ δικαίῳ Κριτῇ. Πλὴν, ἐπεὶ πολλαὶ Κλίμακες ἀρετῶν, εἰμήτις φθάνει πάσας ὑπερβῆναι ῥᾳδίως, μίαν τινὰ τῶν αὐτῶν ἐκλεξάμενος, καὶ

ταύτης τὰ μέρη ὡς βαθμίδας ἐκθέμενος, μίαν ἐκ τέτων λοιπὸν ἐργαζέσθω πρὸς Θεὸν τλὴ ἀνάβασιν.

ΚΕΦΑΛ. ΛΖ'.

Περὶ τῆς ἡμετέρας Διαπλάσεως, καὶ Γεννήσεως τῆς πνευματικῆς.

Δύο ἐγκυμονήσεις οἶδα, καὶ δύο γεννήσεις ἀνθρώπε, ὥσπερ δύο ζωὰς, καὶ δύο κόσμες ἑτοιμαθέντας αὐτῷ. Ἀλλ' ἡ μὲν τέτων σαρκικὴ καὶ φθαρτὴ, ἡ δὲ πνευματικὴ, καὶ ἄφθαρτος ἐστίν· Ἐγκυμονεῖται γὰρ ὁ ἄνθρωπος φυσικῶς ἐν κοιλίᾳ μητρικῇ, καὶ διαπλάττεται ἐχ ὡς θέλει· ἀλλ' ὡς ἂν ἡ φύσις αὐτὸν ἐκεῖ διαπλάσῃ, λόγοις ἀῤῥήτοις τελεσφορέμενος. Ἔστι δ' ὅτε καὶ ἀτελεσιέργητος, ἢ καὶ πεπηρωμένός τι τῶν μελῶν πρόεισιν· ὅ καὶ διὰ πάσης αὐτῷ τῆς ζωῆς αἶχος προξενεῖν οἶδε, καὶ ζημίαν διαρκῆ καὶ ἀνίατον. Ἐγκυμονεῖται μέν τοι καὶ προαιρετικῶς ἐν τῷ κόσμῳ, καὶ αὐτὸς ἑαυτὸν εὐτέχνως διαμορφοῖ, ἢ καὶ σωτρίβει ἐλεεινῶς· ὢ τῦ πλώματος! Ἀλλὰ περὶ μὲν ταύτης τῆς πρώτης καὶ φυσικῆς διαπλάσεως, ἐδὲν ἡμῖν μέλει· ὡς γὰρ οἶδεν ἡ φύσις, ἤ ὁ τῆς φύσεως Πλάστης, αὕτη ἀποτελεῖται· ἂν μήτι γένηται ἐμποδών· Περὶ δὲ τῆς δευτέρας καὶ προαιρετικῆς, ὑπὲρ ἧς καὶ ὁ τῦ Κεφαλαίε σκοπὸς, πολὺς ἡμῖν ὁ λόγος· Καὶ δὴ λέγωμεν περὶ ταύτης.

(*) Νόμισον κοιλίαν εἶναι τινὰ μητρικὴν ἅπαντα τὸν περίγειον Κόσμον· Βρέφη δὲ, τὰ διαπλατόμενα ἐν αὐτῷ, ὡς ἑκάστῳ προαίρεσις, καὶ κατ' οἰκείαν θέλησιν τελεσιεργέμενα, πάντας τὲς ἔτι ζῶντας ἀνθρώπες. Ἐνεαέμηνον δὲ χρόνον, πάντα τὸν τῆς ζωῆς ἡμῶν δίαυλον. Κόσμον δὲ ἄλλον εἰς ὃν πρείμεν, καὶ γεννώμεθα, καὶ βιῶμεν ἀπέραντα, τὸν μέλλοντα ἐκεῖνον αἰῶνα. Ὡς ἕνεκαεος ἡμῶν βέλεται, ἔτως ἑαυτὸν διαπλάττει καὶ διαρθροῖ, πλάσιν

(*) Ὅρα τὰ αὐτὰ καὶ ἐν τῷ Α'. Λόγ. τῶν περὶ Συντελείας. Τόμ. Β'. Σελ. 203. 204.

πλάσιν ἀρίστιν, καὶ μορφὴν ἀξιέραστον, ἢ τ' ἐναντίον διάπλασιν αἴσχιστον, καὶ μορφὴν ἀειδῆ καὶ ἀμόρφωτον, ὡς καὶ τέρας γεννᾶσθαι, καὶ μένειν ἐξῆς δακρύων ἄξιον θέαμα. Ἀλλ' ἵνα τέως καλῶς ἑαυτὸς πλάττειν μάθωμεν, ἀκέσωμεν τῆ ἀρχιτεχνίτε καὶ πλάστε Χριστῆ, ταύτην ἡμᾶς διδάσκοντος, τὴν πλαστεργικήν· Καὶ σκεψώμεθα μετὰ ἀκριβείας, τί περὶ ταύτης φησί· μᾶλλον δὲ, πῶς ὁ Λόγος ὁ Παντεργέτης ἑρμηνεύει τὲς αὐτῷ πειθομένες μεταποιεῖσθαι καὶ ἀναπλάττεσθαι. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· Αὕτη ἀρχὴ, καὶ κεφαλὴ τῆς νοητῆς διαπλάσεως· Μακάριοι οἱ πενθοῦντες· Ταῦτα τὰ ὄμματα· Μακάριοι οἱ ἀκέοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν· Ἰδοὺ τὰ ὦτα. Μακάριοι οἱ πραεῖς· Ὁρᾶς ῥῖνα εὔθετον; Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· Τοῦτο τὸ στόμα· Εἶδες κεφαλὴν, καὶ πρόσωπον ὡραῖον ἐπιπρέπον αὐτῇ; Θέασαι δὴ καὶ τὰ ὑπὸ ταύτην εὐπρεπῶς ἁρμοττόμενα μέρη τοῦ σώματος. Μακάριοι οἱ ἐλεήμονες· Αὗται αἱ χεῖρες· Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· Τοῦτο στῆθος. Μακάριοι οἱ εἰρηνοποιοὶ· ἥδε ὀσφύς. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· Ἰδοὺ οἱ πόδες· Ταῦτα τὰ καίρια μέρη, τῇ προῤῥηθείσῃ κεφαλῇ κάλλιστα ἐπιπρέποντα· Αὕτη ἡ διάπλασις ἐκείνων τῶν νηπίων.

Ἀλλ' ἴδωμεν εἰς τί σωτελεῖ τὰ ἔτω πλασθέντα μέρη, καὶ ἐπὶ τίνι χρήσιμα. Ἐκ τῆς αὐτῆς ὀψώμεθα περιωπῆς· Ὁ γὰρ τῆς τέχνης ταύτης παρεχόμενος καὶ Διδάσκαλος, αὐτὸς καὶ τὸ χρήσιμον ἡμῖν τῶν τοιούτων μερῶν διαῤῥήδην ἐκτίθεται· λέγων· ὅτι ταύτης τῆς Κεφαλῆς ἐστὶν ἡ Βασιλεία τῶν Οὐρανῶν· Οὗτοι οἱ ὀφθαλμοὶ, παρακληθήσονται, σὺν θέᾳ φωτὸς ἀνεσπέρε. Ταῦτα τὰ ὦτα, ἀκέσονται· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν Βασιλείαν ἀπὸ καταβολῆς Κόσμου· Αὕτη ἡ ὄσφρησις, κληρονομήσει τὴν γῆν τῶν πραέων, καὶ τὰ τοῦ Παραδείσου ἄνθεα ὀσφρανθήσεται. Τοῦτο τὸ στόμα, φάγεται ἄρτον, καὶ καινὸν ποτήριον

τήριον πίεται, ἐν τῇ τῦ Θεῦ Βασιλείᾳ. Τῦτο τὸ πρόσωπον, ἐν ἡμέρᾳ τῆς Κρίσεως λάμψει ὡς ὁ Ἥλιος ἄδυτα. Αὗται αἱ χεῖρες, ἐλεηθήσονται, ἐφαψάμεναι τῦ ξύλυ τῆς ζωῆς. Αὕτη ἡ καρδία, τὸν Κύριον, ἐκ ἐν αἰνίγμασιν, ἀλλ' ἐν ἐσόπτροις, πρόσωπον δὲ πρὸς πρόσωπον ὄψεται. Αὕτη ἡ ὀσφὺς, εἰρλίλω περιζώσεται διλωσκῆ καὶ ἀνέκφρασον. Οὗτοι οἱ πόδες, εἰς ἕδαφος τὸν ἀνωτάτω ἕξουσιν Οὐρανόν.

Ἔμαθες τλὼ σαυτῦ Πλασεργικιλύ; ἔιδες ἑποῖα τὰ ὁλόκληρα μέρη; ἐσκέψω τύτων τὸ χρήσιμον; Δεῦρο δὴ θέασαι καὶ τῶν μὴ πλασεργέντων, ἢ ἀσοχέντων ἑαυτὸς, τλὼ ζημίαν. Ἀλλὰ τίς διηγήσεται ταύτλω ὅση, καὶ οἵα; Ὅτι μετὰ τῆς τῶν ξυμπάντων ἀγαθῶν ςερήσεως, ἐκπίπλθσι τῆς Βασιλείας· κλαίσιν ἄπαυσα· βρύχσι τὲς ὀδόντας· σκότος ἐξώτερον ἐπενδύονται· ςονοχωρῆνται εἱρκλαῖς· Πῦρ γεέννης κληρονομῆσι· μετὰ δαιμόνων καταδικάζονται· σκώληκι παραδίδονται ἀκοιμήτῳ· δεσμοῖς ἀλύτοις συσφίγγονται· καὶ ὡς ἄχρηςοι πάντη πόρρω ῥιπίζονται ζωῆς, καὶ κόσμυ, καὶ τῦ Θεῦ. Ἐπὰ ἂν ἑαυτοῖς προσέχοντες, τοσαύτης χάριτος ἀξιώμεθα· καὶ τοιαύτη ἔπεται τοῖς ῥαθυμῆσι ζημία, καὶ ἀφόρητοι βάσανοι, καὶ τοσαῦτα (δεινὰ) μένυσιν ἐκεῖ τὲς ἀνετοίμες καὶ δυσυχεῖς· ἕως ἔτι κατεχόμεθα ἐν τῇ μητρώᾳ ταύτῃ νηδύϊ, εὐτέχνως διαμορφώσωμεν ἑαυτὲς· τελεσιεργήσωμεν. διαρθρώσωμεν πρὸ γεννήσεως· Μετὰ γὰρ ταύτλω, ἐκ ἔςιν ἔτι διάπλασις.

ΚΕΦΑΛ. ΛΗ'.

Ὅτι ἐδὲν τῶν ἐν τῷ Κόσμῳ ἡμέτερον.

Σιώπετε πάντες, εἰ καὶ μὴ πρὸ τῦ· Ὅτι ὅσων ἄρχειν δοκῶμεν, ἐδὲν ἡμέτερον ἐςίν. Εἰσὶ μέντοι τὰ λεγόμενα ἡμέτερα, ταῦτα χεδόν· Ψυχὴ, Σῶμα, Πλῆτος, Δόξα, Νεότης, Δυνάμις, Βρώματα, χρήματα, θελήματα, καὶ ἐνδύματα, κτήματα, Κτίσις, Οἰκίαι,

κίαι, καὶ τὰ ἐν αὐταῖς χρειώδη· Τέκνα, καὶ Δῶλοι, Συγγενεῖς, Φίλοι, Τέχναι, καὶ Ἀρεταί· Ῥῶσις αἰσθήσεων, καὶ Ὁλοκληρία σὺν ὑγιείᾳ μερῶν τῶν τῦ Σώματος· Ἀξιώματα Κόσμε, ἢ Ἐκκλησίας· Μαθήματα καὶ Γνῶσις· Πίστις ὀρθὴ, καὶ Διδασκαλία· Εὐτυχία τε σὺν τέτοις, καὶ Εὐθυμία· Ταῦτα δήπε, καὶ Τάλαντα πιστεύομενα παρὰ Θεῦ τοῖς ἀνθρώποις εἶδε καλεῖν ἡ Γραφή. Εἴτις ἓν τέτων πόντε, ἢ πλείω, ἢ καὶ πάντα κλησάμενος, ὡς Δεσποτικὰ οἰκονομεῖ, ἀλλ' ἐχ ὡς ἴδια σφετερίζεται, πολλαπλασίω ταῦθ' ὡς ἄριστος οἰκονόμος ποιεῖ καὶ Δῶλος ἀγαθὸς καὶ πιστὸς ἀπέδει, καὶ εἰς τλὺ χαρὰν τῦ Κυρίε εἰσέρχεται· Ἀλλ' ἐγγυτέρω διὰ σαφηνείαν βάλωμεν τῦ σκοπῦ.

Ἐπνεῦσεν ἡμῖν ὁ Θεὸς ψυχλὺ, ἐχ ἵνα τοῖς σωματικοῖς ὑποκύπλῃ πάθεσι, καὶ καθέλκηται, ἀλλ' ἵνα πρὸς τὸν πνεύσαντα αὐτλὺ ἀνανεύῃ· καὶ ὅθεν προῆλθεν, ὁρᾷ· καὶ ὅλῃ ὅλω τέτῳ σὼται δι' ἀναβάσεως. Ἔπλασεν ἡμῖν Σῶμα, ἐχ ἵν' ἑαυτῷ ὑπηρετῇ, ἀλλ' ἵν' ἐν τοῖς κρείτλοσι βελεύῃ τῇ ψυχῇ· Ἔδωκε πλῆτον, ἵν' ὅπε μέλλομεν ἀπελθεῖν ὅσον ἔπω, προπέμψαντες αὐτὸν, κἀνταῦθα κἀκεῖ πλέσιοι ὦμεν αἰώνιοι. Δόξαν ἐχαρίσατο πρὸς καιρὸν, ἵν' ὡς δοξάζων ἡμᾶς, ἀντιδοξασθεὶς παρ' ἡμῶν, καὶ ἀκήρατον δόξαν παράσχηται. Νεότητα δέδωκεν, ἵν' ἐν τῷ καιρῷ ταύτης ἐργασάμενοι τὰ καλὰ, εὐπραγήσωμεν ἐν τῷ γήρᾳ· Δυάμιν, ἵνα τοῖς ἀδυνάτοις ὀρέγοντες χεῖρα, μὴ μάτλω κλᾶσθαι ταύτλω προσμαρτυρήσωμεν. Χρήματα καὶ Βρώματα, πεινώντων ἄλλων καὶ δεομένων, παρέχειν ἡμῖν, ἵνα τὰ μὲν τοῖς πεινῶσι, τὰ δὲ τοῖς δεομένοις παρέχοντες, πολλαπλᾶ ἀνθ' ἁπλῶν ἐργασώμεθα. Θελήματα μέντοι, καὶ ἐνδύματα, ὡς τὰ μὲν τῷ Θεῷ, τὰ δὲ τοῖς πένησι δόντες, χαρὰν διαρκῆ, καὶ ἀγαλλιάσεως ἔνδυμα εὕρωμεν. Κτήμασι πάλιν, καὶ Κτλύσιν ἐπλέτησεν ἡμᾶς, ἵν' ὡς ἐκείνων τὰ μὲν ὑπηρετῇ καὶ σπέπει, τὰ δ' ἡμᾶς καὶ τρέφει καὶ τέρπει, ἕτω καὶ ἡμεῖς τῷ πλετίσαντι καὶ ὑπηρετήσωμεν ὡς δῶλοι, καὶ καρποφορήσωμεν ὡς γεώρ-

για. Οἰκίαν παρέχετο, καὶ τὰ ἀ αὐτῇ χρειώδη, ὥσε πρὸς τὰς μονὰς ἐκείνας τὰς αἰωνίες, καὶ τὰ ἀ αὐταῖς ἀποκείμενας ἐκ τέτων ἀναβιβάζειν τὸν νῶν. Τέκνοις ἡμᾶς καὶ δέλοις περιεσοίχισεν, ἵνα τὲς μὲ πρὸς τὸν Φύσει Δεσπότιν, τὰ δὲ πρὸς τὸν χάριτι Πατέρα παιδεύωμεν ἀφορᾷν· συγγενεῖς καὶ φίλες κατέςησεν ἡμῖν, ἵνα τὲς μὲ ὡς συγγενεῖς, τὲς δ' ὡς φίλες φιλῶντες, τιμῶ Βασιλίδα τῶν ἀρετῶν, τιμῶ ἀγάπην, ὥσπερ τινα Φυσικὴν ἀρετὴν παιδεύσωμεν. Τέχνας τῷ σώματι μετέρχεθαι, καὶ ἀρετὰς ἐργάζεθαι ἰχνῶ ἐχαρίσατο τῇ ψυχῇ, ὡς ταῖς μὲ τὲς ἀτεχνεῖς ἐπὶ τὰ χρήσιμα, ταῖς δὲ, τὲς ἀμελεῖς ἕλκωμεν ἐπὶ τὰ καλά. Ῥῶσιν αὖθις αἰθήσεων, καὶ ὑγιείαν μελῶν ἐδωρήσατο, ὡς διὰ μὲ τῶν, τοῖς πηρωθεῖσι τι μέλος ἀρήγωμεν· διὰ δὲ τῶν, τοῖς ἀθενέσιν ὑπηρετῶμεν Φιλοσεβῶς. Καὶ τὲς μὲν ἡμῶν κατεκόμησεν ἀξιώμασι Κόσμε, ἵνα τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις ἀδικεμένοις σωηγορῶμεν· τὲς δὲ χαρίσμασιν Ἐκκλησιασικοῖς, καὶ Ἱερατικαῖς ἀξίαις ἐπλέτισεν, ἵν' ἀ καθαρῷ σωειδότι λειτεργίαν Ἁγίαν προσκαίρως Θεῷ λειτεργήσαντες, ἀξιωθῶμεν ταύτης καὶ αἰωνίως. Ἔτι μαθήμασιν ἐτίμησεν σὺς ἡμῶν, ἵνα τὲς ἀμαθεῖς μανθάνωμεν τὰ καλὰ, καὶ τὸν νῶν αὐτῶν ἐπὶ τὰ Θεῖα ἀνάγωμεν. Ἑτέρες γνώσει ἐποίκιλε, καὶ παιδεύσει ἐλάμπρυνεν ὥσε τὲς ἀπαιδεύτες παιδεῦσαι, καὶ τὲς ἀγνοῦντας τὸ δέον, εἰς γνῶσιν ἄγειν αὐτῷ. Πίσει ὀρθῇ, καὶ Διδασκαλίας χαρίσμασιν σὺς ἐκόσμησεν, ἵνα διὰ μὲ τῶν ἔργων τῆς πίσεως, τὲς ἀπίσες εἰς θεογνωσίαν ἀνάγωμεν· διὰ δὲ τῶν τῆς διδασκαλίας λόγων, πρὸς ἀρετὴν τὲς πισὲς ἐρεθίζωμεν. Εἰ βέλει δὲ, τῷ μὲ λόγῳ τὲς ἀπίσες, τῷ δὲ ἔργῳ τὲς πισὲς, ἢ καὶ δι' ἀμφοῖν ἅπαντας πρὸς Θεὸν ἐπισρέφωμεν. Εὐτυχία τε πάλιν, καὶ εὐθυμία πολλὲς πολλάκις ἡμῶν ἐπιτέρπει, ἵνα καὶ ἡμεῖς, τές τε δυσυχεῖντας, καὶ τὲς ἀθυμοῦντας παραμυθώμεθα· Ὥσε ἐδὲν, ὧν ἔχειν δοκοῦμεν, ἡμέτερον ἐςὶν, ἤτε παρ' ἡμῶν κατορθῶται, εἰ καὶ δοκεῖ· ἔδ' ἡμῶν χάριν δέδοται μόνον. Οὔτε διὰ τὸ μεῖναι ὅσον ἐδόθη, πρὸς τῆς προνοίας κεχάρισται· Ἀλλὰ

πᾶν,

πᾶν, ὁποῖον ἄν ᾖ, Θεῷ τῷ παροχέως ἐστί, καὶ πλὴν αὐτῷ ἐ τελεῖται, καὶ πάντων ἕνεκα δέδοται. καὶ τῷ πολλαπλασιαθῆναι πάντως, ὡς δέδεικται.

Οὐκοῦν εἴτις τὰ Δεσποτικὰ κατέχει ὡς ἴδια, καὶ ἑαυτῷ τίνι τέτων κατόρθωσιν ἐπιγράφει, καὶ τοῖς κοινοῖς ὡς ἰδίοις ἐγκαλωπίζεται, καὶ τὰ δωράμενα πληθυνθῆναι μοναπλᾶ φυλάττει, ὡς Φειδωλὸς, πονηρὸς δῆλος καὶ " ὀκνηρὸς, μάλα εἰκότως ἀκέει· καὶ, ἆρατε ἀπ' αὐτῷ τὸ " τάλαντον· ἤτοι χάρισμα τὸ Θεόσδοτον· καὶ τότε διχοτομεῖται, καὶ τὸ μέρος αὐτῷ μετὰ τῶν ὑποκριτῶν τίθε- " ται. Καὶ χεῖρας, καὶ πόδας δεσμεῖται δικαίως, καὶ εἰς " σκότος ἐμβάλλεται τὸ ἐξώτερον· καὶ κλαυθμὸν ἀπαρέκλητον, καὶ βρυγμὸν ὀδόντων κληρονομεῖ. Ἀνθ' ὧν τὰς Θείας εὐεργεσίας σιωπέναι ἐκ ἠβελήθη· Ἐπεργαξέον ἕν τοῖς δοθεῖσιν ἡμῖν πρὸς Θεῷ, ἐκείνω τὸ πᾶν ἐπιγράφοντας· καὶ τὰ κοινὰ καὶ Δεσποτικὰ, μὴ ὡς ἴδια, ἀλλ' ὡς εἰσὶ, τῷ Θεῷ, νομιτέον.

ΚΕΦΑΛ. ΛΘ'.

Περὶ Κρειττόνων Ἐθῶν.

Ὁ χρόνος τὰ πάντα φθείρων καὶ μεθιςῶν, ὡς ὁρῶ, σιωπηρὸν ἄγρυπνον; καὶ τὸν τίνι ἡμῶν ἐπιτηρῆντα πλέρναν ὄφιν κἂν τέτῳ προσδρεπκὼς, πολλὰ τῶν βελτίσων ἠθῶν τῆς οἰκείας μετέσησε τάξεως, καὶ μάλιτα ἐν χρισιανοῖς. Καὶ τῶν τελεμένων ἐν Ἐκκλησίαις μεταχειρίσεων Ἱερῶν. Ὅθεν ὑπομνῆσαι τὲς θέλοντας περὶ ἐνίων αὐτῶν ἔκρινα δεῖν· ὥτε τέτες εἰδέναι τίνα τε ταῦτα, καὶ ὅπως χρὴ τῷ λοιπῷ τῆς ἐνεργείας αὐτῶν, ἤγεν τῆς μεταχειρίσεως ἅπτεσθαι, ὡς οἱ τῆς Ἐκκλησίας τρόφιμοι, καὶ ἡμῶν Πατέρες ἐχρήσαντο τέτοις, καὶ ἐγγράφως, ἢ ἀγράφως παραδεδώκασι χρῆσθαι τοῖς μετ' αὐτές· καὶ ἐκ τέτων πάλιν ζητεῖν, καὶ περὶ τῆς τῶν λοιπῶν ἀκριβῆς παραδόσεως. Καί με μηδεὶς τῆς ὑπομνήσεως ταύτης κα-

ταμεμφέθω· ἐπ᾽ ὠφελείᾳ γὰρ τῦ κοινῦ γένους, καὶ τοῖς μὴ εἰδόσι καὶ αἰτήσασι ταῦθ᾽ ὑπέμνησα.

Αὐτίκα τοίνυν ἐν τῷ τῦ Βαπτίσματος Μυστηρίῳ, ἔθος ἀλογίᾳ σωτεθραμμένον ἐπικρατεῖ, μετὰ πολλῶν ἄλλων, καὶ τῦθ᾽, ὅτι ἐν τῇ δευτέρᾳ τῆς νυκτὸς ὥρᾳ τὰ βρέφη βαπτίζεται· ὅτε καὶ ὁ βαπτίζων Ἱερεὺς, ἴσως καὶ ὁ Ἀνάδοχος, μεμίμναις ἄλλως, ἢ καὶ οἶνον τὸν νᾶν παραφέρονται, δέον αὐτὰ ἐν τῇ τρίτῃ τῆς ἡμέρας ὥρᾳ, ὅτε καὶ τὸ Ἅγιον Πνεῦμα κατῆλθε, βαπτίζεσθαι. Ναὶ, καὶ Θείας εὐθὺς ἱερεργίας ἐπαγομένης· ἵνα ὥσπερ διὰ τῦ Βαπτίσματος ἐλυτρώθη τῆς πλάνης τὸ βαπτισθὲν, ἕτω καὶ τῇ Ἁγίᾳ Μεταλήψει αὐτῷ ἐνωθῇ τῷ Θεῷ. ὡς γὰρ ἔφη ὁ Λόγος: ἐὰν μήτις γεννηθῇ ἄνωθεν ἐξ ὕδατος καὶ πνεύματος, ἐ μὴ ἴδῃ τὴν Βασιλείαν τῦ Θεῦ· Οὕτως αὐτὸς εἴρηκεν: ἐὰν μὴ φάγητε τὴν σάρκα τῦ Υἱῦ τῦ ἀνθρώπε, καὶ πίητε αὐτῦ τὸ αἷμα, ἓκ ἔχετε ζωὴν αἰώνιον ἐν ἑαυτοῖς. Καὶ ὡς ἐκεῖνο λοιπὸν ἀσεβάζεται, τὸ μὴ τελεθτῆσαι τὸ βρέφος ἀμύητον, ἕτω χρὴ καὶ τῦτο ἀσεβάζεσθαι, μὴ τῆς Θείας ζωῆς ἀμέτοχον μείνῃ τὸ μυηθέν.

Ὅτι εἰς τρεῖς μὲν ἔνιοι βαπτίζεσι καταδύσεις, ἐ πάσας μέντοι καὶ τὰ τρία ὀνόματα. Καὶ ἐ μὲν ταῖς δυσὶ τὰς πόδας μόνον, ἐ δὲ τῇ τρίτῃ, καὶ τὴν κεφαλὴν, καὶ πρὸς δύσιν ὁρῶντα. Δέον ἐν μιᾷ ἑκάστῃ ἓν ὄνομα ἐπιφημίζειν τῆς μακαρίας Τριάδος, τὸ Ἀμὴν ἐπιλέγοντα· καὶ ἀπὸ κεφαλῆς ἅπαν τὸ σῶμα βαπτίζεσθαι, καὶ πρὸς Ἀνατολὰς τὸν βαπτιζόμενον βλέποντα τριστῶς καταδύεσθαι ὄρθιον.

Ὅτι τῶν Ἱερέων οἱ πλείες, σαθραῖς Σκάφαις, καὶ πάντῃ ἀνεπιμελήτοις πρὸς τὸ βάπτισμα χρῶνται· καὶ τὸ ὕδωρ τῦ βαπτίσματος ὅπε δήποτε ἐκχέσιν, ὡς τυχόν· Δέον αὐτὲς εὐπρεπεῖς μὲν, καὶ Ἱερὰς κολυμβήθρας κλᾶσθαι, πρὸς τῦτο μόνον ἐπιτηδείας· Τὸ δὲ, ἐν τοῖς τῦ Ναῦ ἀδύτοις μόνον ἐκχεῖν εὐλαβῶς.

Ὅτι ἡμεῖς μὲν τῶν ἡμετέρων παίδων Ἀναδόχες πλείες, καὶ Ἄρχοντας, καὶ πλείες καλῦμεν, ἐ σεσῶτον

τον ψυχικῆς συγγενείας φροντίζοντες, ὅσον ἐν καιρῷ χρείας πραγματούμενοι ἐπίτι ἔχειν αὐτὲς βοηθές. Οἱ δὲ λόγῳ μόνῳ, τότε τὸ βαπτιζόμενον ἀναδέχονται, τῆ λοιπῆ μηδενὰ τάτε λόγον ποιέμενοι. Δέον, ἡμᾶς μὲν, ἕνα ἐνάρετον, κἂν πλωχὸς ᾖ, ἐπὶ σκοπῷ καλεῖν πνευματικῆς οἰκειότητος· τὲς δὲ, ὅτε Ἀναδόχες τῆς ψυχῆς τῆ παιδὸς, διὰ παντὸς τῆ βίε, Θείαις ὑποθήκαις ῥυθμίζειν αὐτό.

Ὅτι τὰ Ἐκπρώματα ἀγ Μαῖαι, ἢ τὰ ὀλιγωρήσαντα τῶν Νηπίων πολλάκις, κανδύλας παρατυχόσης ἐλαίῳ καὶ ὕδατι περιῤῥάνσας ἐπ' ὀνόματι τῆς Ἁγίας Τριάδος, πείθεσιν Ἱερολογίας μὴ δεῖσθαι. Δέον πᾶσαν τλὺ τῆ Θείε Βαπτίσματος Ἱερολογίαν ἐν αὐτοῖς τελεῖσθαι, ὡς ἡ τῶν Ἁγίων Πατέρων διαγορεύει παράδοσις.

Ὅτι ἀλογίᾳ Φερόμενοι, Ἀδελφοποιητὲς, καὶ Ἀναδόχες ἄλλοτε ἄλλες ποιέμεθα, ὡς αἱμομιξίαις ποικίλαις ἐν τεῦθεν πολλὲς περιπίπλειν. Δέον Ἀδελφοποιητὸν μὲν εἶσαι· ἅπαντες γὰρ Ἀδελφοὶ, ὡς τῆς αὐτῆς ὄντες Φύσεως, καὶ τῆ ἑνὸς Θεῆ πλάσματα, καὶ Λυτῆρος ἑνὸς ἀναγαίνησις· Μιᾶς δὲ οἰκίας, ἤγεν ἑνὸς γένες πνευματικλὼ ποιεῖσθαι Συγγένειαν.

Ὅτι τὰ Βαπτιζόντα, εἰ καὶ ταυροειδῶς, ἀλλ' ὡς ἔτυχεν ἀποκείρεται. Δέον τὲς κείροντας ἐκ τῶν ἐμπροσθίων ἀρχομένες πρὸς τὰ ὄπισθεν, καὶ ἀπὸ δεξιῶν εἰς ἀριστερὰ καταλήγειν.

Ὅτι καὶ τεθνεῶσιν ἀνθρώποις ἐν ἁμαρτίαις, εὐχέλαια ψάλλεται· ἐπὶ ζῶσι μόνοις καὶ ἀθενέσιν ἐξ ἀρχῆς γίνεσθαι νομοθετηθέντα.

Ὅτι οἱ ἀπορώτατοι καὶ ἀπειρότατοι τῶν ἀνθρώπων, ἐκ τῆ μηδαμόθεν ἔχειν τὰς πρὸς τὸ ζιῶ ἀφορμὰς, ὡς προχειροτέρᾳ μεθόδῳ πασῶν τῇ Ἱερωσύνῃ προσφόγεσιν· εἰκὸς τὲς εὐπορωτέρες καὶ ἐμπειροτέρες τῶν πάντων ἐκλέγεσθαι· ἵν' ἐκ μὲν τῆ εὐπορεῖν, ταῖς τῆς Ἐκκλησίας

χρείαις

χρείαις διαρκῶσιν ἐξ ἑαυτῶν· ἐκ δὲ τῦ πεπαιδεῦθαι, τὲς ὑπ' αὐτὲς τὰ σωτήρια ἐκπαιδεύωσι.

Ὅτι καὶ ἀνδρ ἀνορίας πολλοὶ Ἱερωσυλίῳ ἁρπάζεσι· Δέον πρότερον εἶναι τὰς ὧν ἄρξωσιν Ἐκκλησίας, ἵνα μὴ ταῖς ἄλλων ἐπιπηδῶσι, καὶ σκανδάλων αἴτιοι γίνωνται.

Ὅτι τῶν εἰς τὸ Μοναχικὸν ἐρχομένων οἱ πλέιες, ἵνα μὴ πάντες εἴπω· ἀτονήσαντες ἐν τοῖς Κοσμικοῖς, καὶ ἀχρειωθέντες, ἅτε μηδὲν ἔτι λυσιτελῦντες ἐν τέτοις, ἐξ ἀπορίας ἀπείρε λοιπὸν, ὡς δῆθεν χαριζόμενοι ἑαυτὲς τῷ Θεῷ, ὡς ἄχθος ἀρέρης Φέροντες ἑαυτὲς ἐπιρρίπτωσιν· ἀ κοπιῶν ἐλθόντες, ἀλλὰ τῶν μακρῶν πόνων εὑρεῖν ἀνάπαυσιν· Δέον, δι' ἑδὸ ἄλλο, ἀλλ' ἢ τὸ δηλεῦσαι Θεῷ, μᾶλλον δὲ ταῖς ἑαυτῶν ψυχαῖς, τῷ κόσμε ἀναχωρῆσαι, καὶ ἐκ εἰς ἀνάπαυσιν, ἀλλ' εἰς κόπες καὶ μόχθες αὐτομολῆσαι.

Ὅτι, ὡς τὲς εἰς πρῶτον, ἕτω ςεφανῦσι καὶ τὲς εἰς δεύτερον, ἢ τρίτον Σωοικέσιον ἐρχομένες· Χρεὼν, τὲς μὲν εἰς πρῶτον, καὶ μνησθέντας, καὶ εὐλογεῖν, καὶ ςεφανῦν ἐπὶ τέτοις. Τὲς δέγε εἰς δεύτερον, μνησθέντα καὶ εὐλογεῖν μόνον· τὲς μέντοι εἰς τρίτον, μνησθέντα μόνον, καὶ τῦτο κατὰ συγχώρησιν.

Ὅτι παρέχοντες ἀγάπιω τοῖς δεομένοις, τὰ σαθρωθέντα τῶν ἱματίων, καὶ τὰ τῶν βρωμάτων ἀχρεῖα, καὶ περισθύσαντα, μόγις παρέχομεν· ὡς ἡμέτερα δῆθεν, χαριζόμενοι ταῦτα τοῖς ἀλλοτρίοις. Δέον, προθύμως καὶ ζεέσῃ καρδίᾳ, τὰ χρήσιμα, καὶ κάλλισα, καὶ ἀναγκαῖα τῶν παρ' ἡμῖν, τέτοις παρέχειν, κατὰ χρέος τὰ ἐκείνων, καὶ ὡς αὐτῷ τῷ Χριςῷ.

Ὅτι τῶν ἐξομολογεμένων οἱ πλεῖςοι, τὸν χείρονα τῶν πνευματικῶν ἐκλεγόμενοι· εἴπερ δεῖ χείρονα τὸν τῶν λοιπῶν συγκαταβατικώτερον οἴεθαι· τέτῳ δῆθεν προσίασιν ἐξομολογησόμενοι. Ἐκ τῦ πελάγες τῶν εἰργασμένων ἀδὲ ςαγόνα χεδὸν ἐξαγγέλοντες· ἀλλὰ τὰ μὲν μέγιςα σιγῶντες, τὰ δ' ἐλάτ[illegible]ω παροῤῥῶντες· κἂν τι τῶν μεγάλων

λων εἰπεῖν βιάσωνται ἑαυτὲς, ξενοπροσώπως καὶ τᾶτο· ἢ μερικῶς γᾶν καὶ ὅσον σημᾶναι. ἢ μηδὲν τὸ παραχθὲν (ἴσ. πραχθὲν) ἀποβλώσθαι, ὡς ἄλλων αἰτιωμένων. Δέον, τῷ ἐμπειρῳ καὶ κρείττονι μετὰ πίστεως προσιέναι, καὶ τὰ πάντα ὡς πέπρακται διαῤῥήδην, καὶ αὐτὸν μόνον πάντων αἴτιον ἐξαγγέλλειν τῶν ἐπταισμένων.

Ὅτι πρὸ μὲν τῆς Ἱερᾶς μεταλήψεως, ἴσως προκαθαιρόμεθα ἔνιοι· μετὰ δὲ ταύτην πάντα τὰ κατὰ σωτήριαν πράττομεν πάλιν. Χρεὼν, πολλῷ πλέον μετὰ τὸ ἐνοικῆσαι τὸν Βασιλέα τῆς δόξης Χριστὸν ἐν ἡμῖν, προσέχειν ἑαυτοῖς, ἢ τὸ πρότερον.

Ὅτι ἕκαστος ἡμῶν τὸν οἰκεῖον αἰτιᾶται Πατέρα εὐλόγως, πῶς γραμμάτων ἄπειρον, καὶ παιδεύσεως ἄμοιρον εἶναι κατέλιπε τὸν οἰκεῖον υἱόν, ἑαυτὸν λέγων· ὃ μέντοι καὶ ὃν ὑπεραγαπᾷ παῖδα, Γραμματιστῇ ἢ παιδοτηρίῳ παιδευθησόμενον δίδωσι· Δέον, ὑπέρ τι ἄλλο τῶν εἰς κληρονομίαν ἡκόντων ἅμα, καὶ ἠθῶν παίδευσιν καταλιπεῖν τῷ παιδί.

Ὅτι ἀπαίροντες ἐντεῦθεν, ἀμειβόμενοι τὲς οἰκείες καὶ φίλες τῆς προσκαίρε αὐτῶν ἀγαπήσεως, καταλείπομεν αὐτοῖς τὰ ἡμέτερα· Δέον, τοῖς μηδέποτε χαρισαμένοις ἡμῖν, ἢ δελώσασι, τὰ πλείω καταλιπεῖν, ἢ καὶ ἅπαντα· ὡς ἂν ἐκ ἀμοιβῆ, ἀλλὰ σαφὴς ἐλευθερώσεως ἢ τὸ γινόμενον.

Ὅτι παρὰ πάντα τὸν τῆς ζωῆς ἡμῶν χρόνον ἑαυτῶν ἡμεῖς ἐπιλανθανόμενοι, τελευτῶντες θαῤῥοῦμεν παρ' ἑτέρων μακρὰ μνημονεύεσθαι. Χρεὼν, ἡμᾶς αὐτὲς ἑαυτοῖς ἀπ' ἐντεῦθεν, ἀρετῆς ἔργα ποιεῖσθαι μνημόσυνα, καὶ μὴ ἐπ' ἀδήλοις διϊσχυρίζεσθαι, ἀλλὰ θαῤῥέντως ἀπαίρειν πρὸς τὸ ἐκεῖθεν ἀνάπαυσιν.

Ἀλλὰ τίς τῶν ἐνθῶν πάντων ἐξέποι, τὰ τῆς οἰκείας ἐκστάντα σωτηρίας καὶ τάξεως; ἢ τὰς ἡμῶν ἐκ τᾶ κρείττονος ἐπὶ τὸ χεῖρον περιτροπάς;

ΚΕΦΑΛ. Μ'.

ΚΕΦΑΛ. Μ'.

Περὶ πίσεως Ὀρθοδόξε (*).

Πολλῶν ὄσων Αἱρέσεων ἐν τῷ Κόσμῳ, τῶν μὲν τιμιωτέρων, τῶν δὲ καὶ ἀλογωτέρων· καὶ ἑκάσε τῶν ταύτας ὑπαγομένων, τλὼ ἰδίαν Αἵρεσιν δοκῦντος ἐπεκδικεῖν, ὡς ταύτλω ἡγεμόνε τῶν ἄλλων βελτίονα· ἡμᾶς ἐκ πολλῶν καὶ σαφεσάτων μαρτυριῶν περὶ τῆς ἡμετέρας πίσεως βεβαιέμεθα, ὡς ἒκ ἔσιν ἄλλη ἐν τῇ ὑπ' Οὐρανὸν εὐσεβὴς καὶ ἀληθεσάτη, ὡς καὶ ὁ λόγος ἀπαιτεῖ τῆς εἰλικρινεσάτης Θεολογίας· σὰ Θεὸν εἶναι καὶ Κύριον· καὶ μίαν πίσιν τλὼ εἰς αὐτόν· εἰμὴ αὕτη καὶ μόνη· καὶ προσέχετε σιωετῶς.

Πολλῶν ἐπὶ κάλλει ἐπαινεμένων, καὶ διὰ τῦτο μέγα ἑκάσε φρονῦντος, ὡς δῆθεν αὐτῦ τῶν λοιπῶν διαφέροντος· ὃν πάντες οἱ ἐπαινέμενοι εὐθὺς μετ' αὐτὲς καλὸν εἶναι τίθενται, ἔτος ἄρα ὁ ἐν αὐτοῖς καλὸς, καὶ ἐκ ἄλλος· ἐχ ὅστις αὐτὸς ἑαυτὸν σιωισᾷ. Ἔτι πολλῶν μετεχόντων μεθόδε μιᾶς τινος λογικῆς, ἀμφιβαλλομένε τῦ ἐπὶ ταύτῃ βελτίσε καὶ κρείτλονος· ὃν ἅπαντες οἱ τῆς αὐτῆς αὐτῷ δοκῦντες κοινωνεῖν ἐπισήμης ὁμῦ, καὶ χωρὶς ἕκασος, πλιὼ ἑαυτῦ ἄριζον εἶναι πάντων προσμαρτυρεῖ, ἐκεῖνος ἐζὶν ὁ ἀκριβὴς ἐπισήμων. Ἔτι πολέμε συγκροτηθέντος πε σφοδρῦ, μὴ παρόντος αὐτόθι τῦ Βασιλέως· καὶ κατὰ κράτος πρός τινος τῶν σρατιωτῶν τραπέντων τῶν πολεμίων· καὶ τῦδε ἀγνοεμένε μετὰ τλὼ νίκλω καὶ τὰ τρόπαια· τῦ Βασιλέως σεφανῶσαι βελομένε τὸν Ἀριζέα· καὶ ἐρομένε τίς ἰῶ ὁ τρέψας τὲς πολεμίες· τῶν σρατιωτῶν ἕκασε πρὸς τὸν σέφανον ἀφορῶντος, καὶ ἑαυτὸν εἶναι λέγοντος, ἀδήλε τῦ πράγματος καθεσῶτος, ἔτως εὑρίσκεται ὁ ζητέμενος· Μετὰ σὲ δὲ, τίς ἰῶ ἄλλος, ἐν τῇ τῶν ἐναντίων τροπῇ; ἐπερωτώμενοι ἰδίως οἱ σρατιῶται ὃν ἕκασος

(*) Ὁλοχερὲς ὡς ἐνταῦθα τόδε τὸ Κεφάλαιον ἀναγνώσκεται, καὶ ἐν τῷ περὶ τῆς ἡμῶν πίσεως Λόγω· Τόμ. Β'. Σέλ 26-29. Ὡς ἐν ἄδε ἰκᾶ προοιμίε.

ἕκαστος μετ' αὐτὸν εὐθὺς Ἀριστέα ὁμολογεῖ, καὶ οἱ πάντες ἅμα συμμαρτυροῦσι, καὶ ἐπαρέσκονται τῇ ὁμολογίᾳ, ὅτος ἐστὶν ἀληθῶς, ὁ τῷ νίκῃ ἀράμενος καὶ αὐτὸν ὁ Βασιλεὺς στεφανοῖ, καὶ ἀνακηρύττει, καὶ γέρα τούτῳ δίδωσι νικητήρια.

Σκόπει δὲ ταῦτα πῶς παραπλησίως, ἢ ἐναργῶς ἐπὶ τῆς ἡμετέρας δόξης καὶ μόνης συμβαίνει. Ἂν γὰρ ἐρωτήσῃ τις τὸν Ἰουδαῖον, ὃ τῆς θρησκείας ἀλογωτέρα ἐκ ἔστι· καὶ τὸν Ἰταλὸν ὡσαύτως, ὃ τὸ σέβας ἐγγὺς εἶναι τοῦ ἡμετέρου δοκεῖ· καὶ ἁπλῶς ἕκαστον τῶν ἐκ τῶν ἄλλων δοξῶν· μετὰ τίνα σαυτοῦ αἵρεσιν· ποίαν ἄλλην τῶν λοιπῶν θεοσεβεστέραν, εἶναι νομίζεις; εὐθὺς φωνῇ ἐλευθέρᾳ, ὅς τις ἂν ᾖ, ἡ τῶν Ῥωμαίων φησίν. (†) Κτλ. *

ΚΕΦΑΛ. ΜΑ'.

Περὶ Σωτελείας.

Πότε μὲν ἡ τῆς Σωτελείας ἡμέρα, οὐδὲ τῶν πρωτίστων Ἀγγέλων τις οἶδε, μήτοι γε ἄνθρωπος. Ὅτι δὲ ἐγγὺς καὶ ἐπὶ θύραις, καὶ ἀπὸ τοῦ Χριστοῦ τὰν παραγγελμάτων, καὶ ἀπὸ τῆς Φύσεως τῶν πραγμάτων, πολλὰ τὰ μαρτύρια. Ἐπεὶ γὰρ ἔθνος ἐπὶ ἔθνος ἠγέρθη, οἷον ἐδέποτε· καὶ ὁ τὰ σκῆπτρα κατέχων Ῥωμαίων, ἕτω σωτηρία καὶ πεπολέμωται· πᾶσα κακία τετέλεσται, καὶ ἀγάπης ἔργον ἑδαμοῦ ὑπολέλειπται· πάντως ὅσον ἔπω τὸ τέλος ἐστί. Καὶ ἄλλως δὲ τοῦτο δῆλον. Εἰ γὰρ πάντα τὰ ὑπὸ χρόνον, καὶ ὁ χρόνος αὐτὸς, ὡς ἑπτά τισι θεωρεῖται κινούμενα, καὶ εἰς ἑπτὰ τελοῦντα, ἐπεὶ ἕβδομος ἄρτι αἰών, καὶ διὰ τοῦτο λοιπὸν ἐπὶ θύραις ἐστίν. Ὡς ἐπὶ τὸ πολὺ γὰρ ὁ ἑπτὰ ἀριθμὸς, μετὰ τῶν ἄλλων, ὧν ἡ Γρηγορος Γλωσσα

(†) Πρακτ. ἓν καὶ τὰ λοιπὰ εὕροις ἂν ἐκεῖ ἄχρι τέλους. Σελ.

X

29. 5. κβ. κγ. „(Ἅπερ τῇ πίστει συναπτετε πάντες οἱ θέλοντες εὐ- „ σεβῶν. „

Γλῶσσα ἀπηριθμήσατο, ὃ πᾶσι τίμιος, ἄτε παρθένος, ἢ ἐκ οἶδα τίνι ἄλλῃ ἀναλογίᾳ· καὶ δὴ σκοπῶμεν. κτλ. *)

ΚΕΦΑΛ. ΜΒ'.

Ὅτι ἐ διαλείπει θαυματεργῶν ὁ Θεός (**).

* * * * * * * * * * * * *

ΚΕΦΑΛ. ΜΓ'.

Περὶ Ὀρθοδοξίας τῆς εἰς τὰ Πράγματα. (†)

* * * * * * * * * * * * *

ΚΕΦΑΛ. ΜΔ'.

Ὅτι μετὰ τάξεως καὶ Εἰρμῦ, πάνθ' ἡμῖν τὰ χρήσιμα ἥκει ἐκ Θεῦ.

Θαυμάσαι δίκαιον καὶντεῦθεν τὴν πάνσοφον πρόνοιαν τῦ Θεῦ, ὅτι τὰ μὲν ἀναγκαῖα ἐποίησεν ἄφθονα, σπάνια δὲ τὰ μὴ ἀναγκαῖα. Οἷον γῆς, ὕδατος, ἀέρος, καὶ πυρός, ὅσον ἐν ἡμετέρᾳ χρήσει, ἐξ ὧν σωιζόμεθα, καὶ

(*) Τὰ δ' ἑξῆς, καὶ τούτων ἔτι ἐκπεριεσίας πλείονα περὶ τῦ ἑπλαδικῦ Ἀριθμῦ, καταλέλεκται ἐν τῷ Α'. Λόγῳ τῶν περὶ Συντελείας, ἐν τῷ Β'. Τόμῳ, Σελ. 191-203. Ἐνθα δὴ, καὶ μᾶλλον ἢ περ ἐνταῦθα, ὁ βέλτιστος ἐκ τῶν κατὰ φύσιν, καὶ τέχνιν· ἐκ τῶν κατ' ἐπισήμιν, καὶ ἱστορίαν· ἐκ πάντων ἁπλῶς θείων τε καὶ ἀνθρωπίνων περιτῶς λίαν καὶ φορτικῶς ἐπισυμφορήσας, ἅπαντα τὰ αὐτῷ ἐπελθόντα ἐξέθετο. Καὶ θαῦμα, πῶς ἀχὶ, τοῖς τοσούτοις ἑπλάσι, καὶ τὰ Κεφάλαια αὐτῦ ταῦτα τὰ ἑπλάκις ἑπλᾶ προσκατέλεξεν, ἵνα καὶντεῦθεν ἡμῖν ἐγγίζσαν ἀποδάξῃ τὴν τῦ Κόσμε Συντέλειαν! Καίτοι γε ἁμὴ αὐτὸς μακρηγορήσας ἐγένετο, τοὺς ἀπεράντους ταύτας ἑπλολογίας διεξερχόμενος· Οὐδὲ τὸ τέλος ἔμπης τῦ αἰῶνος τότε πάνυ μακρὰν ἐσὶν ἡμῶν ἀφεσάμενον.

(**) Καὶ τὰ ἐν τῷδε παραπλησίως τῷ Κεφαλαίῳ εὑρήσεις ἅπαντα μετιών, τὸν Λόγον τὸν περὶ τῆς ἡμῶν πίσεως ἐν τῷ Β'. Τόμῳ Σελ. 34-37. Διὸ καὶ μεταγράφειν παρίεμεν.

(†) Καὶ ἀδὲ τούτων δεήσῃ τῆς ἐνταῦθα μεταγραφῆς, ἀνελλιπῶς σοι πάντων προκειμένων μετελθύσεθαι βελησθέντι ἐπὶ τὸν Εἰρημένε Λόγε περὶ τῆς ἡμῶν πίσεως· ἐν Τόμ. Β'. Σελ. 29-33.

καὶ ἐν οἷς ζῶμεν, πᾶσιν ἐπίσης ἀφθόνως παρέχετο. Ζώων δὲ γενῆ, Χερσαίων, Ἐνύδρων τε, καὶ πλωτῶν· καὶ φυτῶν εἴδη καρποφόρα, καὶ ἄκαρπα· Σπέρματα καὶ καρπὸς, βλάστηματα καὶ Μέταλλα, ἐν ἄλλοις ἄλλα γίνεσθαι· καὶ τὰς μὲν ὑστερεῖσθαι, τὰς δὲ περιοσεύειν αὐτῶν συνεχώρησε. Καὶ ἵνα μὴ τῷ πλήθει τέτων, καὶ τῇ συνεχεῖ χρήσει γινώμεθα πάντων διακορεῖς, πῇ μὲν, τῇ ἐλλείψει καὶ τῷ σπανίῳ· πῇ δὲ, τῷ ἀχρεῖα γίνεσθαι ταῦτα, ἐφετὰ καθίσασθαι πᾶσι ποιεῖ καὶ ἐπέρασα. Ἀμέλει εἰδὲν ἀκαίρως, ἀλλὰ πάντα ἐπιθυμητὰ καὶ τίμια ἐν καιρῷ αὐτῶν, τοῖς μὲν ἀπολαύσιν ἡ ἀπόλαυσις, τοῖς δὲ σεσημένοις ἡ σέρησις ἀπεργάζεται. Σκοπῶμεν δὲ ὧδε.

Ὁ τῷ ὠιαυτῷ Κύκλος τέτρασιν ὥραις κοσμέμενος, καὶ τῆς γῆς τὸ οἰκέμενον κλίμασιν ἑπτὰ σεφανέμενον, ἐκ ἐν πᾶσι τοῖς Κλίμασιν, ἢ ἐν πάσαις ταῖς ὥραις, εὑρίσκεται ἀνελλιπῆ καὶ τὰ αὐτὰ τοῖς ἀνθρώποις χρειώδη καὶ τρόφιμα. Εἰ δὲ καὶ ἴσως εὑρίσκεται, ἐχὶ καὶ πάντοτε χρήσιμα πέφυκεν. Ἀλλ' ὥσπερ ὁ Ἥλιος ἀναβαίνων μὲν ἀπὸ Νότε πρὸς Βορρᾶν, ἡμῖν μὲν θέρος, τοῖς Λιβίοψι δὲ χειμῶνα ἐργάζεται· καταβαίνων δὲ πρὸς Νότον, ἐκείνοις μὲν θέρος, ἡμῖν δὲ χειμῶνα ποιεῖ· καὶ τῇ κατὰ μικρὸν ὑπαλλαγῇ καὶ ὑποχωρήσει ταύτῃ, καὶ τῇ διὰ τῆς νυκτὸς, καὶ ἔτι τῇ λοξῇ τέτε περιφορᾷ ἐρασὸς γίνεται καὶ ἀκόρεσος· ἔτως ἄρα καὶ ἐπὶ πάντων τῶν κατὰ καιρὸς γινομένων, καὶ τόπες, συμβαῖνον ἐξὶν ἰδεῖν. Συναλοιᾶται γὰρ πάντα τῷ χρόνῳ, καὶ ἐκλοπίζει τῶν ζώων τὰ πλεῖσα. καὶ ἄλλα ἀνὶ ἄλλων ἀεὶ φέρει τὸ φέρον περιφερόμενα κυκλικῶς· ὅθεν ἔτ' ἐν πᾶσι τοῖς Κλίμασι τὰ αὐτὰ, ἢ τῆς ἴσης τῶν ὁμοειδῶν ἐνεργείας ἐχόμενα εὕροι τις, ἔτ' ἀθρόα καὶ ἀνυπόπλακτα αἱ ὧραι καὶ τὰ στοιχεῖα φέρεσιν ἡμῖν τὰ παρ' ἑαυτῶν. Ἀλλ' ἐν μὲν τῷ διὰ Συήνης τά τε ζῶα κατάξηρα, καὶ τὰ εἴδη ἀρωματίζοντα· ἐν δὲ τῷ διὰ Βορυσθένες, τὰ μὲν σφόδρα πίονα, τὰ δ' ἧττον εὐώδη· καὶ τὸ ἐν τῷδε τῷ Κλίματι, φέρε εἰπεῖν πλεονάζον, ἐν ἄλλῳ ἐδαμῶς εὑρισκόμενον, ἢ πάντως ἔλαττον, ἢ κατά τι ἐνηλ-

λαγμένον. Καὶ ὁ μὲν Ἀὴρ ἐν τῷ ἔαρι νεογενῆ ζῶα παράγων, καὶ ἀρτιθαλῆ φυτὰ κομῶντα τοῖς Ἀνθεσι, τέρπει παντοίως ἡμᾶς· τὸ δὲ πῦρ τὰ σπέρματα πεπαίνον, καὶ τὰς καρπὰς ὡραίζον, ἐνεργείᾳ ἑτέρᾳ εὐφραίνει ἐν Ἀμητῷ. Ἡ δὲ Γῆ πάντα τὰ ἑαυτῆς χρέα τῇ φθίσει τῶν ὁπωρῶν ὥσπερ ἀποδιδοῦσα, καὶ ἐξ ὑπαρχῆς ἄλλης ὑποκισσαμένη τὰ σπέρματα ψυχαγωγεῖ, τὰ συληφθέντα πάλιν ὀφείλουσα. Τὸ δὲ Ὕδωρ διὰ θαλάσσης καὶ ποταμῶν ἐν χειμῶνι, πίοσιν ἐνύδροις ἄλλως παραμυθεῖται· καὶ πτηνῶν καὶ Ἰχθύων γονὴ παντοῖα ἐπάγον ἡμῖν πόρρωθεν, ἐπωφελεῖ τοῖς ζωοτρόφοις. Ἀλλὰ ταῦτα μὲν ἁπλῶς ἐπὶ τῶν καθόλε καὶ Φυσικῶν· τ' αὐτὰ δὲ καὶ ἐπὶ τῶν καθ' ἕκαστα θέασαι, καὶ τῶν τεχνητῶν.

Αἱ γὰρ χῶραι μᾶλλον ἐν Ἀμητῷ, ἐν Φθινοπώρῳ αἱ Ἀμπελοι, ἐν χειμῶνι οἱ κῆποι, οἱ δὲ λειμῶνες ἐν Ἔαρι, πάλιν ἡμᾶς καθηδύνσιτε καὶ ἀναπαύσει καὶ ἐ κατὰ τὸν αὐτὸν καιρὸν ἅμα, ἢ ἐπίσης ἅπαντα. Ἐπί τε τῶν τροφῶν ὁμοίως τῶν μὲν ὀρέων τὸ γόνυος, λόγε χάριν, χρησιμεῦον ἐν τῷ χειμῶνι, τὰ ὀστρακόδερμα διαδέχεται ἐν τῷ Ἔαρι. Ταῦτα δὲ οἱ Πελάγιοι τῶν ἰχθύων ἐν Ἀμητῷ· τὰς δὲ, οἱ προσγειότεροι πάλιν ἐν Φθινοπώρῳ. Καὶ τέτων αὐτῶν ἐχ ἅμα πάντα τὰ γόνυη· ἀλλὰ ποτὲ μὲν τῦτο, ποτὲ δ' ἐκεῖνο· ἐπιδημεῖ, ἢ κατὰ τιὼ ἐδωδιὼ χρησιμεῦον ἡμῖν· Πάλιν ἀχρειέμενον, ἢ καὶ ἀποδημεῖ, τὸ ἀποδημεῖν ἄλλοις, ἢ τὸ χρησιμεύειν παραχωρεῖ. Καὶ ἐπὶ τῶν καρπῶν δὲ ὡσαύτως. Οὐ γὰρ ἅμα πάντες, κἂν τῇ αὐτῇ ὥρᾳ· ἀλλ' ὁ μὲν ἐαρινὸς, ὁ δὲ Φθινοπωρινὸς, ὁ δὲ θερινὸς, ἢ χειμέριος. Καὶ τῦ αὐτῦ αὖθις γονὰς ὄντε τῇ αὐτῇ χώρα, ὁ μὲν πρώϊμος, ὁ δὲ ὄψιμος. Ὅγε τρυγώμενος ἐν Συρίᾳ κατὰ τὸν Μάρτιον, ἐν Θράκῃ περκάζει κατὰ Σεπτέμβριον. Καὶ ἐ μόνον τῦ αὐτῦ γονὰς, ἀλλὰ καὶ τῦ αὐτῦ καὶ ἑνὸς εἴδες, ὁρῶνται μεγεθῶν, καὶ ποιοτήτων, καὶ χημάτων καὶ χρωμάτων ποικίλαι καὶ ἀναρίθμητοι αἱ διαφοραί· καὶ τὰς μὲν ἐκ τῶν Παραδείσων ἐκπορθομένας, οἱ ἐκ Σικυηλάτων εὐθὺς διαδέχονται· τὰς δὲ, οἱ ἐξ Ἀμπελώ-

Ἀμπελώνων· καὶ τέτες ἕτεροι· κἀκείνες ἄλλοι· καὶ ὁ διαλείπει ποτὲ ἡ ὑπάλληλος αὕτη ἐκ τῆ κόσμε διαδοχή· ἐκ οὐ τοῖς ῥηθεῖσι μόνον, ἀλλ' οὐ τοῖς ἅπασι· καὶν διὰ τὸ δυχείμερον, ἢ καυματῶδες, τῶν χωρῶν εἶναι, τῶν ἄλλαις περιτρεφόντων ἐνδέονται. Πλεῖω κἀνταῦθα ἐπεισελθῆσα τῷ βίῳ ἡ ἐμπορία, ὁ τινὶ τυχῆσαν ποιεῖται παραμυθίαν. Τὰ γὰρ περιττεύοντα τῇ μιᾷ, ἐπιχορηγῆσα τῇ ἄλλῃ, ἔτως ἀναπληροῖ τὰ ἐλλείποντα, ὡς καὶ πολλάκις τῆς ἀναγκαμένης τινὶ ἐμπορίαν, ἀφθονωτέραν οὐ ταύτῃ φαίνεθαι τινὶ ὠνηαμένῳ. Ἐπί τε μετάλλων, καὶ τῶν ἄλλων χρειῶν, ὧν ἑκάση Ἐπαρχία, ἡ Πόλις, φέρειν πρὸς τῆ Θεῆ κεχαρίτωται.

ΚΕΦΑΛ. ΜΕ'.

Πρὸς τὲς τὸ πλῆθος καὶ τινὶ εὐετηρίαν τῶν Ἀπίσων θαυμάζοντας.

Πολλὲς πολλάκις τῶν ἡμετέρων, πρὸς τὸ πλῆθος ἀφορῶντας, καὶ τινὶ ῥαιδίᾳ τῶντε ἀπίσων καὶ τῶν ἁμαρτωλῶν, ἐπτοημένες εἶδον ἐγώ· ἔς δὴ καὶ χαριέντως ἠρόμιν: Ποῖον ὑμῖν νομίζετε κρεῖττον· εἷς λίθος τίμιος, ἢ χίλιοι σαθροὶ καὶ χυδαῖοι; κτλ. †) * * * * *

ΚΕΦΑΛ. ΜΣ'.

Περὶ τῶν ἐπιτεθέντων ἡμῖν δεινῶν Καὶ τίς ὁ τέτων σκοπός.

Τὰ περισοιχίσαντα τὸ ἑτέτερον Γένος δεινὰ (*), ὡς οὐ τύτῳ ταῦτα ἐσὶν, ὡς ὁρῶμεν. Ὅτι οἱ ἄρτι καιροὶ

(†) Τὰ αὐτὰ ὡσαύτως εἰρηται, καὶ ἐν τῷ Λόγῳ, τῷ περὶ τῆς ἡμῶν πίσεως. Περὶ τὸ τέλος. ἐν Τόμ. Β'. Σελ. 44-46.

(*) Τοῦτα παρενεσπαρμένα εὑρεῖν ἐσὶ, καὶ ἐν τῷ Γ'. Λόγῳ τῶν εἰς τινὶ Σωτῆρον Σταύρωσιν· ἐν Τόμ. Β'. Σελ. 245-250. τοιαῦτα δὲ ὄντα, ὡς μηέποτε τῷ ἡμετέρῳ οἰκείῳ Γένει περιττῶς αὐτὰ ἐπᾴδεθαι ἀναλαμβανόμενα, ἐπιγραφῆδέω πάλιν κἀνταῦθα, οἷα δήτις τῆ καθ' ἡμᾶς ἕδνες,

χαλεποὶ ὑπὲρ ἅπαντας. Πονηραὶ αἱ ἡμέραι· τῶν χρόνων τὰ τέλη· τὸ γῆρας τῆ Κόσμῳ· ἡ ἐκθυμία τῆ σύμπαντος· Ὅτι ὀλίγη, σφαλερὰ, καὶ πικρίας ἀνάμεστος αὕτη ἡμῶν ἡ ζωὴ, καὶ κακῶν θαλάσσαις ὑπέραντλος. Ἰδὲ γὰρ οἱ γειτονῆντες ἐχθροί· οἱ φιλιέμενοι ἄπιστοι· οἱ συνοικῆντες κλοπεῖς· οἱ υἱοὶ ἀπειθεῖς· καὶ οἱ ἁπλῶς συγγενεῖς ἄσοργοι· οἱ ἕτοιμοι τοῖς ἡμετέροις κακοῖς ἐφηδῦναι, πολλοί· οἱ ἐπιβαλλόντες πλείονες· οἱ διώκοντες ἡμᾶς, καὶ τιτρώσκοντες πλεῖστοι, καὶ πολλαχόθεν· ὁ συμφωνῆσας δὲ καὶ σωσαλγήσων ἡμῖν, τολμῶ λέγειν, ἐδαμόθεν ἐδείς. Διεσκορπίσθημεν διασπαρέντες πάσαις ταῖς τῆς γῆς Βασιλείαις· καὶ ἄρχουσιν ἡμῶν, ἡμεῖς δὲ ἐκ ἄρχομεν· καὶ τιὼ χώραν ἡμῶν ἀλλότριοι κατεδίασι, καὶ ἐκ ἔστιν ὁ βοηθῶν. Αἱ Νεάνιδες τῆ γένες ἡμῶν καὶ οἱ Νεανίσκοι, ἑτέροις ἔθνεσι δεδομένοι· καὶ οἱ ὀφθαλμοὶ ἡμῶν τιὼ ἡμέραν ὀλίγα βλέπουσιν εἰς αὐτὰ, καὶ ἡ χεὶρ ἡμῶν ἐκ ἰσχύει. Ἀλλὰ καρδία ἀθυμῆσα πρὸς ταῦτα δέδοται μόνον ἡμῖν, καὶ ἐκλείποντες ὀφθαλμοὶ, καὶ τηκομένη ψυχή· Πράγματα ἐπὶ πράγμασι, μέριμναι ἐπὶ φροντίσι, καὶ αἵματα ἐφ' αἵμασι πανταχῆ. Ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς· Ἐξέλιπε σοχαστὴς, ἐχ εὕρηται φρόνιμος· παρήχθη πάλαι σοφός· ἐκ ἔστιν ὁ σωιὼν, ἐκ ἔστιν ὁ διορθάμενος. ὁ ἐπιστρέφων ἐκ ἔστιν. ὁλόσωμος ἡ πλαγὴ, ἡ νόσος καθολική· χαλεπὸν τὸ τραῦμα, ἀπαραμύθητος ἡ συμφορὰ, καὶ παρακλήσεως ἁπάσης μείζων. Καταπεφρόνηται τὰ τῆς Ἐκκλησίας· διέφθαρται τὰ τῆς Βασιλείας· δυσχολαίνεται τὰ πόρρω· συγχαίνεται δὴ τὰ ἐγγύς. Τὰ ἄνω κάτω, καὶ τὰ κάτω γίνεται ἄνω· διώκεται τὰ χρισιανῶν, ἀνθεῖ τὰ τῶν ἀσεβῶν. Ἔνθεν Ἀγαρηνοὶ διώκουσιν ἡμᾶς, ἐκεῖθεν Σκῦθαι λυμαίνονται· ἀπὸ δυσμῶν Ἰσμαηλῖται τρυγῶσι, καὶ Πέρσαι ἐξ ἀνατολῶν ἐκριζῶσι, Τὸν Δράκοντα φεύγομεν, καὶ Βασιλίσκῳ σωζόμεθα· ἀποδιδράσκομεν Λέοντα, καὶ τῆ Ἄρκτῳ προσπίπτομεν. ὁ τὸν θάνατον ἐκφυγὼν περιπίπτει δηλεία, καὶ ὁ τῆς δηλείας

ἔθνεσι, καὶ ἐκπεπωκότος ἤδη, δικαίως τε καὶ εὐσεβῶς πρὸς Θεὸν γινομένη Ἐξομολόγησις.

λείας ἀπαλλαγεὶς τῇ σφαγῇ παραδίδοται. Ὅπη δ' ἄν, καὶ ὅτε, ναυμαχίαι τε καὶ πεζομαχίαι, ἢ λεηλασίαι καὶ μετοικεσίαι γενόνται, μέρος ἡμῶν φθείρειν πάντως ἀκέοντα· τὸ ἀθροισθὲν ἐν οἰκίᾳ, σκορπίζει φθόνος, καὶ τὸ σκορπισθὲν ἡμῶν ἐπὶ κέρδει, ἁρπάζει λῃστής. Τὸ διαδρὰν τλῶ πολιορκίαν ἐπόντισε θάλασσα, καὶ τὸ τὸν βυθὸν ἐκφυγὸν, εἰς τὰς τῶν ἐχθρῶν ἐνέπεσε χεῖρας. Ἔτι ἐψύγη τὰ ἀγαθὰ, ἐφύη τὰ λυπηρά· Παρώχηκε τὰ ἡμέτερα, καὶ τὰ ἀλλότρια ἐληλύθει· Παρανεαλώθημεν, ἀπολώλαμεν, διαπεφωνήκαμεν· καὶ ὡς Τραυματίαι ἤδη καὶ παραπλῆγες, ἡμῶν αὐτῶν ἔξω γεγόναμεν. Βιαιοκήτις τῶν καθ' ἡμᾶς πραγμάτων προχώρησις ἐπὶ τὰ χείρω, καὶ διαρκής· Τῶν χθὲς καὶ ἄναγχος ἀμείνω ἐθῶν καὶ ἰδιωμάτων, σήμερον ἐδ' ἴχνος εἰδέναι ἐστί· καὶ τὰ πέρυσι βέλτιστα τῶν ἠθῶν, ἐδαμῶ δίδωσι τὸ ἐφέτος ὁρᾶν· διὰ μέσε δὲ τέτε κἀκεῖνε ταῦτα τοσῶτον μετήλλακται, ὅσον ἐδὲ λέγειν ἰσχύς· καὶ ὡς ἐσὶν ἐκ τῶν πραγμάτων εἰκάσαι, ἐπ' ἀκανθῶν κείμεθα, ἐπὶ κρημνῶν ἑσάμεθα, ἐπ' ὄφεων βηματίζομεν, ἐν μέσῳ παγίδων διαβαίνομεν, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατῶμεν. Καθωρινοὶ πόλεμοι, Ἀνδραποδισμοὶ, σφαγαὶ, λιμοὶ, πνιγμοὶ, ξενοχωρίαι ἐ φορηταὶ· ἀπώλειαι μυρίαι κύκλῳ, καὶ παντα χόθεν ἡ τῆ Θεῆ ὀργὴ ἀφικνεῖται. Ἡμεῖς δ' ὡς μηδενὸς καινῆ γινομένε, ἀναλγήτως διακείμεθα. Ἀλλὰ τίς ἆρα σοφὸς ἐκτραγῳδήσει ὡς χρὴ τὰ ἡμέτερα; πάντα γὰρ ὑπερβέβηκε θρηνῶν, καὶ παντὸς ταῦτα κατακαυχᾶται ὀλοφυρμῶ.

Ταῦτ' ἔν, καὶ τὰ τέτων παραπλήσια, ὁ μὲν Ἀστρολόγος ἡμῖν, τοῖς πρὸς ἀλλήλες τῶν Ἀστέρων σχηματισμοῖς Φήσει συμβαίνειν ἡμῖν. Ὁ δὲ Φυσικὸς τῷ μέσες εἶναι Ἀράβων καὶ Σαρακηνῶν, Ἰσμαηλιτῶν τε καὶ Σκυθῶν τῇ θέσει, καὶ τῇ Φυσικῇ τῶν πραγμάτων πρόσῳ, ταὐθ' ἡμᾶς ὑπομένειν ἐρεῖ. Ὁ μέντοι γε ἄθεος, ἀπὸ ταυτομάτε χύδην καὶ φύρδην ἀποτελεῖσθαι· καὶ ὁ Ἕλλην ἐξ Εἱμαρμένης καὶ Τύχης ἅπαντα συμβαίνειν ἡμῖν ὑπολάβοι.

Πάλιν, ὁ μὲν Ἀγαρηνὸς, τῷ μὴ τῷ ἀληθεῖ πεισθῆναι, αἴτιον τύτων ἐρεῖ· Ὁ δὲ Ἑβραῖος, τῷ πιστεῦσαι ἡμᾶς εἰς Χριστόν. Καὶ ὁ μὲν ἕκαστος τῶν Αἱρετικῶν, τῷ μὴ ὑποκῦψαι τῇ ἐκείνε αἱρέσει· ὁ δὲ τῶν Ἰταλῶν ὄχλος, τῷ μὴ ὑποτετάχθαι ἡμᾶς τῷ Πάπα τῶν εἰρημένων αἴτιον ἐννοεῖ· Ἐγὼ δὲ πάντας τύτες ἀποβαλλόμενος, πείθομαι ἀραρότως, καὶ διαρρήδην ὁμολογῶ, ὅτι ἐκ ἂν ταῦτα ἐπάσχομεν, εἰ δυσεβεῖς ἦμεν, καὶ τῷ Θεῷ παντάπασιν ἀπεληλαμένοι· Ἐπεὶ δὲ τὸ Εὐσεβέστατον γένος πάντων ἀνθρώπων, καὶ τῷ Θεῷ τὰ μάλιστα προσανέχον ἐσμέν· καὶ σωθῆναι μὲν θέλομεν καὶ σπεδάζομεν, καὶ τῦτο ἡμῖν ἐστὶ τὸ εἶναι καὶ τὸ ζῆν, καὶ εἰς τὸν παρόντα βίον εἰσῆχθαι· βαλόμεθα δὲ τῦτο μετὰ βαθυμίας, καὶ πλέτε, καὶ δόξης προσκαίρε· Ὁ παντὶ τρόπῳ τὴν σωτηρίαν ἡμῶν πραγματεύόμενος Κύριος, δέδωκεν ἡμᾶς πᾶσι τοῖς ἔθνεσιν εἰς ὀνειδισμὸν, καὶ μυρίοις δεινοῖς τὴν ἡμετέραν ζωὴν, τὴν βέβαιαν ταύτην καὶ λυομένην περιεσοίχισεν, ἵνα κἂν ἕτως, καὶ μὴ θέλοντές πως, παρ' αὐτῦ εὐμηχάνως σωθῶμεν.

Τῶν γὰρ προειρημένων δεινῶν, τὰ μὲν εἰσὶν ἀφ' ἡμῶν αὐτῶν, καὶ ψυχικὰ ἀβρώσηματα· τὰ δ' ἀπὸ τῶν ἐκτὸς πάλιν, καὶ κοσμικὰ ταῦτα συμπλώματα· τὰ δὲ, καὶ πρὸς τῆς Προνοίας οἰκονομέμενα. Ἀλλὰ καὶ τῶν παρὰ τῆς προνοίας οἰκονομεμένων, καὶ τῶν ἀπὸ τῶν ἐκτὸς κοσμικῶν συμπλωμάτων, τὰ ἀφ' ἡμῶν καὶ ψυχικὰ ἀβρώσηματα πάντως αἴτια. Οὐ γὰρ ἐστὶν ἐν πόλει, φησὶ, κακία, ἣν ὁ Κύριος ἐκ ἐποίησε. Τετέσι λιμὸς, λοιμὸς, νόσος, καὶ σφαγὰς, καὶ πολέμος, καὶ ἔτι ὅμοιον. Ταῦτα γὰρ πάντα τῆς ἁμαρτίας εἰσὶν ἀναιρετικά· καὶ ἐ φύσει κακὰ, δοκῦντα δὲ, καὶ τῶν ἀληθινῶν καὶ φύσει κακῶν τὴν γένεσιν ἀναιρῦντα· ἤτοι τὴν τῶν ποικίλων ἁμαρτημάτων ἐνέργειαν. Οὕτω γῦν, καὶ ἐχ ὡς ἄντις εἴποι, ἅτε θεήλατοι, καὶ τῆς Θείας ἀγάπης ἀπερβλημένοι, ταῦθ' ὑπομένομεν. Οὐχ ἕτως, ἄπαγε! ἀλλ' ὡς υἱοὶ γνήσιοι, καὶ τοργῆς πατρικῆς ἀπολαύοντες, καὶ παιδείας. Εἴπερ, ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα Υἱὸν,

Τίον, ὃν παραδέχεται. Παιδευόμεθα ἓν παρὰ τῷ Φι- "
λανθρώπῳ Θεῷ καὶ Πατρὸς, ἵνα μὴ καὶ αὐτοὶ σὺν τῷ "
Κόσμῳ κατακριθῶμεν. Εἰ δὲ μὴ, τίνες εἰσὶν οἱ ἐγγίζον- "
τες τῷ Θεῷ; δεῖ γὰρ πάντως εἶναί καί τινας ἐγγυτέρω, καὶ πλησιεστέρους αὐτῷ. Τίνες ἦν ἄρα; Οἱ μετὰ πάσης ῥᾳστώνης βιῶντες, καὶ ζωοφθορίαις, καὶ ἀρρενομανίαις ἐγκείμενοι; ἢ οἱ μεθ' αἱμάτων ἐκχύσεως χρισιανικῶντες καὶ ὁμοφύλων τὰς Ἐκκλησιαστικὰς Ἀρχὰς ἀφαρπάζοντες ληστρικῶς καὶ τυραννικῶς; καὶ τίς ταῦτα νῷν ἔχων, καὶ φρένας ἐρεῖ; Εἰ δὲ μὴ θέλοντες ταῦθ' ὑπομένομεν, ἀλλὰ τά γε κακὰ θέλοντες πράττομεν. Εἰ δὲ καὶ δυχεραίνει τις ἡμῶν ἐπὶ τούτοις, ξένον ἐδέν. Τίς γὰρ πρὸς Ἰατρῶν καιόμενος, ἢ κοπτόμενος, ἢ φρίττει, καὶ λακτίζει, καὶ ἀπαναίνεται; Ἂν δὲ καί τις ἀπορῇ καὶ ἀχάλλῃ, πῶς ἃ τ' αὐτὰ καὶ οἱ ἐθνικοὶ πάσχουσιν ἁμαρτάνοντες; ἐννοείτω· Ὡς ἐπεὶ οὐκ ἔστιν ἀνάλυσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ σεσή- "
μασιν ἐν τῇ μάσιγι αὐτῶν, ἐν κόποις ἀνθρώπων οὐκ εἰσί· "
λοιπὸν ἐ μετὰ ἀνθρώπων, ἀλλὰ μετὰ δαιμόνων μαστιγω- "
θήσονται. Πρὸς τοῦτῳ μεμνήθω καὶ τῷ Προφητικῷ ῥη- "
τῷ: Ὅτι φυλάσσεται ὁ ἀσεβὴς εἰς ἡμέραν κακιῶ. Καὶ τῷ Ἀποστολικῷ: Εἰ δὲ χωρὶς ἐστὲ παιδείας, ἧς μέτοχοι γε- "
γόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ Υἱοί. Καὶ τῷ "
Εὐαγγελικῷ: Πλατεῖα καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα "
εἰς τὸν ἀπώλειαν. Οἱ μέντοι τῆς πίστεως ἐκπίπτοντες διὰ "
τὰ δεινὰ, καὶ δεινῶν δίχα ταύτης ἄλλως ἐκπίπτειν, διὰ τὸν ἐν τοῖς προσκαίροις προσπάθειαν, ἀληθῶς ἔμελλον. Εἰ καὶ ἡμῖν τὸ μέλλον ἐ πρόδηλον.

ΚΕΦΑΛ. ΜΖ'.

Τίνες αἰτίαι τῶν καθ' ἡμᾶς λυπηρῶν.

Εἴτις τὰς ἐπαγομένας ἡμῖν ἐκ Θεοῦ παιδείας ὁρῶν ἐξίσαται ἀπορῶν, μὴ μόνον ταύτας, ἀλλὰ καὶ τὰς γινομένας παρ' ἡμῶν ἀτοπίας λογιζόμενος, θαυμαζέτω πῶς ἐ φέρονται σκηπτοὶ καθ' ἡμῶν. Καὶ γὰρ ἐκ ἔστι κακίας εἶδος, ὃ μὴ διὰ βίου παντὸς ἐπιμελῶς μετερχόμεθα·

Δῆλον δὲ, ὅτι βαπτιζόμεθα οἱ μὲν, εἰς μίαν κατάδυσιν· οἱ δὲ, εἰς τρεῖς μὲν καταδύσεις, τοσαύτας δὲ καὶ τῆς Ἁγίας Τριάδος ὀνομασίας. Ὅτι οἱ πλείες ἡμῶν, ἐ μόνον τί ἐσὶ χρισιανὸς, ἀλλ' ἐδὲ τὸν σαυρὸν αὐτὸν ποιεῖν ἴασιν· ἢ, ἴασι μὲν, περιφρονῦσι δὲ τὸ ποιεῖν. Ὅτι οἱ Ἱερεῖς ἡμῶν ἐπὶ χρήμασι χειροτονῦνται· καὶ πρὸ τῦ γάμε, ὡς οἱ πολλοὶ, ὁμιλῦσι ταῖς ἑαυτῶν γυναιξίν. Ὅτι ἐπὶ δώροις ἡ τῶν ἁμαρτημάτων ἄφεσις, καὶ ἡ τῶν Θείων δώρων μετάληψις, δίδοται παρὰ τοῖς λεγομένοις πνευματικοῖς. Ὅτι Μοναςρίαις ἀναίδην συνοικῦσιν οἱ παρθενίαν ἐπαγγελάμενοι μοναχοί· Ὅτι τὸ Θεῖον ὄνομα βλασφημέμενον ἐκ ἐπεκδικῦμεν, ὀφείλοντες ὑπὲρ τέτε ἀποθανεῖν. Ὅτι τῶν ἐχθρῶν τῦ σαυρῦ τὸ κοινὸν ὄνομα, καὶ ἀλλήλες ὀνομάζομεν, καὶ σωεχῶς ἐπικαλύμεθα. Ὅτι καὶ ἡμᾶς αὐτὲς καὶ ἑτέρες, καὶ ἀναθεματίζομεν τὸ καθ' ἡμέραν, καὶ μυρίαις ἀραῖς ὑποβάλλομεν. Ὅτι πάντα ὅρκον, ἕντον ἅμα καὶ ἄῤῥητον ὀμνύομεν ἀδεῶς· καὶ εἰς τὸ τῦ Θεῦ καὶ Σωτῆρος φρικτὸν καὶ ἅγιον ὄνομα ἐπιορκῦμεν ὁσῶραι· καὶ ταῦτα προκειμένης ἀνάγκης μηδεμιᾶς. Ὅτι γογγύζομεν πρὸς Θεὸν, ὁτὲ μὲν πῶς βρέχει, ὁτὲ δὲ πῶς ἐ βρέχει. πῶς καύσονα ποιεῖ· πῶς ψύχος ἐργάζεται· πῶς τοῖς μὲν ἔδωκε πλῆτον, τὲς δὲ πενεσθαι συγχωρεῖ· Πῶς Νότος ἠγέρθη, πῶς πνέει μέγας Βορρᾶς· καὶ ἁπλῶς Κριταὶ καθιζόμεθα τῦ Θεῦ ἀδιάλλακτοι. Ὅτι πολλοὶ ἐξ ἡμῶν εἰς τὸ ὀρθόδοξον Πίσιν, εἰς τὸν Σταυρὸν, εἰς τὸν Νόμον, εἰς Ἅγιον, εἰς αὐτὸν βλασφημῦσι τὸν Θεὸν παῤῥησίᾳ, ὡς ἐδεὶς ἀσεβής· τῇ βλασφημίᾳ προσιθέντες καὶ ἄρνησιν. καὶ ἐδεὶς τῶν ἀκεόντων ἐπεκδικεῖ. Ὅτι τοῖς Ἑβραίοις χρώμεθα ἰατροῖς, καὶ τὰ τῶν ἐκείνων χερσὶ ψηλαφώμενα, καὶ μολυνόμενα τοῖς σιέλοις, ἀλογίσως ἐθίομεν. Ὅτι πνικτὰ, καὶ θνησιμαῖα, καὶ θηριάλωτα, καὶ αἵματα ζώων, ἀπερισκέπτως ὡς ἐθνικοὶ, οἱ ὀρθόδοξοι κατεσθίσιν. Ὅτι γυμνοὶ, ὡς ἐγεννήθησαν, ἐ μόνον Ἄνδρες, ἀλλὰ καὶ τὸ τῶν γυναικῶν φῦλον, καθεύδειν ἐκ ἐπαισχυνόντας. Ὅτι τὰς θυγατέρας αὐτῶν ἀνήβας παιδοφθορίᾳ παραδιδόασιν. Ὅτι

σολαῖς

φολαῖς ἀνδρικαῖς τὰς ἑαυτῶν γυναίκας ὑβύσιν. Ὅτι τὰς Ἱερὰς τῶν ἑορτῶν, αὐλοῖς καὶ χοροῖς, καὶ σατανικοῖς πᾶσιν ᾄσμασι, κώμοις τε καὶ μέθαις, καὶ αἰσχροῖς ἄλλοις ἔθεσιν ἐπιτελεῖν ἃ καταισχυνόμεθα. Ὅτι βλασφημίαις ἀῤῥήτοις, ἃς ἐδὲ γραφῇ θεμιτὸν παραδῶναι, τὸν μὲν Θεὸν ἀρνέμεθα, τῷ δὲ ἐχθρῷ προσιθέμεθα. Ὅτι κινοῦντες ἀτάκτως τὰς ἁγίας εἰκόνας, τὰ μέλοντα δῆθεν διὰ τῶν κινημάτων αὐτῶν τεκμαιρόμεθα. Ὅτι τὰ πλείω τῶν ἡμετέρων ἁμαρτημάτων ἀνεξαγόρευτα μένει, ὅθεν καὶ ἀσυγχώρητα. Ὅτι πάντα ἡμῶν τὰ τοῦ σώματος μέλη, ταῖς παρατηρήσεσιν, ὄργανα παρέχομεν τῷ ἐχθρῷ· κνησμῶν χειρῶν, καὶ ῥινὸς, παλμὸν ὄμματος, καὶ ὠτὸς ἦχον· καὶ ἁπλῶς τοῖς φυσικοῖς τῶν μελῶν κινήμασι τὰ μέλοντα τεκμαιρόμενοι. Ὅτι ταῖς ἀπαντήσεσι καὶ τοῖς χαιρετισμοῖς τῶν ἀνθρώπων οἰωνιζόμεθα. Ὅτι ταῖς τῶν κατοικιδίων ὀρνίθων φωναῖς, καὶ ταῖς πήσεσι καὶ κραυγαῖς τῶν κοράκων προσέχομεν, ὀρνεοσκοπέμενοι. Ὅτι ὥραις, καὶ τύχαις, καὶ μοίραις, καὶ ῥοιζικοῖς, καὶ ζωδίοις, καὶ πλανήταις, διοθυνώμεθα τὸν ἡμέτερον βίον, ὡς Ἀστρολόγοι πισθόντες ἀπατώμεθα. Ὅτι Νηρηΐδας ἐν θαλάσσῃ, καὶ στοιχεῖα ἐξάρχοντα κατὰ τόπους εἶναι πειθόμεθα. Ὅτι δευτέρας, καὶ τρίτας, καὶ πέμπτας, καὶ νεμηνίας, καὶ ῥύμας παρατηρέμεθα. Ὅτι τάς τε Συκᾶς, καὶ τὰς Σικυᾶς, καὶ τὰ τῆς οἰκίας στοιχεῖα, θυμιῶσι τινὲς ἡμῶν, καὶ ταῦτα ὀρθόδοξοι. Ὅτι ἀνθρακας καὶ φῶς τοῖς γείτοσιν ἡμῶν διδόναι παρατηρέμεθα· Καὶ τῷ Σελήνην νεάζουσαν προσκυνοῦσι τινὲς χαιρετίζοντες. Ὅτι Καλάνδας τελοῦμεν, καὶ Μαρτίᾳ περιάμματα φέρομεν, καὶ τὸν Μάϊον στεφανούμεθα, καὶ Κληδῶνας ποιοῦμεν, καὶ ὑπεραλλόμεθα τῶν πυρκαϊῶν. Ὅτι τοῖς ὀνείρασι προσέχομεν, καὶ μέλλον εἶναι πισθόμεν, καὶ Φυλακτήρια τραχήλοις ἐξαρτῶμεν τοῖς ἡμετέροις, καὶ μαντευόμεθα ταῖς κριθαῖς. Ὅτι Μάγοις καὶ Μάντεσιν, Ἀθιγγάναις καὶ Γόησι, προσκείμεθα ὁσημέραι. Καὶ ἐπὶ παντὶ ἀῤῥωστήματι τὸ βοηθοῦν ἡμῖν γοητεία. Καὶ θηρία δι' αὐτῆς, καὶ ἀνθρώπους, ὁτὲ

μὲν λύομεν, ἄλλο τε δὲ καὶ δεσμεῦμεν. Ἐπὶ ἀγρῶν εὐφορίᾳ, καὶ βοσκημάτων πληθυσμῷ, καὶ ὑγείᾳ, κυνηγεσίων ἐπιτυχίᾳτε, καὶ ἀμπέλων ἐπικαρπίᾳ, αἷ ἐπῳδαὶ ἡμῖν καὶ αφύγιον. Ὅτι πληθυόμεθα νῦν τῆς ἀρετῆς ἡ φυγὴ, καὶ αὔξεται τῆς ἁμαρτίας ἡ δίωξις· ἧς χάριν τὸ τῆς ἀγάπης ἐξώθη χρῆμα, ἀντεισήχθη δὲ ὁ τῆς βασκανίας ἐσμός. Ὅτι πᾶς ἀδελφὸς πλέρνῃ πλερνιεῖ, καὶ πᾶς φίλος δολίως πορεύεται. Ὅτι ἐμακρυώθη ἡ εὐσπλαγχνία, παρανάλωται ἡ συμπάθεια, ἀφῖκται τὸ μῖσος, καὶ ἐπληθυώθη ἡ ἰταμότης. Ὅτι οἱ Ἄρχοντες ἡμῶν ἄδικοι, οἱ ἐπισατοῦντες τοῖς πράγμασιν ἅρπαγες, οἱ Κριταὶ δωρολῆπται, οἱ μεσῖται ψεῦδεῖς, οἱ Ἀσυκοὶ ἐμπαῖκται, οἱ Ἀγροῖκοι ἄλογοι, καὶ οἱ πάντες ἀχρεῖοι. Ὅτι αἱ παρθένοι ἡμῶν ὑπὲρ πόρνας ἀναίσχυντοι, αἱ χῆραι περίεργοι τῦ δέοντος πλέον, αἱ ὕπανδροι καταφρονῦσαι καὶ μὴ φυλάττουσαι πίστιν, οἱ νεώτεροι ἀκόλαστοι, καὶ οἱ γηράσαντες πάροινοι· Αἱ Κανονικαὶ καθύβρισαν τὸ ἐπάγγελμα· οἱ Ἱερεῖς ἐπελάθοντο τῦ Θεῦ· οἱ Μοναχοὶ πάντη ἐτράποντο τῆς εὐθείας ὁδῦ· καὶ οἱ Κοσμικοὶ ὅλως ἔξω γεγόνασιν ἑαυτῶν, ὡς μόρφωσιν εὐσεβείας λόγῳ ἔξωθεν περικεῖσθαι, τὴν δὲ δύναμιν αὐτῆς ἔργῳ ἐνδοθεν ἀπαρνεῖσθαι. Ὅτι ὄψις ἡμῖν πόρνης ἐγένετο, καὶ πρόληψις ἁμαρτίας, πώρωσις ἅμα, καὶ λήθη, καὶ σκοτωσις· ὡς μηδὲ νομίζειν τὰ πάνδεινα κακὰ διαπρατόμενα, ἢ πάσχοντας, πράττειν ἢ πάσχειν δεινά. Διὸ καὶ πρὸς πάντα, καὶ πάντας, ἠναισχυντήσαμεν ἅπαντες. Εἰκῆ καὶ μάτην πᾶσαν αἱ διδασκαλίαι ἀνηλῶσθαι ἐοίκασι. Φλυαρία τις καὶ λῆρος, τὰ τῶν παραινέσεων εἶναι δοκεῖ, φιλοτιμίας ἀκαίρε εἰρῆσθαι, καὶ ἐνδείξεως ἕνεκα. Καὶ μᾶλλον τιμῶνται οἱ αἰσχρῶς ἄρτι ζῶντες, ἢ οἱ τῇ ἀρετῇ συζῆν διὰ βίε πειρώμενοι. Ἐκοπίασαν κράζοντες πᾶσαν ἡμέραν οἱ Ἅγιοι Πατέρες ἡμῶν. Τί με ἔδει ποιῆσαι, καὶ οὐκ ἐποίησα ὑμῖν; λέγει καὶ πάλιν ὁ Χριστός· Ὅτι οὐχ ἡμέρα, ἢ ὥρα παρέρχεται, ὅτε μὴ τὲς ἀδελφὲς ἡμῶν κατεθίομεν ταῖς συκοφαντίαις καὶ κατακρίσεσιν ἅπαντες. Ὅτι γαστριμαργίαις, μέθαις, πορνείαις, μοιχείαις, ἀκαθαρσίαις, ἀσελγείαις, ἔχθραις, ζήλοις, φθόνοις, καὶ κλοπαῖς συ-

ζῶσι

ζῶσι πολλοὶ ἐξ ἡμῶν. Ὅτι ἐγκόμεθα ὑπερήφανοι, ἀλαζόνες, φιλάργυροι, φίλαυτοι, ἀχάριστοι, ἀπειθεῖς, λειποτάκται, ἅρπαγες, προδόται, ἀνόσιοι, ἄδικοι, ἀμετανόητοι, ἀδιάλλακτοι. Εἶπω τὸ μεῖζον; ὅτι πολλοὶ τῶν τῆ Κλήρῳ ἀσελγαίνοντες, τῇ σεβασῇ τραπέζῃ προσίασι, καὶ ἱερεργεῖσιν. Ὦ φεῖσαι Κύριε! Τοῦτο πρὸ πάντων, καὶ ὑπὲρ ἅπαντα, θεοσυγεῖς ἡμᾶς εἶναι, καὶ δεινοῖς μυρίοις ἀνόχους ἐργάζεται. Καὶ ἐῶ τὰ ἄλλα, τὰ κοινῶς καὶ ἰδία, ἀναίδην καὶ κρύφα, γινόμενα παρὰ τοῖς πολλοῖς, ὡς σιωπῆς ὄντος ἄξια, καὶ γωνίας. καὶ σκότος. Ταῦτα τοίνυν, καὶ τὰ τοιαῦθ' ἡμῖν τὰς ἐκ Θεοῦ παιδείας ἐπάγει· τούτων αὐτῶν, καὶ τῶν τοῖς τοιούτοις ὁμοίων ἕσας κακῶν ἀναιρετικάς. Οὕτω καὶ γὰρ Κύριος παιδεύει τὸς ἑαυτοῦ.

ΚΕΦΑΛ. ΜΗ'.

Τῆς Ἁγίας Ἐκκλησίας Εἰκών.

Θαλάσσῃ ὁ ἀνθρώπινος ἔοικε βίος ἀγαπητοὶ, καὶ πελάγει δυσπεραιώτῳ, μυρίων σκοπέλων καὶ Πειρατῶν, καὶ πετρῶν ὑφάλων μεμεσωμένῳ. Μέσον δὲ τοῦ τοιούτου πελάγους, Ναῦς μεγάλη, πολλοῖς καὶ ἀπείροις περιαντλεμένη κύμασιν, ἡ τοῦ Θεοῦ ἔσηκεν Ἐκκλησία. κτλ. (†)

* * * * * * * * * * * * * * *
* * * * * * * * * * * * * * *

Εἰσερχόμεθα γῆν μετ' εὐλαβείας καὶ πίστεως καὶ σωδῆς, εἰς τὸν πνευματικὸν ταύτην Ναῦν· καὶ τὸς τῆς ἡμετέρας ψυχῆς καὶ ζωῆς ἐγχειρίζωμεν οἴακας τῷ ταύτης, καὶ πάντων Ἀρχοντι καὶ Κυβερνήτῃ Χριστῷ. Ἵνα τῇ αὐτοῦ δεξιᾷ κυβερνώμενοι εἰς ἀκυμάντους λιμένας, τὸς Ἀβραμιαίους κόλπους φθάσωμεν, τὸς μακαρίους ἐκείνους.

ΚΕΦΑΛ. ΜΘ'.

(†) Τὰ ἑφεξῆς κεῖται ἐν τῷ περὶ Καρτερίας Λόγῳ, ἐν τῷ Β'. Τόμ. Σελ. 426-428. ἄχρι τέλους, τοῦ τὸ Κεφάλαιον ἐνταῦθα κατασφραγίζοντος, ἄτω.

ΚΕΦΑΛ. ΜΘ'.

Ὅτι ἀναγκαιοτέρα τῶν Ἀρετῶν ἡ Ἐλεημοσύνη.

Τῦτο εἰμήτι ἄλλο ἀκριβῶς ἐγὼ ἐπισάμενος, ὡς ἀναγκαιοτέρα τῶν Ἀρετῶν ἡ Ἐλεημοσύνη, κτλ. (Ὅρα ἐν τῷ Β'. Λόγῳ τῶν περὶ Μελ. Κρίσ. Τόμ. Β'. Σελ. 400. στίχ. κθ. — Σελ. 401. στίχ. ιε. * * *

Ὅτι πᾶσα ἀρετὴ ἰῶ ἄν ποιήσῃ ἄνθρωπος, ἐντὶ ἐξὶν ὅ,τι αὐτὸν ἐκεῖνον ὠφελεῖ μόνον· ἡ δὲ ἐλεημοσύνη, ἑκατὸν ἐξίν· ὅτι εἰς τὰ μέλη τὰ τῦ Χριςῦ ἡ ὠφέλεια διαβαίνει. Ὥςε, εἰ βέλει πολλαπλασιάσαι τὰ σὰ, καὶ τιμιὼ τιμιὼ, καὶ τιμὶ ζωὶ σιὼ αὐτοῖς, δαπάνησον αὐτὰ ἐπὶ καλῷ, καὶ σκόρπιζε χρησίμως, καὶ γνήσεταίσοι πλέω. Μιμήθητι ἐν τέτῳ χρυσοχόες, Ἐμπόρες, καὶ Γεωργές. Οἱ ἐν τῷ δαπανᾶν καὶ σκορπίζειν καινεργῆσι τὰ ἑαυτῶν θαυμασῶς. (Ὅρα Αὐτόθι. Σελ. 403. στίχ. β'. — στίχ. λγ'.)

* * * * * * * * * * * * * * * *

Φέρε δὲ καὶ ἀπὸ κοινῶν ἐννοιῶν Ἴδωμεν τῆς ἀρετῆς ταύτης τὸ χρήσιμον. Καὶ ὡς ῥᾴδία ταύτης ἡ κλῆσις, καὶ πασῶν ἀναγκαιοτάτη τῶν ἄλλων. (Ὅρα Αὐτ. Σελίδι 401. στίχ. ιή. Σελ. 402. — στίχ. ἄχρι τέλες.

* * * * * * * * * * * * * * * *
* * * * * * * * * * * * * * * *

Εἰ εἶπεν ὁ Βασιλεὺς πρὸ τῆς ἀναῤῥήσεως, ὅτι δραξάμενος τῆς ἀρχῆς, ἐδενὶ μεταδώσω τῶν ἐμῶν ἀγαθῶν. Οὐδὲν ἀξίωμα παρέξομαι τινί· ἐμοὶ πάντα ἡτοίμασαι πρὸς ἀπόλαυσιν· ἐκ ἂν τῆς ἀναῤῥήσεως ἠξίωτο, καὶ τῆς σκηπτεχίας ποτέ. Καὶ πᾶς ἀξιωματικὸς, εἰ ἀμετάδοτος ἐγίνετο τῶν ὧν ἔχει πρὸ τῆς ἀξίας, ἐκ ἂν εἰς ταύτιω ἀνεβιβάζετο. Εἰ εἶπεν ἡ οἰκία, ἑαυτιὼ θέλω μόνιω σκέπειν· καὶ ὁ λύχνος, ἐμαυτῷ φαίνειν· καὶ ἡ κλίνη, ἐμαυτιὼ βαςάζειν· καὶ τἄλλα τῶν σκευῶν, ἡμῖν αὐτοῖς τιὼ ἡμῶν χρείαν κατάχωμεν· ἐκ ἂν πάντα γέγονεν ἄχρηςα;

Εἰ ἡ

Εἰ ἡ κιθάρα τιὼ τῶν φθόγγων ᾠδιὼ ἑαυτῇ φυλάξει. καὶ τ' ἄλλα τῶν ὀργάνων, τὰς ἑαυτῶν φωνὰς εἰς ἑαυτὰ περισήσει· εἰ τ' ἄνθεα τιὼ ἑαυτῶν ὡραιότητα καὶ τιὼ εὐωδίαν· αἱ ῥίζαι τῶν βοτανῶν, καὶ τῶν λίθων αἱ τίμιαι, τὰς δωσάμεις μὴ μεταδώσουσι· τί ὄφελος αὐταῖς τῶν δωσάμεων; Εἰ τὸ μῦρον, τιὼ ἐξ αὐτῆ εὐωδίαν ἑαυτῷ περικλείσει. αἱ πηγαὶ, τὰ νάματα· αἱ νεφέλαι, τὰς ὑετούς· τὰ δένδρεα, τὰς καρπούς· ὁ Ἥλιος ἕτος, τὸ φῶς· Οὐκ ἂν καὶ τὰς ἐνεργείας, καὶ τὰ ὀνόματα σωαποβαλεῖται τῇ Φειδωλίᾳ; Εἰ τὰ ζῶα, τὰς ἑαυτῶν δελεάσεις, ἢ χάριτας, φυλάξει δ' ἑαυτά· ὁ Βοῦς, τὸ ἕλκειν· ὁ ἵππος, τὸ φέρειν· τὸ φυλάσσειν, ὁ Κύων· καὶ ἁπλῶς τιὼ ἑαυτῆ ἕκαστον· ἐκ ἂν ὡς μηδὲν, καὶ ὡς ἀχρεῖα παρ' ἡμῶν νομισθείη; Εἰ βελητὴ ὁ Γεωργὸς μηδενὶ μεταδῶναι τῶν ὧν ἀθροίζει ἐκ τῶν χωρῶν· τῆς ἰδίας τέχνης ὁ χαλκοτύπος· ὁ μυρεψὸς, ὁ ποιμὴν, τῶν τεχνιτῶν ἕκαστος· ἐκ ἂν πᾶσα τέχνη, καὶ πάντες εἰχήσονται εἰ τεχνῖται; παντίπα δῆλον. Οὕτω λοιπὸν ἀπωλεῖται καὶ πᾶς ἀμετάδοτος ἄνθρωπος.

Πάλιν, εἴπερ ἠθέλησεν ὁ Πατριάρχης εἰπεῖν, ἐδενὶ μεταδίδωμι τῶν ὧν ἔχω χαρισμάτων ἐκ τῆ Θεῆ· ὁ Μητροπολίτης, ὁ Ἐπίσκοπος, ὁ Πνευματικὸς, ὁ Ἱερεὺς, ὁ Διδάσκαλος· ὡς τίνες ἔμελλον οἱ πάντες νομίζεσθαι; μᾶλλον δὲ, τίποτε ἔμελλον εἶναι; Ἐὰν ἡ πόλις ἐβελήθη, μηδὲν τῶν αὐτῆς καλῶν μεταδῶναι ταῖς ἄλλαις τῶν πόλεων· αἱ ἤπειροι ταῖς Νήσοις· ἡ τῶν Ἰνδῶν, τῇ Σύρων· οἱ Ἀσυκοὶ τοῖς Ἀγροίκοις, καὶ τὸ ἀνάπαλιν· οἱ πλέσιοι τοῖς πόνοις· καὶ οἱ πλωχοὶ τοῖς πλησίοις ἂν μὴ ἐπιδώσωσι τῶν οἰκείων, ἀφανισμῷ σὺν τοῖς πράγμασι παραδίδονται. Εἰ εἶπεν ὁ ὀφθαλμὸς τῆ σώματος, ἐμαυτῷ βέλομαι βλέπειν. ὁπῆς, δι' ἐμὲ περιπατεῖν· ἡ χεὶρ, δι' ἐμὲ κρατεῖν· ἡ καρδία, δι' ἐμὲ καὶ μόνῳ καταχω τιὼ ζωιὼ· ἐδενὶ τῶν ἐμῶν ἄλλῳ δίδωμι· ἐδὲ χρείαν τῶν λοιπῶν μερῶν ἔχω, ἐδὲ τῶν ἔργων αὐτῶν· ἐκ ἂν πάντα ἠφάνισαι;

Ὡς ἓν ἅπαντες διὰ τῆς μεταδόσεως τῶν ἰδίων, καὶ δοξάζονται, καὶ εὐτυχῆσι, καὶ μεγαλιώνονται· καὶ πάντα δι' αὐτῆς

δι' αὐτῆς σιωίζεται, καὶ διακρατεῖται, καὶ σώζεται τὰ ἐν τῷ κόσμῳ, ἕτω καὶ σὺ, διὰ τῆς χρηστῆς μεταδόσεως, ἤτοι τῆς ἐλεημοσιώης, καὶ ὑψώθητι ἕως ζῆς, καὶ δοξάσθητι ὑπ' ἀνθρώποις, καὶ σώθητι ὑπὸ Θεοῦ. Ἐλεημοσιώην δὲ λέγω, οὐχ ἵνα ἐλεήσης ἕνα καὶ ἅπαξ· ἀλλ' ὡς ἂν ἐλεῇς παντὶ τρόπῳ, πάντας, καὶ πάντοτε. Τὸν μὲν, ὡς συγγενῆ· τὸν δ' ὡς φίλον· καὶ τὸν μὲν ὡς γείτονα, τὸν δὲ ὡς γνώριμον, τὸν δέγε ὡς ἄνθρωπον. Καὶ τὸν μὲν λόγῳ, τὸν δὲ ἔργῳ, τὸν δὲ πράγματι. Καὶ τὸν μὲν βρώμασι, τὸν δὲ πόμασι, τὸν δὲ ἐνδύμασι. Καὶ τὸν μὲν ζέγη, τὸν δὲ παραμυθίᾳ· καὶ τῦτον μὲν ὡς ἀθενῆ, ἐκεῖνον δὲ ὡς χρεώστιν, ἄλλον δὲ ὥστι σοι πλαίσαντα. Καὶ ἁπλῶς ἅπασι τρόποις οἷς δυνάσαι. Πολλοὶ γὰρ ἕνα μὲν ἐλεῦντες, τῶν δὲ λοιπῶν ἀμελῦντες, παραπλήσιον ποιῦσιν, ὡς εἴτις πατὴρ ἢ Κύριος ἔξ ἔχων τέκνα, ἢ δέλες τοσύτες, ἢ ἀδελφὲς ἄλλος, τῦ ἑνὸς παντοίως ἐπιμελέμενος, τῶν λοιπῶν ἀμελοίη· Ὡς γὰρ ἂν ὁ ὀφθαλμὸς τινὶ πρόνοιαν, ἵν ὑπὲρ τῦ παντὸς σώματος ἐπισκόθη, εἰς τινὶ χεῖρα περιςήσας, τῷ παντὶ λυμαίνεται σώματι· ἕτω δὴ καὶ ἡμεῖς. Ἂν τινὶ εἰς πάντας ὀφειλομένην ἀγάπιν εἰς ἕνα περιςείλωμεν, τὲς λοιπὲς ἀδικῦμεν. Διὸ καὶ ὁ Κύριος, ὐ μόνον εἰς πεινῶντας, ἀλλὰ καὶ εἰς διψῶντας, καὶ ξένες, καὶ γυμνὲς, καὶ ἀρῤῥώστες, καὶ τὲς ἐν φυλακαῖς, τινὶ ἐλεημοσιώην ἡμῶν ἐκλεινεθαι ἐνετείλατο· ἵνα πάντας τὲς δυσυχῦντας ἕτω παραμυθώμεθα. Κἀκεῖνο δὲ χρὴ σκοπεῖν, καὶ μάλα συμφέρει· Ὅτι, ὡς ἐπὶ πάντων τῶν ἀδικεμένων, οὐχ ὁ πάσχων κακῶς, ἕτος ἐςὶν ὁ ἀδικέμενος, ἀλλ' ὁ ἀδικῶν μᾶλλον· ἕτω καὶ ἐπὶ τῆς ἐλεημοσιώης, οὐχ ὁ πάσχων εὖ, ἐςὶν ὁ εὐεργετέμενος· ἀλλ' ὁ εὐεργέτης καὶ εὖ ποιῶν, τὲ εὐεργετεμένε, πολλῷ τῷ μέσῳ καὶ εὐεργετῆται, καὶ ἐλεεῖται παρ' ἑαυτῦ. Ὃ καὶ παράδοξον.

ΙΩΣΗΦ ΒΡΥΕΝΝΙΟΥ
ΕΠΙΣΤΟΛΑΙ.

Α'.

Τῷ Μεγάλῳ Σακελλαρίῳ τῆς Ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας· Ἀρχιδιακόνῳ καὶ Διδασκάλῳ τὰ Θεῖα· Κυρῷ Θεοδώρῳ (*) τῷ Μελιτινιώτῃ· Ἐν Πόλει.

Πολὺς μὲν ἐμοὶ τῶν σῶν λόγων τέτηκεν ἔρως, καὶ διάπυρον σφόδραμοι καὶ διακαὲς, τὸ πρὸς σὲ, Μάκαρ, φίλτρον. Ἀλλὰ καὶ τὸ διεῖργον μεταξὺ, πολὺ πάντως διάσημα· καὶ ὃν ἔχω πῶς ἂν ἐμποδὼν ἅπαν, ὥστινα κλοιὸν, ἀποτιναξάμενος, πρὸς τὸν πεποθημένον ἀφίξομαι. Μόνον δέ σε νοερῶς ἐνοπλίζομαι, καὶ τοῦ νοῦ κυφίαις συγγίνομαι ταῖς ἀναπολήσεσιν, αὔλοις ἀναζωγραφῶν σε χρώμασι, καὶ εἰκόνα παρ' ἑαυτῷ τῆς ἡδίστης μοι φέρων ὄψεως. Καὶ τοῦτο μοι τοῦ πόθου μετρία τις ἀφοσίωσις, καὶ τοῦ ἐλλείποντος ἀμωσγέπως καθέστηκεν ἀναπλήρωσις, διαπνοιῶ τινα μικρὰν τῷ πυρὶ τοῦ πόθου παρέχουσα. Ἐπάγονται δέ με οἱ Σοὶ θεαταὶ ἔρωτες, ἀ τὸ περιὸν μόνον τῆς σῆς ἀρετῆς, ἢ τὸ ἀν' λόγοις ἀπαράβλητον, ἢ τὸ πρὸς παιδείαν πᾶσαν ἀνθρώπινόν τε καὶ Θείαν ἄκρως εὐδόκιμον· δι' ἃ πάντα, ἄγαλμά σε ἄντις ἰχνηλατοῖτο τῆς Φύσεως, καὶ μέγιστον ὡς ἀληθῶς Φιλοτίμημα· ἀλλὰ καὶ τὸ σὸν ἐπιῤῥεπὲς εἰς ἐμὲ καὶ Φιλόεργον, ἐξ ὃ ἄρα τὸ σὸν ἔχω καταμανθάνειν, ἵν' ἔτως εἴπω, Θεοειδὲς, καὶ τιὰ ἄνδρα πρὸς τὸ καλὸν γνησιότητα· ναιμιὼ καὶ τιὰ εἰς μέγιστον ἐπαίρουσαν

(*) Ἕτερος ἔτος (καίτοι προσηνὴς δοκῶν) Κωνσταντῖνε τοῦ Μελιτινιώτου· ὃς Ἀρχιδιάκονος ὢν τοῦ Βέκκου, καὶ ὑπατὸς, ἐν Ἔτει 1234. ἐπὶ τῆς ὑπεροχίας τὸ ζῆν κατέῤῥιψεν.

ἐπαίρεσαν ὕψος ταπείνωσιν. Ὅτι τὸν μηδὲν ὄντα, πρὸς τὴν σὴν ἀγχίνοιαν συγκρινόμενον, ἐπὶ μέγα ἐξῆρες, καὶ ἔσεργες ἄκρως, καὶ μετὰ πολλῆ ἦγες τῆ θαύματος. Ἐπὶ τούτοις ἔν ἔχων χάριν εἰδέναι σοι, πῶς τῶν σῶν ἐπιλήσομαι; Πῶς δὲ διὰ τέλους σε σέβω, καὶ πολυέραστόν τι σὲ χρῆμα καὶ ἐρασμιώτατον θήσομαι; Ἀλλὰ τούτων μὲν ἄλις· Χάριν δὲ ἔχον ὅτι πλεῖσον Θεῷ, πυθόμενός σε γενναιότατα τοῖς ἐναντίοις ἀντιταξάμενον, καὶ πᾶν σόμα λαλῆν ἀνομίαν ἐμφράξαντα, καὶ κιννῶν ὑλακὴν τὰς ἐκείνων φλιαφοὰς ἐλέγξαντα· ὥστε καὶ ἰχθύων ἀφωνοτέρας, καίπερ ἐπὶ λόγοις μέγα φρονοῦντας, ἀποτελέσαι· ἀραχνίων ὑφασμάτων εὐκινήτοις διανοιοχέναι τὰς ἐκείνων παραλογισμὰς ἀπελέγξαντα· καὶ λαμπρὰν ἤδη τὴν κατ' αὐτῶν ἀράμενον νίκην, καὶ περιφανῆς καὶ μέγα σημάμενον τρόπαιον. Ἀμέλει παρίσταταί μοι μὴ ἀμφιγνοεῖν ὁπωσοῦν, ὅτι σοι εἰκότως καὶ ὁ τῆς δικαιοσύνης ἀπόκειται στέφανος, ὃν ὁ δίκαιος, Κριτὴς κατ' ἐκείνην ἀποδώσει σοι τὴν ἡμέραν, τὸν δρόμον ἤδη κατὰ τὸν Παῦλον τὸν Μέγαν τετελεκότι, καὶ τὴν πίστιν, μὴ ὅτι τετηρηκότι, ἀλλὰ καὶ κρατώναντι· καὶ κλινομένην ἐν μέρει, καὶ πεσεῖν κινδυνώδουσαν στηρίξαντι τοῖς στερροῖς τῶν λόγων ἐρύμασι. Μακαρίζω σε τοιγαροῦν τῆς ἐν λόγοις περιουσίας· τὸ περὶ τὴν εὐσέβειαν ζῆλος, καὶ τῆς θερμότητος· τῶν ὑπὲρ ἐκείνης ἀγώνων, καὶ τῆς γνησίας ἐνστάσεως. Μακαρίζω σε τῆς νίκης, καὶ τῶν τροπαίων, ἃ κατὰ τῶν ἐξ ἐναντίας ἀνέστησας. Τῶν ἐπὶ τοῖς ἀγῶσιν ἐκείνοις στεφάνων, καὶ τῶν ἐν ἐρανοῖς ἀμοιβῶν, αἳ λαμπραί σοι καὶ περιφανεῖς ἠντρεπίσθησαν· ὧν κατὰ τὴν φοβερὰν ἐκείνην, εὖ οἶδα, ἀξιωθήσῃ ἡμέραν, ἐν ᾗ κἀμοί εἴη, σοῦ εὐχαῖς, οἰκτιρμῶν μὴ παντάπασιν ἀμοιρῆσαι Δεσποτικῶν. Ἐρρωμένος εἴης καὶ ὑγιαίνων ψυχῇτε καὶ σώματι, τῆς Θείας σοι διὰ βίου παντὸς συμπαρομαρτούσης χάριτος, καὶ τὸ πρὸς ἅπαν σκαιὸν περιποιουμένης ἀνάλωτον. Τῷ ἐν Μοναχοῖς ἐλαχίστῳ, ὃν ἡ Φήμη ἐκ νέου, Βρυέννιον Ἰωσὴφ ἐγνώρισεν.

Β'.

Τῷ εὐλαβεστάτῳ καὶ λογιωτάτῳ αὐ Ἱερεῦσι Κυρῷ Νικήτᾳ τῷ Μυρσινιώτῃ (*) αὐ Ῥόδῳ.

Τῆς Ἐπιστολῆς ἤθελον μὲν καὶ τῷ κάλλει τῶν ὀνομάτων, καὶ τῇ τῶν ἐννοιῶν πυκνότητι, καὶ τῇ διὰ πάντων εὖ καὶ καλῶς ἐχούσῃ συνθήκῃ, καὶ τοῖς ἄλλοις, οἷς τὰς καλὰς Ἐπιστολὰς κοσμοῦσιν, οἱ καλῶς ἐπιστέλλειν εἰδότες· τὸ μέντοι μέτρον καὶ μᾶλλον ἐπῄνεσα, ὅτι μηδὲν, ἢ τῶν δεόντων ἐνεῖναι, ταύτῃ ἐνέλιπες· ἢ τῶν μὴ δεόντων προσέθηκας. Ἀλλ' ἰὼ, ὅπερ ἂν εἴποι τις ἀληθῶν, καλή. Προσετίθεις δὲ τῷ κόσμῳ, καὶ ὅπερ αὐτὸς ἐβουλόμην, καὶ ὑπὲρ ἧς σοὶ πολλάκις δεδέημαι μὲν, ἐπειθον δὲ· λέγω δὴ, τὸ ἀφελεῖν τῶν εἰς ἐμέ σε ἐγκωμίων πολὺ, ἐρρῶσθαι φάσκων τῇ ἀμετρίᾳ. Οὕτω γὰρ γράφε· καὶ σαυτῷ καὶ ἐμοὶ τήρει τὸ μέτρον, ὃ παρὰ πάντων μὲν ἐπαινούμενον οἶδα, τηρούμενον δὲ πρὸς μόνων τῶν ἀρετῇ συζῆν αἱρουμένων. Ὡς τότε χωρὶς, μηδὲν αὐτοῖς τῶν πολλῶν κατορθωμάτων ὄφελος ὄν. Ὧν σύα καὶ σὲ πεπεισμένος, βουλοίμην ἄν σε πανταχῆ τὸ μέτρον τηρεῖν· τοῦτο, καὶ τὸ μηδὲν ἄγαν προσάπτοντα. Ἄλλως θ' ὅτι τοῖς παρὰ καιρὸν ἐπαίνοις, ἐμὲ μὲν ἂν βέλτιω ποιήσεις· Οὐ γὰρ, ὅπερ εἰμὶ, τοῦτ' εἶναί με πιστεύσαι ποτὲ πείσεις. Σὺ δὲ, ἅπερ ἐμοί σοι σιώπα χαριζόμενος, πρὸς τῷ ψεύδεσθαι, καὶ κόλακος δόξαν προσλήψῃ. Ὅ σε παθεῖν εἰκός. Ἄνδρα τὸν βίον παντὸς ἀληθείαν προσηκάμενον. Περὶ μὲν ἓν τότε βελτίωσον· καὶ πάντας τοὺς λοιποὺς σαυτῷ, καὶ ἐμοὶ, συμμέτρους πέμψεις ἐπιστολάς· Ἵνα μὴ, τὸ παρὰ τὸ πρέπον ἐπαινεῖν με, αἴτιόν σοι γένηται τοῦ τῶν ἐμῶν, ὧν φῂς ἐρᾷν, Ἐπιστολῶν ἐρημίας.

Σιγήσομαι

(*) Οὗτος τῶν πάνυ ἐπισήμων ἕτος ἔοικε γεγονώς. Ὅλον δῆλον ἔκτε τῶν ἐρωτημάτων, καὶ ἐκ τοῦ τρόπου ᾧ τοῦτον μέτεισι Βρυέννιος, οἷα πρὸς Μαθητὴν ἀπάντων. Διὸ δὴ μνείαν αὐτοῦ ποιεῖται, Ἰωάν. Ἄλβερτ. Φαβρίκ. ἐπὶ τοῦ Καταλόγου τῶν ὁμωνύμων Νικητῶν, ὧν ἐν τῶν αὐτοῦ Σχεδαρίων ἐξέθετο. Βιβλ. Τόμ. ε'. Σελ. 429-435.

Σιγήσομαι γὰρ, μὴ δόξω γράφειν ἐπαίνων ἐπιθυμία. Περὶ δὲ τῶν δὶς ἑπτὰ ζητημάτων ὧν με ἠξίες ἐκθέσθαι σοι ἀνεπεργάστως, ἰδὲ ταῦτα ἐκλίθεμαί σοι, καὶ ὅσον οἷόν τε κατὰ Σιὼπιν. Ὅτι ἡ πάντων Κυρία Θεοτόκος, μετέση μὲν, ἐκ ἀνέση δέ. Ὁ Θεολόγος Ἰωάννης ἀναμφιβόλως κεκοίμηται· πλὴν ἔτι τοῦτο ζητεῖται τοῖς πλείοσιν. Ὁ Θεοδόχος Συμεὼν Ἱερεύς ἐστὶ, μὴ ἀμφίβαλλε. Αἱ τῶν Ἁγίων ψυχαὶ ἐκεῖ εἰσὶν, ὅπε αὐτὸς ὁ Θεός. Ἐν τῇ μελλόσῃ Μακαριότητι, τὶ γνῶσιν τῶν ὄντων, ἢ ὄντων, ἐχ ἕξσι τελειοτέραν οἱ Σοφοὶ τῶν ἀσόφων, ἐδέ γε οἱ ἐπιστήμονες τῶν ἰδιωτῶν· ἐπεὶ ἐ πᾶσι τοῖς ἕσι τὸ γινώσκειν ἕν, καὶ τὸ γινωσκόμενον αὖ, ὁποῖον ἄν εἴποις, ἕν ἐστί. Πρὸς πάντων πατέρων καθαιρεθέντας τὲς τῶν Ἰταλῶν Ἱερεῖς ἡγεῖ, καὶ πρό γε πάντων, τὸν ἑαυτῶν πρόκριτον. Τὰ μέν τοι παρ' αὐτῶν ἱερεργέμενα Ἅγια, Ἅγια πάντα καὶ τέλεια νόμιζε, καθάπερ ἄρα καὶ τὰ πρὸς τῶν ἐν ἡμῖν καθηρημένων τελέμενα. Μέλλων Βασιλεὺς, ἕν ἀκάεις, ἕτω παρὰ πολλοῖς προαδόμενον, ὁ Χριτὸς ἐστίν. Ἡ πόλις ἔτε παραδοθήσεται τοῖς ἀπίστοις, ἔτε τ' αὐτὰ τῇ Ἱερσαλὴμ πείσεται, ἐπεὶ ἐχ ὅμοια ἥμαρτε. Πεφόνδται Ζαχαρίας ὁ τὸ προδρόμε Πατὴρ, τῷ τὶ Θεοτόκον ἱτᾶν μετὰ τῶν παρθένων. Εἶγε ἐ προκόπλεσιν ὅλως οἱ Ἄγγελοι, ἢ ὡς ἄλογοι μένεσιν, ἢ καταληπλὸν αὐτοῖς τὸ ἄπειρον γέγονεν· ἅπερ ἀμφότερα πρὸς τῷ ψόδει, καὶ τὸ βλάσφημον ἐπιφέρεται· Ὁ Χρυσόσομος ἐκ ἐμνήθη τῷ Θεολόγε ἐν τοῖς οἰκείοις Συγγράμμασιν, ὅτι μηδ' ὁ Λεκᾶς τῷ Ματθαίε· ἢ τῷ Ἡσαΐε ὁ Δανιήλ. Εἰς ἀρετὶν ἐ προκόπλομεν, ὅτι καὶ πρὸ τῷ τὸ καλὸν τελέσαι, ἐπιχειρῆσαι δὲ τῦτο μόνον, ἐχ ὡς ὀφείλοντες τῦτο, ἀλλ' ὡς μεγάλα τινὰ τῷ Θεῷ χαρισάμενοι διακείμεθα, καὶ ὀφειλέτιω αὐτὸν ἔχειν εὐθὺς φανταζόμεθα: καὶ τὲς λοιπὲς ἅπαντας, ὡς μὴ τῦτο κατορθωκότας, εὐτελεξέρες ἡμῶν αὐτίκα, καὶ Θεῷ ἀσόργες ἡγέμεθα. Ὅταν παραδῶ τὶν Βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, ἐκ ἀποθήσει, φησίν· ἀλλ' ὅτι ταύτιν ὑφ' ἑτέρων κατεχομένιν ἐκπάσας, προσάζει τῷ ἰδίῳ Πατρί. Ὅτι ἡ μὲ ὄψις, τὰ τῶν

σωμάτων

σωμάτων ἐπιπόλαια μόνον βλέπει, ἡ δ' ἀκοὴ τὰ τῶν ψυχῶν βάθη, καὶ πάντα τὰ νοητὰ παρέχει ἡμῖν καθορᾶν, τῆς πρώτης ἡ δευτέρα χρησιμωτέρα. Οὕτω μὲν ἔν ταὐτὰ σοι λέλυται τὰ ζητήματα. Σὺ δ' ἐν πᾶσιν ἐν οἷς ἀπορεῖς τὰς αἰτίας, τούτων τὰς λύσεις τῷ μέλλοντι ταμιεύειν αἰῶνι ἐν Πνεύματι. Ἐρρωμένος εἶης, καὶ ὑγιαίνων ψυχῇ τε καὶ σώματι, τῆς Θείας σοι χάριτος ἀεὶ συνεργούσης, καὶ ἅπαν ἀβέλτητον τιθεμένης ἀτέλεστον. Τὸν ἐν Μοναχοῖς ἐλαχίστου Ἰωσὴφ, ὃν τινὰ ἐπίκλησιν ἡ Φήμη Βρυένιον οἶδε καλεῖν.

Γ'.

Τῷ Μεγάλῳ Χαρτοφύλακι τῆς Ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, καὶ Ἀρχιδιακόνῳ Κυρῷ Ἰωάννῃ τῷ Ὁλοβόλῳ (*) ἐν τῇ Βασιλευούσῃ τῶν Πόλεων.

Ἐπεισιν εὐδαιμονίζειν καὶ κατὰ τοῦτο μὲν τὴν Βασίλειον πόλιν, καὶ εὐφημιῶν ὅσων αὐτὴν καὶ μακαρισμῶν ἀξιῶν, ἐφ' ᾧ τοιόσδε πολίτας πεπλούτηκεν, εὐγενεῖς τὸ σῶμα, εὐγενεῖς τὴν ψυχὴν, πλουσίους τοῖς χρήμασιν, ὀλβίους τῇ ἀρετῇ, ἐνδόξους τε ἀξιώμασι, λαμπροὺς τῇ σοφίαν, οἷον μοι καὶ σὲ πανολβιώτατε Αὐτὴ προλέγκε. Καὶ γὰρ τοσοῦτον σοι τὸ ἐν πᾶσι καλοῖς περιδέξιον πέφυκε, λέγω δὴ τὸ τῆς γένεσ ἐπίσημον, τὸ πρὸς τὴν εἰς Θεὸν εὐσέβειαν θερμὸν καὶ διάπυρον, τὸ πρὸς πᾶσαν ἀρετῆς ἰδέαν ἐπιῤῥεπὲς, τὸ ἀγχίνουν τῆς διανοίας καὶ ὀξὺ, καὶ ἐχ ἧκιστα εὐεπήβολον, ὡς καὶ πολλὰς ἐρᾶν σε διερεθίζειν, καὶ πρὶν ὄψεως θεατὰς γενέσθαι τῆς σῆς, καὶ τῶν σῶν καλῶν ἀπολαῦσαι ὁπωστιοῦν, ἢ τῆς σῆς ὅλως φιλίας πεῖραν σχεῖν. Ἐγὼ δὲ καὶ ἀκοῇ ὠτὸς ἧκουσά σε, καὶ

(*) Οὗτος τῷ Ῥήτορι ὁλοβόλῳ, τῷ ἐπὶ Μιχαὴλ τῷ Παλαιολόγῳ, τὴν Τραγικὴν ἐκείνην ἄθλησιν ὑποστάντι (περὶ ἧς Γεωργ. Παχυμ. τῶν εἰς Μιχαὴλ, Βιβλ. Ε'. Κεφ. Κ'.) ἐχ ὅπως (ἢ δοκεῖ) τὴν σαρκίνην καὶ κάτω, ἀλλὰ καὶ τὴν κατὰ πνεῦμα καὶ ζῆλον συνῆπτο συγγένειαν· ὡς δῆλον, ἐξ ὧν αὐτῷ πλέκει ἐπαίνων ὧδε Βρυέννιος.

αὐταῖς εἶδον σε ὄψεσι, καὶ λόγων κοινωνὸς ἐγενόμην, καὶ συνείμί σοι ἀεὶ τῇ ψυχῇ. Καί σε τῷ ἱμέρῳ τυραννηθεὶς, καὶ τῶν ἐρώτων ἀλώσιμος γεγονὼς, πειρῶμαι καὶ διὰ τοῦ παρόντος σε ἐπισπάσασθαι γράμματος· τοιοῦτον μοι θαυμάσιε τὸ πρὸς σὲ διακείμενον, καὶ τοιαῦτα με ἐλπίδες εἰς τλὺ σλὺ προσδιαλαλιὰν διὰ τῆς παρέσης Ἐπιστολῆς κεκινήκασι. Πείθει γάρ με, ὡς ἐκ ἀνεπίστροφάσοι ἔσαι τὰ καθ' ἡμᾶς, πρῶτον μὲν ἡ προϋπάρξασα πρός με Φιλία τῆς σῆς λογιότητος· εἶτα καὶ συχναὶ ταύτης ἐπαγγελίαι, λοίκα ἐξερχομένῳ με τῆς πόλεως ὑπισχνῆ μηδαμῶς ἐπιλήσεσθαι· Ἔπειτα καὶ ἡ ἐμπεφυκυῖα τῶν τρόπων σοι ἐπιείκεια· ἥ σε ἄρα καὶ πρὸς εὔνοιαν, ἐ τλὺ εἰς ἐμὲ μόνον κινήσειεν ἄν, ἐχηκόται ἴσως τὸ ἐπαγωγὸν ἔκτε τῆς πάλαι σωηθείας, καὶ τῶν λόγων αὐτῶν· ἀλλὰ καὶ ὁπωσδήποτε ἔχοντα, κἂν καὶ ὁ λίαν ἦ εὐτελέσατος. Ἐπαίνες μὲν ἓν διεξιόναι τὰς σάς· καὶ ὅσοις σε Φύσις ἅμα καὶ τρόπος ἐκόσμησαν τοῖς καλοῖς, μακρῶν ἂν ἡμῖν δεήσειε λόγων, καὶ μείζονος ἄρα ἢ κατὰ τὸν παρόντα καιρόν· Εὐχαῖς δέ σε, ἀντὶ τούτων, δεῖν ἔγνων τὸ τέως Φιλοφρονήσασθαι, ὅπερ ἄρα καὶ σοὶ ποθεινότερον. Εὔχομαι ἓν, καὶ ἐπὶ πολὺ μὲν τὸν τῷ παρόντος βίῳ ἐκλαθιῶαι σοι δρόμον, χρησίμης, εὖ οἶδα, ἅσης σε τῆς ζωῆς εἰς πολλῶν λυσιτέλειαν· εὐμαρῶς δέσοι τοῦτον, καὶ πάσης ὕπερθεν δυχερείας ἀνύεσθαι. Τῶν μέντοι σοι κατ' ἀρετλὺ προτερημάτων ὁσημέραι ἐπιδιδόντων, ἀεὶ πρὸς τὸ ἔμπροσθεν ἐπεκτείνοιο, καὶ Θεῷ ἐγγύτερον γένοιο· μέχρις ἄν, τῆς τοῦ βίου προθεσμίας διλυυσμένης σοι, τρανώτερον αὐτῷ προσελάσῃς, καὶ καθαρώτερον. Εἰς παῖδας σοι καὶ ἀπογόνες ἄχρι καὶ αἰῶνος τερμάτων, τὸ κατὰ τὸν βίον ἅμα καὶ τλὺ ἀρετλὺ διαβαίη εὐδόκιμον. Ἀλλὰ ταῦτα μὲν τὰ ἐμά. Εὔχε δὲ καὶ αὐτός μοι διὰ τὸν Κύριον. Καὶ εἴτινα οἶδας αὐτόθι ἄνθρωπον τοῦ Θεοῦ, ἀξίωσον αὐτ' ἐμοῦ, μεμνῆθαι με ἐν ταῖς αὐτοῦ πρὸς Θεὸν εὐχαῖς, ὡς ἂν τὸ λοιπὸν τῆς ἐμῆς ζωῆς, εἰς μετάνοιαν φυλάξας, μὴ μόνον ἀνώτερος τῶν τοῦ πονηροῦ ἐπιβελῶν ἐν τῷ παρότι βίῳ ἀναδειχθῶ, ἀλλὰ καὶ κἀκεῖσε τύχω τῆς μακαρίας ζωῆς. Οἶδα γὰρ

γὰρ τῶν ἀνθρώπων τὸ ἐπίκηρον, ὡς ποταμίων ῥευμάτων μιμεῖται φύσιν· καὶ ὡς ἐκείνους μόνους χρὴ μακαρίζειν, τοὺς μετὰ χρησῆς ἐλπίδος καταλύοντας τὸν παρόντα βίον. Οὐ γὰρ ἐπὶ θάνατον ἔρχονται, ἀλλ' ἀπὸ τῶν ἀγώνων, ἐπὶ τὰ βραβεῖα· ἀπὸ τῶν παλαισμάτων, ἐπὶ τοὺς στεφάνους· ἀπὸ τῆς τεταραγμένης θαλάσσης, ἐπὶ λιμένα ἀκύμαντον. Καὶ ταῦτα τίνες; οἱ ἀγαθοὶ καὶ πιστοὶ δοῦλοι· οἱ φρόνιμοι οἰκονόμοι· οἱ ἐργάται τῆς ἀρετῆς. Ἐμοὶ δὲ πολλῶν εὐχῶν χρεία, ἁμαρτίαις ἄλλως ὑποχρεῶ γεγονότι, καὶ διὰ ταύτας ὑποθυμῶ κολάσεως χρηματίσαντι. Ὧν λυτρωθείλη ταῖς σαῖς Ἁγίαις εὐχαῖς. Ἐῤῥωμένος εἶης καὶ εὐεκλῶν ὦ Θειότατε· καί σοι ὁ ἔξωθεν ἄνθρωπος συνδιεκλοίη τῷ ἔνδοθεν. Τὰ πάντα καὶ φιλοῦντος τὰ σὰ καὶ θαυμάζοντος Ἰωσὴφ Μοναχὸς τοῦ Βρυεννίου.

Δ'.

Τῷ Σοφωτάτῳ Ἀνδρῶν Δημητρίῳ τῷ Κυδώνῃ. (*) Ἐν Βενετίᾳ.

Διάτορόντι μέγα καὶ διαπρύσιον τῆς θερμῆς σου καὶ γνησίας ἀγάπης ἡ σάλπιγξ, ἐκ τοσούτου πνεύσασα διαστήματος, καὶ μέχρις ἡμῶν ἤχησε· καὶ σὺ τρικυμίᾳ με λογισμῶν καθεζῶτα, διανέστησέτε ἅμα καὶ ἠνύφρανε. Καὶ εἰς λήθλιν παντὸς ἀφικέσθαι δεινοῦ παρεσκεύασε. Τοιοῦτος σὺ φίλος ἀεὶ, καὶ τοιαῦτα σοι τὰ πρός με σωήθη· Χαίρων, ὁπότε τι κέκτημαι τῶν καλῶν, καὶ ἀχθόμενος σὺ τῷ κακῶς με πράττειν. Σπουδαῖον ὄντα ἐπαινῶν, καὶ ναρκῶντα ἐπεγείρων. Ἀμέλει σοι καὶ χάριτας οἶδα, καὶ τοῖς σωθεῖσι ταύτοις ὁμολογῶ. Καί γε εὔχομαι τῆς βασι-

(*) Ὁ Κυδώνης ἔτος, Ἔτει 1355. μετὰ Νικολάου τοῦ Καβάσιλα, συνέπετο Ἰωάννῃ τῷ Καντακυζηνῷ, τῷ τὴν πορφύραν τοῦ Μοναστικοῦ Τριβωνίου ἀλλάξαντι· (Ἰωάν. Καντακ. Ἱστορ. Βιβλ. Δ'. Κεφ. ιε'. Σελ. 764.) ὕστερον δ' εἰς Ἰταλίαν μεταβὰς, τὸν Λατινισμὸν ἠσπάσατο. Περιῆν δὲ ἔτι τῷ βίῳ, ἐπὶ Βασιλέως Μανουὴλ τοῦ Παλαιολόγου, Ἔτει 1384. Πρὸς ὃν καὶ τὰς Ἐπιστολὰς ἐπέστειλαν, αἳ ἐπιλέγονται Βασιλικαί.

λίδος εἰς Βασίλεια ἐπανελθόντα σε ὅσον ἔπω πυθέσθαι. Καὶ γὰρ ἐμοὶ (*) τὶ σὶ ἀποσασίαν ἀνθυμεμνῶ, τὸ ταλαίπωρον ἡμῶν γένος ταλανίζειν ἔπεισι, καὶ ἀποδύρεσθαι τῆς ζημίας. Ἄνδρα τοιοῦτον ἀποβαλόν· ὃς τὰ μέγιστα μὲν ἂν εἰς κόσμον αὐτῷ συνετέλει καὶ καύχημα, μέγιστον δ' ἂν εἶχε δ' αὐτῷ τὸ κράτος ἀν δόγμασι, κρατισάλε αὖ τὰς ἀντιθέτες κατηγωνίζετο. Νῦν δὲ, ὃν ἂν χρείαν εἶχε γλώττης ἀποπληρῶντα, ἢ ὅπλε ὀχυρωτάτε ἡ καθ' ἡμᾶς Ἐκκλησία, τότε αὐτῆς ἀποσκιρτῶντος, καὶν μὴ εὐκαλαγώνισος τοῖς πολεμίοις καθίσαται, ἀλλά γε εἶναι δοκεῖ. Καὶ εἴθε τὶ ἐκεῖνε ἔπαχε μόνον ἀποβολή· νῦν δὲ τοῦτο λίαν ἐλεεινότερον, ὅτι πρὸς τῷ τῆς ἐκεῖθεν ἐκπεσεῖν συμμαχίας, καὶ ἐχθρὸν αὐτὸν κέκληται, καὶ πολέμιον. Τίνα τοῦτον; ὃν αὐτὴ, φεῦ! ἐγείναλό τε καὶ ἔθρεψε. Καὶ τιμῆς μὲν ἕνεκεν τῆς πρὸς τὸς γεννήτορας μεγίσης ἐπαγγελλομένης ἀμοιβῆς, ἐχ ἥτλονος δὲ τῆς ἐπὶ τῇ παροινίᾳ ποινῆς ἐπισειομένης, ἐκ οἶδα τί παθῶν αὐτὸς, καὶ ἀμφοῖν ἀλογῶν, τῇ εἰς φῶς ἐνεγκέσῃ τὸ νοηλον, ἐαγδαίως συρρήγνυσαι, καὶ μαζὸς ἀτιμάζεις, ὡς ἀκέω, τὸς θρέψαντας· δέον, εἰ καὶ ἐπιληψίμως ἂντισιν εἶχε τὰ κατ' αὐτὶὼ, ἀποκρύπτειν πειρᾶσθαι τὸ ἄῤῥητος, ἐ μέντοι γε ἐκπομπεύειν. Οὐδὲ γὰρ τὶὼ πατρικὶὼ ἐπίλωθάσας γύμνωσιν Χὰμ, τὶὼ ἀξίαν δίκιν διέδρα· ἀλλ' οἶδα πάντως ἅ πέπονθεν. Εἰ γάρ σοι δι' ἔξωρον ἡλικίαν ἡ μήτηρ ἀμβλυτέραν εἶχε τὶὼ αἴθησιν, καί τι τῶ καθήκοντος διημάρτανεν, ἐμυκλήρισας ἄν; ἀλλ' ἐκ ἂν ὑπαίτιος ἦς καὶ Θεῷ, καὶ ἀνθρώποις, τοῦτογε δρῶν; Παντίπα σαφές. Ἢ ἀγνοεῖς, ὅσον μὲν τῷ ἀοράτῳ Πατρὶ τὸ γονεῖς τιμᾶν ἠξίωται λόγε· οἵα δὲ δίκη τοῖς Πατραλοίαις ἐπήρτηται; Πολλῷ ἔν μᾶλλον τὶὼ πνδυματικῶς ὠδινήσασαν, καὶ μαζῷ τῶν Θείων λόγων ἐκθρέψασαν, καὶ εἰς τόδε σε ἡλικίας προαγα-

(*) Τὰ πρὸς Δημήτριον ἰδίᾳ τὸν Κυδώνη ταῦτα, κοινότερον τὰ αὐτὰ εὑρήσεις, καὶ πρὸς πάντας, τὲς τῆς αὐτῶν ἀποσατήσαντας Ἐκκλησίας, ὑπὸ τῶ Βρυεννίε ἀποτοξδύομενα, σὺν ἔτι καὶ ἄλλοις πλείοσιν, ἐν τῷ Λόγῳ τῷ Συμβελδυτικῷ περὶ τῆς μελετωμένης Ἑνώσεως, Τόμ. Α'. Σελ. 475. 476. κξ.

προσαγαγεῖσαν, ἔδει τιμᾶν· Καὶ εἰ σωϊσιδάς τι τῶν ὑπαυτίων αὐτῇ. Εἰ γὰρ ἀτεχνῶς αὐτῇ τοιὸν δέ τι σωϊδεις, περιστέλλειν ἐχρῆν, ἀλλ' ἐ πάντως ἀπογυμνεῖν. Οἶδα γὰρ καὶ τῶν παίδων τοῖς τε Νῶε τὴν γύμνωσιν συγκαλύψασιν, οἵα χάρις ἀνελεμετρήθη παρὰ τῷ Φύσαντος. Ἀλλὰ χάρις τῷ ὑπὲρ ταύτης τὸ ἴδιον αἷμα ἐκχέαντι· Ὅτι ἐ μόνον αὕτη σὺ ἐδεσὶ ἐπιλήψιμος, ἀλλ' ὅτι μόνη ὀρθὴ, καὶ ἀληθὴς, καὶ ἐξαίρετος. Ἀλλὰ περὶ μὲν τῆς εἰς τὴν Μητέρα ἐπανόδε αὐτὸς βελτίσῃ σοφῶς· καὶ εὐφρανεῖς αὐτὴν τοῖς ὑστέροις, ὡς τοῖς προτέροις ἐλύπησας. Ἡμεῖς δὲ περὶ τῆς Φθασάσης σιγῆς ἐκεῖνο σοι καθάπαξ ἀπολογέμεθα, ὡς ἐ γνώμης διαστροφῇ, ἐδ' ἀμελείᾳ περὶ τὰ καλὰ, καὶ τῶν τοιάτων Φίλων λήθῃ (ἐάλωμεν·) Ἀλλὰ τὸ καλαπιέζον καὶ τρύχον ἡμᾶς ἄλγος οἶδα. Ὑφ' ἓ καὶ τῶν ἔγγισα Φίλων, καὶ ἡμῶν αὐτῶν, ἐπιλελῆθαι βιάζομαι. Πλὴν, καίπερ ἕτω τὴν κεφαλὴν πάσχων, σὺ τῆς Φίλης κεφαλῆς ἐδαμῶς ἐπιλέλησμαι. Τὸ γὰρ γνήσιον τῆς πρὸς ἐμέσε ἀφάτε στοργῆς διλωσεῖμοι τὴν σὴν μνήμην ἐντίθησι. Καὶ σε τὴν ὄψιν ἀεὶ φαντάζεσθαι πείθει, καὶ μηδ' ἀναπνεῖν χεδὸν, ἄνδ τὲ τὰ σὰ διϊσάμ τοῖς Φίλοις ἀφίησι. Τάδ' ἔστι, τὸ τῆς σοφίας ὕψος, ἡ περὶ τὲς λόγες εὐφυΐα, ἡ διαρκὴς περὶ τὰς Ἀναλογίας σπεδὴ, τὸ τάχος τῆς διανοίας, τὸ πλῆθος τῶν μαθημάτων, ἡ περὶ τὴν ἑρμηνείαν τῆς Ῥωμαίων φωνῆς πρὸς τὴν Ἑλλινας γλῶτταν ἀκρίβεια, τὸ τῆς Σωφροσύνης χρῆμα, τὸ ταπεινὸν χῆμα, τὸ μέτριον φρόνημα, τὸ ῥεῦμα τῆς γλώττης, καὶ τὸ τῆς φωνῆς κάλλος, ἐκ ἐμὲ δὴ μόνον, ἀλλὰ καὶ πάντας ἄγον εἰς ἔκπληξιν. Τέτων ὅντις λαβὼν, πόσες ἂν διεξέλθοι λόγες; ἢ πόσες ἂν εἰπὼν, ἱκανῶς εἰπὼν νομισθείη; καὶ ἀποχρώντως τῷ πράγματι; Οὕτως ἡμεῖς μὲν πρὸς σὲ θαυμάσιε διακείμεθα· αὐτὸς δὲ θᾶττον ἐπανέλθοις εἰς τὴν Πατρίδα, καὶ τῆς Σοφίας εὕροις τὸ τέλος ἐπάξιον. Ἡ χάρις τε Θεε, ἄχρις Ἡλίε πολλῶν περιόδων εἴη σε περιέπεσα. Τῷ ὂν Φιλεῖς διαφερόντως Ἰωσὴφ Βρυεννίε, πιστοτάτε σοι Φίλε, καὶ καλὰ Θεὸν ἀγαπῶντος σε.

Ε'.

Τῷ Παναγιωτάτῳ μοι Δεσπότῃ Δωροθέῳ (*) τῷ τῶν Ἱεροσολύμων Πατριάρχῃ· εἰς τὴν Ἱερουσαλήμ.

Τὸ μὲν ἀλλήλους ἐπίσης φιλεῖν, ὡς ἡ σὴ θεσπεσία φωνὴ θεσπίσαλε ἀπεφήναλο, καὶ Θεῷ φίλον, καὶ τῇ καλλίσῃ τῶν τρόπων ἀρετῇ συμβαῖνον, ἵν' ὅπερ τὸ τῆς ἀγάπης καλὸν σωίσησιν. Ἐκεῖνο δ' ἴσως ἐ μελὰ τῆς αὐτῆς εὐπορίας μοι πάρεσι, τὸ διὰ καλῶν γραμμάτων ἔχειν εὐφραίνειν σε, τὴν ἔτω θαυμασίαν κεφαλὴν καὶ αἰδέσιμον· ὅπερ αὐτὸς ἤδη πεποίηκας, καὶ ποιεῖν σὺν ὥρᾳ δύναιο, τοῖς τε πάλαι, πολλοῖς ἱδρῶσι σωηθροισμένοις χρώμενος λόγοις, καὶ τῇ μακαρίᾳ ταύτῃ χολῇ, ἣ ποιεῖς μὲν τὸ σῶμα εὔρωτον, τῶν ἀγοραίων τέτων ὑπεξέλκων αὐτὸ θορύβων· Ποιεῖς δὲ καὶ τὴν ψυχὴν βελτίω, μόνος αὐτυγχάνων μόνῳ Θεῷ, καὶ τὴν καλλὴν ταύτην καρπέμενος θυμηδίαν, ἀ τῇ τῶν ἀεὶ θεωρίᾳ μενόντων· ὀλίγα, εἰ μὴ ἐφ' οἷς ἡ τῆς φύσεως ἀσθένεια πείθει, τοῖς περὶ τὸ σῶμα προσέχων. Καὶ ταῦτα πῆ; ἀ γῇ τῆς Ἐπαγγελίας· ἀ Σιὼν τῷ Ὄρει· ἅ τῇ Ἁγίᾳ πόλει. Ἐμοὶ δ' ἀ ταῦθα

(*) Ἐν τοσαύτῃ συγχύσει τῶν κατ' ἐκείνες τὲς χρόνες Πατριαρχευσάντων ἐν Ἱεροσολύμοις, ἀπὸ τὲ Αὐτοκράτορος Ἡρακλείε καὶ καθεξῆς, ἁπλέτων τῶν μεταβολῶν τῇ Ἁγίᾳ πόλει ἐπιγινομένων· εὕρηται ὅμως μνεία τις καὶ τὲ Δωροθέε τέτε, πρὸς ὃν ἐνταῦθα ἐπιστέλλει Βρυέννιος. Οὕτω γὰρ ἀναγινώσκεν πάρεσι παρὰ Δοσιθέῳ (περὶ τῶν ἐν Ἱεροσολ. Πατριαρχ. Βιβλ. Ζ'. Κεφ. ΚΒ'. Παραγρ. Β'. Σελ. 752.) „Εὑρέθη „ ἀ Μιχαίῳ ἀ Ἱερουσαλὴμ τάδε: ἐπληρώθη τὸ διμιλύαιον „ διὰ σωθρομῆς τῇ Παναγιωτάτε (ἐπίσηθι δ' ὅτι τῷ αὐτῷ τέτῳ „ Τίτλῳ ἐπικοσμεῖ τὸν Ἱεροσολύμων καὶ Βρυέννιος.) καὶ Σεβασμιω„ τάτε, καὶ Θείε Πατρὸς ἡμῶν Κύρ Δωροθέε πρώλιν Ἱερο„ σολύμων Πατριάρχε. Πατριαρχέντος νιῦ τῇ Παναγιω„ τάτε Πατρὸς ἡμῶν Κυρίε Θεοφίλε τῇ υἱῇ αὐτῇ, ἐπὶ τῆς „ Βασιλείας τῇ κραταιῇ καὶ Ἁγίε Κυρίε ἡμῶν Μανηὴλ τῇ „ Παλαιολόγε, καὶ γέροντος· καὶ τῇ υἱῇ αὐτῇ Κυρίε „ Ἰωάννε.

ταῦθα μυρίας τὸν νεὸν βαπτίζεσιν ἀχολίας· καὶ νιῶ μὲν ἀνάγκη τᾶτον καταλάτειν ἐκείνω· νιῶ δὲ προσιόντι τὰ ὦτα διδύναι. Καὶ ποτὲ μὲν τῷ ἀδικεμένῳ σωηγορεῖν, ὁτὲ δὲ τὸν ἀδικᾶνλα ἐλέγχειν· καὶ νιῶ μὲν τὰ τῆς Μονῆς διεξάγειν, νιῶ δὲ τοῖς ἔξωθεν ἐπιῤῥέσι ῥανίδα τινὰ τῶν ἱερῶν λόγων ἐπομβρίζειν· καθ' ἑκάστω ἀπαιτᾶσι τᾶτο, καὶ (τῇ) σιγῇ δυχεραίνεσι, καὶ ῥαθυμίαν τινὰ ἐγκαλᾶσι· καὶ τὸ δικαίαν εὐλάβειαν, καὶ τᾶ ἐμαυτᾶ βίᾳ, καὶ τῶν λόγων ἐπίγνωσιν, ὡς ἐχ ἱκανὰ πρὸς τάδε, τρυφὼ τινα καὶ μαλακίαν καλᾶσι. Τέτοις ἦν κωλυόμενος, ἔτε καλὰς, ἔτε συχνὰς πέμπειν ἂν σοι δυναίμιω Ἐπιστολάς. Ἀλλὰ καὶ ἔτω διακειμένῳ, ἐ παραιτητέον μοι τὸ γράψαι ἐκρίθη τῇ σῇ Ἁγιότητι. Τὸ γὰρ ἐπισέλλειν προσδιάλεξίς τις οἷον ἐσὶ, καὶ συλαλιὰ, ὡς παρὼν παρόντι δῆθεν προσδιαλεγομένᾳ τῷ ἀπόντι τᾶ γράφοντος. Τὸ ἦν ὡς παρόντι Παναγιώτατε σοὶ προσδιαλέγεθαι γράφοντα, ὀνησιμώταλον ἐμοὶ καὶ λίαν εὐφραντικώταλον. Εἰ γὰρ καὶ ψιλὴ τῶν κεχαρισμένων μνήμη Θεῷ, ἤδει τιὼ ψυχιὼ καὶ ὀνίνησι, πολλῷ μᾶλλον τὸ καὶ λογικῶς συγγίνεθαι, καὶ διάγειν ἐν τῇ τέτων προσλαλιᾷ, ἄμφω ταῦτα περιποιήσαιτο ἄν. Τᾶτο ἦν περιποιέμενος καὶ αὐτὸς, εἰς τὸ ἐπισέλλαι σοι ἤδη κεκίνημαι. Χαίροις τοίνιω τῷ Ἀξιώμαλι· καὶ ἔῤῥωσο τὸν ἔσωθεν τε καὶ τὸν ἔξωθεν ἄνθρωπον, ὥσπερ, εὖ οἶδα, καὶ ἔῤῥωσαι. Κἂν μὴ τὸν ἔξωθεν ἴσως, ἧτον τᾶ πεφροντικῶς· μᾶλλον δὲ καὶ ἐκλήκων αὐτὸν, καὶ πιέζων τοῖς πόνοις τῆς ἀρετῆς· τὸν μέντοι νοέμενον. Εἰ δέσοι καὶ ὁ ἐρώμενος ἔῤῥωται, καὶ τᾶτο ἔσω σοι μὴ μικρὸν πρὸς τιὼ τῶν κρειττόνων ἐπίδοσιν ἐπικέρημα· ὡς ἂν δι' ἀμφοῖν κατορθοῖτο σοι τὸ εὐδόκιμον, καὶ ἡ πρὸς Θεὸν ἀνάτασις ἐξανύοιτο, ἐκλανθανομένῳ μὲν τῶν ὄπιθεν, τοῖς δὲ ἔμπροσθεν ἀεὶ ἐκτεινομένῳ, καὶ ἀπὸ δυναίμεως εἰς δύναμιν, ἀπὸ δόξης τε εἰς δόξαν προβαίνονλι. Καὶ ταῦτα μὲν τὰ ἡμῶν. Ἡ δὲ Σὴ Μεγαλειότης τὸ ἡμέτερον εὔγνωμον τᾶτο προσηκαμένη, εὐνοίας καὶ σοργῆς, πρὸς ἰῶ ἡμεῖς τιὼ σιὼ ἐκκαλέμεθα ψυχιὼ, μὴ ἀπαξιώσης τὸ καθ' ἡμᾶς. Ἀλλ' ἐπισράφηθι τέτῳ Πα-

τρικῶς, καὶ ἀγάπησον· καὶ Θεὸν πρὸς πλάγχνα κίνησον οἰκτιρμῶν, τῇ σαυτῇ πρὸς αὐτὸν παῤῥησίᾳ καὶ οἰκειότητι. Κἂν γὰρ αὐτὸς ἀφέσηκα τῇ τῶν τρόπων ἀνοικειότητι, ἀλλ' αὐτὸς τῇ πρὸς αὐτὸν ἐγγύτητι προσοικειώσεις με τούτῳ, πολλῷ τῷ μέσῳ τὰς πάντας παρενεγκὼν, καὶ ἀμέσως αὐτῷ συγγινόμενος· καὶ ἐ μόνον ἐκ τῆ Ἀξιώματος ἔχων τὸ ἐπαγωγὸν, ἀλλὰ καὶ ἐκ τῆς ἀρετῆς μᾶλλον. Οἱ κατ' αὐτὸν γὰρ ἱδρῶτες, καὶ οἱ μυρίοι ἀνέκαθεν ἆθλοι, καὶ ἡ πρὸς τὰς ὁράτας ἀντιπάλες, ἄχρις εἰς τόδε σε τῆς ἡλικίας ἀντίσασις, πῶς ἐχὶ τὸν Θεῖαν σοι συγκινήσασιν εὔνοιαν, καὶ πρὸς ἃ παρὰ Θεῷ αἰτεῖς εὐεπήκοον θήσασιν; Ὄφελον ἐν τῶν σῶν ἀξιωθείην εὐχῶν! Οὕτω γὰρ ἵλεων τὸ Θεῖον, ἐφ' οἷς ἐάλων πλημμελήσας, ἂν εἴη μοι· Εἴη σοι καὶ ὁ ἔξω ἄνθρωπος τῷ ἔνδον σωζόμενος, καί σε ταῖς πρὸς τὸ Θεῖον ἀντάξεσι τύχοιμι σωτηρίας κἀγώ. Τῷ ὦ Μοναχεῖς οἰκειοτάτε καὶ ἀχρεῖε δέλε τῆς σῆς Ἁγιότητος, Ἰωσὴφ Βρυεννίε.

ϛ'.

Τῷ Σοφωτάτῳ Ἀνδρὶ, Ἀρετῆς τε ἄκρῳ φίλῳ καὶ Πίσεως Κυρῷ Νικολάῳ τῷ Καβάσιλᾳ. (*) Ἐν Κωνσαντινοπόλει.

Ἀλλ' ἐ μόνος ἐγὼ τῆς Σῆς ἐπιλήσμων διαθέσεως ἔσομαι· ἐδ' ἔτως ἀπειρόκαλος ὀφθήσομαι καὶ ἀβέλτερος, ὡς, ἃ πάντες ἐρῶσι διακαῶς, μόνος γε αὐτὸς κατολιγωρεῖν, κἂν μικρῷτινι τίθεθαι. Ἀλλ' ὥσπερ παρὼν σοὶ μέγα τι καὶ ἄφατον εἰς εὐφροσύνῃ ὠνάμην, ἔτω καὶ ἀπὼν

(*) Τῷ Νικολάῳ πρὸ τῆ ἐπὶ τῷ Ἀρχιεπισκοπῷ ἀρθῶσαι, τῷ ἐπισολῷ ταύτῳ ἐχρήσφε Βρυέννιος· Οὐ γάρ, (ὡς ἔωθε,) τῷ Ἀρχιερεῦσι προσήκοντι Τίτλῳ τῷ Ἐπισολῷ ἐπιγράφε. Συμπεραίνεται δὲ ἐκ τῶν ᾧδε περὶ Νικολάε τῆ Καβάσιλα λεγομένων, ὅσον ἰῷ γεννᾶιος, ὑπὲρ τῆς καθ' ἡμᾶς ὀρθοδοξίας κατὰ Λατίνων Ἀγωνισής· καὶ τοι Ἀλλατίε καὶ τῆτο ἀποφῆναι τολμήσαντος· καὶ διὰ τῆτο ἀκότως ὑπὸ Ὀδίνε, μυκηριζομένε. (ὅρα Κασιμίρ. Ὀδιν. περὶ τῶν Ἐκκλη. Συγγρ. Τόμ. Γ'. Σελ. 987.

ἀπὼν σῶ τῆς μνήμης παραπολαύσομαι· καί μοι γράμμα τὸ ἄψυχον, τῆς ψυχικῆς γενήσεται διαθέσεως σύμβολον. Ἀεὶ γὰρ τὸ ἧττον τῷ κρείττονι, καθ' ὅσον ἧττόν ἐστι, κατὰ τοσοῦτον χρὴ παρακολουθεῖν. Καίτοι, εἰ καὶ πολλῶν τινων ἐδέησεν ἀναλωμάτων εἰς τὸ τυχεῖν πλάτους τοιοῦδε, ἐκ ἂν ἐφεισάμην· Οὕτω δὲ προῖκα μοι προκειμένῳ ὀλιγωρήσω τῆς ἐπιτοξέως; μᾶλλον δ' ἵν' εἶπω τἀληθές· καὶ ἔτυχον τοῦ καλοῦ τότε, καὶ ὁ χρυσὸς αὐτόματός μοι ἐρρύη, οἷον εἰπεῖν· Οὕτω γάρ σοι τὸ πεφυκὸς πρὸς ἅπαντας ἐπιῤῥεπέστατα ἔχει δι' ἦθος χρηστότητα, ὡς μηδένα εἶναι τῶν ἀπάντων, εἰ οἷόντ' ἦν, ὃς ἐκ ἂν τῶν σῶν διακορὴς ὤφθη καλῶν. Ἦν γὰρ ἐχρῆν τὰς ἄλλας τιθήνας ταῤῥεῖν, ὥστε τῶν καλῶν σὺ ἀπολαύσει σε γίνεσθαι, αὐτὸς τὸ ἀνάπαλιν ταύτην ποιῶν, ὡς ἂν εἰς κοινὴν ἀπόλαυσιν ἑκάστοις ταῦτα προκέοιτο· καὶ ῥεῖ ἐκ τῶν σῶν φρενῶν ἐπὶ τὰς ὁμιλοῦντας Σωέσις, ὥσπερ ἀπὸ τῶν χασμωμένων ἐπὶ τὰς ῥῶντας ὕπνος. Διάτοι τοῦτο καὶ αὐτὸς διὰ ταχυῆς ὅτι πλείστης ἄγω πάντα τὰ σὰ, καὶ διακαῆ πρὸς τὴν σὴν σοφίαν τρέφω τὰ φίλτρα· καὶ ἐκθυμιάσασθαι τὰ χρησά σοι ἐπεύχομαι. Ἔπειτά τε χάριν ὁμολογεῖν, χάριν σὴν, τῷ Θεῷ· ἐχ ὅπως ἐφ' ᾧ εὐτυχέστατα ἔχηκας· τί γὰρ μεῖζον εἰς εὐτύχημα, τοῦ τὸν αὐτὸν καὶ σοφὸν, καὶ εὐδαίμονα εἶναι σε; ἀλλὰ καὶ διὰ τοῦ τρόπου τὸ λίαν φιλόκαλον, ἢ μᾶλλον φιλόθεον· καὶ ἐ διὰ τοῦτο μόνον· ἀλλ' ὃ πολλῷ χαριέστερον, ὅτι καὶ τῆς ἀκιβδήλου καὶ τελείας μοίρας τελεῖς σὺ Χριστιανοῖς· τοῦ νενοθευμένου δὲ καὶ κιβδήλου μέρους καθάπερ ἀπήλλαξαι, καὶ τὴν ἐκ Πατέρων εὐσέβειαν ἀπαραποίητον φυλάττων, ἐδαμῶς τοῖς παραχαράξασι ταύτην προσέχηκας. Ἀλλ' οἷα δήτινων λελυμασμένων ἀτεχνῶς θρεμμάτων ἔπαυλιν, τὴν σωαγωγὴν ἐκείνων ἀπειρηκὼς, τῇ ὑγειαινούσῃ ποίμνῃ σωτεταχθαι δεῖν ἔκρινας. Μακαριστέος ἄρα ὦ θαυμάσιε Σὺ, πρῶτον μὲν διὰ τὴν εὐδαιμονίας ἀκρότητα· εἴπερ εὐδαίμων ἐστὶν, ὁ τῷ μὲν σώματι ὑγιὴς, τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν εὐπαίδευτος. Τὸ (δὲ) δεύτερον, διὰ τὴν τοῦ τρόπου χρηστότητα εἴπερ ἁπλῶς, ἀγαθὸν μὲν ἐστὶν, ὃ πάντα ἐφίεται·

ἐφίεται· τὸ δὲ τῆ ἀνθρώπε ἀγαθὸν, ὡς δὴ ἀνθρώπε, ψυχῆς ἐστὶν ἐνέργεια, κατ' ἀρετὴν τὴν ἀρίστην καὶ τελειοτάτην ἐν βίῳ τελείῳ· ἧς δὴ αὐτὸς κατέλαβες τὴν ἀκρώρειαν. Καὶ τρίτον, διὰ τὴν ἐν τῆ Πίστει ὀρθότητα· εἴπερ Πίστις ἐστὶν ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος ἐ βλεπομένων. Ὅτι καὶ τῶν πρὸ αὐτῆ πολλῷ σφόδρα διαφορώτερον, καὶ ὡς κορωνίς τις διάχρυσος, ἢ καὶ στέφανος, τοῖς ἄλλοις σε τῶν πλεονεκτημάτων ἐπίκειται. Οὐκ ἔστιν ἓν μέγα ἐπὶ σοὶ, κομπάζειν τοῖς καθ' ἡμῶν, καὶ μεγάλην αἴρειν ὀφρύν, ἡμᾶς δὲ ἐγκαλύπτεσθαι· μᾶλλον δὲ θρηνεῖν καὶ ὀδύρεσθαι, ὡς ἐκ ὄντος ἡμῖν σοφῆ καὶ εὐδαίμονος Ἄρχοντος· ἀλλ' ὤχετο πάντα τὰ καθ' ἡμᾶς, καὶ ἀπόλωλεν. Ἄγε τοίνυν ὦ βέλτιστε, χρῶ τῆ γλώττη, καὶ ἐπιλαβόμενος παῤῥησίας, ἔλεγχε τὲς τῶ βλασφημεῖν, ἀρέσκειν ἡγεμόνες τῆ ἀληθείᾳ· μετὰ τῆ Πνεύματος, τοῖς τῷ Πνεύματι μαχομένοις ἀντίστηθι· Ποίησον τὲς μύθες ἐκ μέσε. Συμμάχει Χριστῷ, τῷ δυνατῷ μὲν ἐπαρκεῖν αὐτῷ τῆ αὐτῆ, ὡς φησὶ τὸ λόγιον, δεξιᾷ· Παρ' ἡμῶν δὲ βοηθεῖσθαι ἀξιοῦντι, τῶν ὑπ' ἐκείνε καὶ γνομένων καὶ σεσωσμένων· ὡς ἂν εἰσενεγκεῖν τι δοκῶμεν καὶ αὐτοὶ, ὑπὲρ ἃ δικαίως ἂν τῆς ἐκείνε κοινωνίας τύχοιμεν. Ἀλλ' ἔλαθον ἐμαυτὸν, τὸ τῆ λόγε, Ἵππον τρέχειν διδάσκων, Δελφῖνα νήχεσθαι, καὶ Ἀετὸν πέτεσθαι, ἔτως ὑπὸ τῆ λόγε παρασυρείς. Ἵνα δὲ ἐπανέλθω πρὸς τὴν εὐθεῖαν· τίς, τοιῆτον ὄντα σε, ἐκ ἂν ἀγαθείη; Τίς ἐκ ἂν ἐραθείη, μεθ' ὅσε τῆ περιόντος, σῆ; Ὡς ἔμοιγε καὶ παντὶ νῷ ἔχοντι, καὶ μὴ ἀλογίᾳ σωφρονοῦντι, δοκεῖ· Οὐκ ἔστιν ὅστις ἰδών σε, μὴ εὐθὺς ἀλῶ σε τῶν καλῶν τοῖς ἱμέροις. Ἐρῶμεν ἓν σε καὶ ἡμεῖς διὰ ταῦτα· Ἐρᾷ δέ σε πρὸ ἡμῶν ὁ Θεὸς, τῆς φίλης αὐτῷ ψυχῆς, καὶ ὡς οἷόντε μιμητικῆς αὐτῆ κατὰ τὸ Φιλάνθρωπον. Ἐπεὶ τοιγαρῦν, ὥσγε ἔφθην εἰπὼν, τῆ καλῆ τέτε χρήματος, τῆ κατὰ τὴν σὴν οἰκείωσιν, ἐπιτυχεῖ μοι τελεῖν ἐξεγένετο, καὶ ἥδομαι σφόδρα τῷ εὐτυχήματι, καὶ διὰ βίε συμπαραμένειν μοι εὔχομαι. Ταῦτ' ἄρα καὶ τὸ παρασατικὸν τῆ πεφυκότος γράμμα τυπώσας ἀφίημι, πρὸς τὴν ἴσην σε φρον-

σε Φροντίδα καὶ αὐτὸν ἐγκαλέμενος, ὡς ἂν τᾶτ' εἴη ἡμῖν τῆς μνήμης τε, διὰ βίε παντὸς, καὶ τᾶ Φίλτρε ἐμπύρθμα. Ἐρρῶμενος εἴης, καὶ εὐεκῖων ψυχᾷ τε καὶ σώματι· καὶ εἰς πολλὰς ἐτῶν περιόδες παντὸς ἀνιαρᾶ ὑπέρτερος διακείμενος. Τᾶ τῶν σῶν λόγων διαπύρως ἐζηρτημένε, Ἰωσὴφ τᾶ Βρυεννίε.

ζ'.

Τῷ Σοφωτάτῳ καὶ Λογιωτάτῳ Πατρὶ, Καθηγεμόνῳ τῆς Σεβασμίας καὶ Βασιλικῆς Μονῆς τῶν Στεδίε, Ἀρχιμανδρίτῃ τε καὶ Πρωτοσυγκέλλῳ Κυρῷ Εὐθυμίῳ. (*) Ἐν Βυζαντίῳ.

Ἐμοὶ ἐ μόνον ἐπῆει μέγα φρονεῖν ἐπὶ τῇ σῇ, Πάτερ, Σοφίᾳ, καθ' ἰῶ πάντων διήνεγκας· ἀλλ' ὅτι σοὶ τῆς σῆς μᾶλλον ψυχῆς ἔμελε, σφόδρα ἤρων σε. Καὶ νυῦ μοι ἐπεσκλκότος σε, διακαέσερα τὰ τᾶ σᾶ κατέσημοι ἔρωτος. Καὶ ὁ ατινθὴρ τῆς ἀγάπης εἰς πυρσὸν ἀνῆπλαι αἴριον, μετα τῆς εὐφυΐας, καὶ τὸ ἐπιεικὲς ἐκπλητομένῳ τῆς σῆς ἀγχινοίας, ὅθεν εἰς τὸ γράψαι κεκίνησαι. Καὶ ζηλῶν σε τῆς σοφίας, καὶ τῶν ἄλλων καλῶν οἷς κεκόσμησαι, ἐχ ἧτλον ἀγαμαι τᾶ προσωᾶς τε καὶ μετριόφρονος. Καὶ ἐκ ἂν ἀποφαίλν, ἐδ' ἀπαγορθσαιμι, μὴ ἐχὶ καμὲ, καὶ τὲς πολλῶ τῷ μέσῳ διενεγκόντας ἐμᾶ, τῶν σῶν ἐπιδεεῖς καλῶν εἶναι· καὶ δεῖν τέτοις τᾶ προσιέναι σοι, καὶ νομίζεθαι τὰ λυσιτελῆ. Καὶ γάρ τὸ χρῆμα τῆς ἀρετῆς, ἅπαν μὲν παρλιέγκε τῆς ἐν λόγοις δωάμεως φρύαγμα, πάσης δὲ ἀξίας, κἂν καὶ πνδυματικὴ καὶ Θεία αὖτη, ὑπερανέσηκεν. Ἡ μὲν γάρ ἀνθρωπίνη χάρις τὰ πολλά· καὶ ἄδηλον, εἰ τῇ ἀνθρωπίνῃ καὶ ἡ Θεία ψῆφος ἐφέπεται. Τῇ κατ' ἀρετιὼ δὲ γνησιότητι, ἡ πρὸς τὸ Θεῖον ἐγγύτης ἐκ ἀμφίβολος. Ἡ δὲ ἄρα τῇ σῇ Ἱερότητι ἐκ περιουσίας

(*) Μὴ ἄρ' ἔτος ἐστὶν, ὁ κατὰ τὸ 1410. Ματθαῖον ἐπὶ τᾶ Πατριαρχικᾶ θρόνε διαδεξάμενος Εὐθύμιος; ἀπᾶν ἐκ ἔχω.

περιουσίας πεπλήτηται, Ὅτι δ' ἐ πρὸς χάριν τάδε μοι εἴρηται, μαρτυρεῖ τὰ σᾶ πέρι, παρ' ἑκάστε, καὶ ἑκασαχῆ διαθρυλλέμενα. Ἡ γὰρ Φήμη τὰ σὰ προτερήματα πολλαχῆ παραπέμψασα, καὶ τὲς μήπω τιὼ σιὼ ὄψιν τεθεαμένες, ἐκ εὐδήμονας μόνον τῶν σῶν, ἤδη δὲ καὶ ἄκρες κατέσησεν ἐρασάς. Καὶ πάντες τῆς ἡδίσης σε γλώττης ἐκπερέμανται, καὶ πάντας δήπε καλακηλεῖς τῶν σῶν σῶν λόγων ταῖς Ἰυγξι· Καὶ εἴγε Ἡσιόδῳ πειτέον, μὴ ἔωλον εἶναι διατεινομένῳ τιὼ Φήμιν, ἰῦτινα λαοὶ πολλοὶ Φημίζεσι· πειτέον ἄρα καὶ μοὶ τοῖς τὰ σὰ διὰ πολλῆ τῆ θαύματος ἄγεσι. Ὅπε γὰρ πολλοὶ μὲν τελῆσιν ἐκθειάζοντες, καὶ ὥσπερ εἴ σόμα, καὶ γλῶσα μία πρός γε τῆτο πάντες ἐρῶνται· μηδεὶς δὲ ὁ πρὸς μῶμον τι γρύζων ὅλως, μηδ' ἂν λίαν ὢν τυγχάνῃ ζηλοτυπώτατος· τίς ἔτως ἔσαι φιλαιτιώταλος, ἢ δυσάρεσος, ὡς τοῖς πᾶσιν ὡμολογημένοις μὴ τίθεθαι; Οὔκεν ἀπισῶ τοῖς περὶ σῆ λεγομένοις· Ἀλλὰ πείθομαι μὲν τοῖς λέγεσι, πολλοῖς ἅμα καὶ γενναίοις ἔσιν, ὧν ὁ λόγος εἰς πίσιν ἐχ ἥκισα ἀξιόχρεως· Πείθομαι δὲ καὶ ἐμαυτῷ, ὡς μᾶλλον τῶν ἄλλων τιὼ ἐμὶν ὄψιν κλησάμενος μάρτυρα. Καὶ παρίσαται μὲν ἤδεθαι, καὶ δόξαν διδόναι Θεῷ, οἷς ὁ καθ' ἡμᾶς αἰὼν Ἀνδρῶν πάντη πεδαίων ἐκ ἔρημος· Ἀλλ' ἔτι τῷ Ἰσραὴλ σπέρμα τι καὶ ῥίζα ἀρετῆς ὑπολέλειπται, ζώπυρόν τι μικρὸν τῆ κεχαρισμένε γένες Θεῷ· ἐ μέντοι τὸ καλὸν τελείως ἀπέσβη καὶ ᾤχετο· ἔπεισι δέμοι καταγινώσκειν ἐμαυτῆ, καὶ πλείσιν ὅσιν γε πρὸς τὰ καλὰ καλῆγορεῖν τιὼ νωθείαν, ἐκ τῆ περιόντος πλέτε τοῖς ἄλλοις τιὼ ἰδίαν πονίαν καλαμανθάνοντι, καὶ ταύτιν οἰκείως ὀλοφυρομένῳ. Ἀμέλειμοι, καὶ πρὸς τὸν ἐπιτεθάνται τῆς διδασκαλίας τῆτον ζυγὸν ἀφορῶν, καὶ σὺνοῶν, ὅσον ἄρα τῆς ἀξίας ὠδέε, ὕλιν καλαγνώσεως τῆς ἐμαυτῆ καὶ τῆτον δὴ τίθεμαι. Καὶ ἄλλοις προκεχειρισμένος Ἑρμηνεύτης εἶναι τῶν Θείων, ἑτέρων μᾶλλον ἔγωγε ἐπιδεὴς εἰς τῆτο καθέσηκα. Καὶ πῶς ἐχ ἁρμοδιώτατα τῷ μελέῳ τὸ τῆ λόγε διοίσει μοι; Ἰατρὲ θεράπευσον σεαυτόν; Ὅσον δέ μοι ἐμπέφυκε τὸ αὐτοκαλάγνωσον, μηδὲν ἐμαυτῷ τῶν

λώων,

λῶν, ἅπαν δέγε φαῦλον ἀτεχνῶς σωρεῖδοτι! τοσῦτον μοι τὰ σὰ ἀξιάγασα καθέσηκε καὶ ἀρίζηλα. Καί σε πρὸς τὸν ἵμερον πάλιν τῆς σωτυχίας ἐκ ὀλίγος καθέσηκα· καὶ εἰ οἷοντε ἰῷ Δαιδάλῳ περιτυχεῖν, ἢ πλεροῖς Ἰκάρε κεφίζεθαι, σωεχῶς ἂν ἐφοίτων αὐτόθι, τῦ βλέπειν σε τὸν ποθέμενον. Καί μοι τὰ τῆς Τραγῳδίας φθέγξαθαι ἔπεισιν: ἀνεμώκεος εἴδε δρόμον νεφέλας ποσὶν ἐξανύσαιμι δι' αἰθέρος, πρὸς ἐμὸν ὁμογενετῆρα, περὶ δ' ὠλένας φίλταλα βάλοιμι. Χρόνε φυγάδα μέλεον. Ἀλλὰ τί πάθω; καὶ γάρ μοι τὰ τῆς ἐφέσεως πάντα ἀμήχανα, μήτε σῦ τῆς πόλεως ἐκβαίνειν εὐπετῶς ἐχηκότος, μήτε ἐμὲ ἄδημον ὑμῖν ὀφθιῦσαι ἐφειμένον, οἷς κεκλήρωται τὸ καθ' ἡμᾶς ἐπικρατές· Εὐχῶν ἓν ἐμοὶ δεήσει τῶν παρὰ σῦ· Ταύταις γὰρ ὀψέποτε Θείας μέτινος διεγειράσης ῥοπῆς, καὶ πρὸς τλιὺ σιὺ Σοφίαν ἀφικέσθαι διωήσομαι, καὶ βελτίων ὀφθήσοται ἐμαυτῦ· καὶ ἔτω σοι σωέσομαι τὸν ἐπίλοιπον βίον, καὶ Θεῷ κεχαρισμένως βιώσομαι. Καὶ εἴθε τῆς ἔνθεν λυσιτελείας μὴ διαμάρτοιμι. Ἐρρωμένος εἶης, καὶ ὑγιαίνων ψυχῇ τε καὶ σώματι· καὶ ἐν ἅπασι τοῖς πνεύματικοῖς, μετὰ καὶ τῶν σῶν, εὐεκτῶν, καὶ ἔχων ἐν ἅπασιν εὐτυχῶς· Ὁ πάντα τὰ σὰ καὶ φιλῶν καὶ θαυμάζων ἐξόχως, Μοναχὸς Ἰωσὴφ, ὃν διὰ τὸ γνώριμον οἱ πολλοὶ Βρυέννιον γράφεσιν.

Η'.

Τῷ τῶν Ἀρχιερέων Ἀκρῳ, Τρισκαιδεκάτῳ τε τῶν Ἀποστόλων, Ποιμένι ποιμένων, καὶ Κριτῇ τῆς Οἰκουμένης, (*) Μάρκῳ τῷ Πάπᾳ Ἀλεξανδρείας. Ἐν Αἰγύπτῳ.

Ἐν ἄρα καὶ τόδε τῶν μεγίστων εὐτυχημάτων τίθεμαι, τὸ σπουδαίοις Ἀνδράσιν εἰς λόγον φιλίας προσοικειῦθαι, καὶ τὸ μέγα τῦτο κλῆμα, καὶ ἀνθρώποις περισπούδαστον,

(*) Οὐδὲν περὶ τῦ Μάρκε τότε εἰδέναι μοι πάρεστιν, ἐπέκεινα τῦ ὀνόματος. Ἐπεὶ καὶ τῶν ἐκ τῦ Μουσείῦ τῆς Αἰγύπτου κρατησάντων, διεσεὶς

παίδαιον, εἰς τὲς ὠφελεῖν δυναμένες πλετεῖν. Εἰ δὲ καὶ μὴ ὅτι γε πρὸς ἀρετὴν, ἀλλὰ καὶ πρὸς λόγων εὐμοιρίαν τῆς παιδὸς ἐκείνοις τὸ περιὸν, ὥστε ἀμφοτέρωθεν ἔχειν τὸ εὐδόκιμον, ὥπερ ἄρα καὶ ἡ τελειότης προσεμαρτύρηται, καὶ τὸ βιωτεύειν μετὰ τῆς ἐκεῖθεν μακαριότητος, πηλίκον εἰς εὐδαιμονίαν τὸ τέτοις συνάπλεθαι; Εἰ δὲ πρόσεστι τέτοις καὶ ἄκρον ἀξίωμα, τέτε τίς εὕροι μεῖζον, ὃ κλήσοιτο; Τοιόνδε κἀγὼ τὸν φίλον ἠυμοίρησα. Ἔνθεντοι τῆς τύχης, καίτοι τ' ἄλλα ἀκλεῶς ἐχηκότα, ὅσον καλὸ τῦτο γε ἐμαυτὸν μακαρίζειν ἔχω! Ἄγαμαι δέ σε, καὶ τῦ τρόπε τὸ ἄτυφον, καὶ τλὺ εἰς τὸν Πρᾶον τε καὶ ταπεινὸν τῇ καρδίᾳ Δεσπότλν μίμησιν, οἷς τοῖς πενιχροῖς ἡμῖν μὴ ἀπαξιοῖς καὶ εὐτελέσι συμφέρεθαι, ἐς τῦ τρόπε τὸ κακόηθες, καὶ ἡ πρὸς τὰ κρείττω ὀλιγωρία, ἀρετῆς καὶ λόγε τὸ παράπαν, καὶ ἀξιωμάτων ἐξέρησε. Τέτε σε τοίνυν ἀξίως ἀμείβεθαι, προτεθύμημαι μὲν, ἐ δεδύνημαι δέ. Τὸ τῆς ἐπιεικείας τῆς σῆς περιὸν, πᾶσαν ἀμοιβῆς ὑπερβαῖνον περιεσίαν. Ὅσον γὰρ ἡμῶν ὑπερτερεῖς ὦ Θειόταλε, τοσῦτον ἔξι σε συλλογίζεθαι τῆς μετριοφροσύης τὸ ὑπερβάλλον, ὃ τῶν εὐτελῶν ἡμῶν ἀναγκάζει μὴ ἀπαξιᾶν τλὺ οἰκείωσιν· Γραμμάτων δὲ τοῖς ἀμοιβαίοις εἰ πειραθείλν ἀξίως ἀφοσιῶθαι τὸ χρέος, καὶ ἔτως ἀγνοῶν ἐλεγχθήσομαι τλὺ ἐμαυτῦ περὶ λόγε ἀθύρειαν. Τί γὰρ ἂν καὶ εἴποιμι τῆς σῆς ὑπεροχῆς ὄντως ἄξιον; ὡς ἂν πρέπων σοι ὁ τῶν ἐπαίνων παρ' ἐμῦ πλακῆ στέφανος; Τίς γὰρ εἰμὶ ἐγὼ, ἢ τίς ἡ σύσασίς με, ἀλλ' ἢ σποδὸς καὶ σκιά; καὶ ἄνω μὲν γῆ, ὕστερον δὲ σαπρία, τὸ δὲ μέσον ἁμαρτία, καὶ τὸ πᾶν ὄνειρος; Ὅμως ἐπείπερ ἠξίωσας Φθάσας αὐτὸς, ἐχ ὅπως ἄπαξ, ἀλλὰ καὶ δὶς, καὶ τρὶς, καὶ ἐπέκεινα γράψαι μοι, καθάπερ ἐν τῷ ὑσάτῳ διατείνησε γράμματι· κἂν ἐμοὶ δεύτερον τῦτο, μετὰ πλεῖσον ἐπελη-

δισσὰς συνέβαινεν ἀναγορεύεθαι τὰς τὸν Ἀλεξανδρείας θρόνον διέποντας, τὸν μὲν Ὀρθόδοξον ὄντα, ὃν καὶ Μελχίτλν ἐκάλεν· Τὸν δὲ ἐκ τῶν Κοπλιτῶν, ὅθεν καὶ οἱ ἀπ' ἐκείνε καθεξῆς τῶν ἐκᾶ Πατριαρχεύσαντων φερόμενοι παρὰ διαφόροις Κατάλογοι, τὰς ἐκ τῆς Αἱρέσεως ἀναφέρεσι τῆς τῶν Ἰακωβιτῶν.

ἐπεληλύθει τὸν χρόνον, ἀφ' ἧς τὸ πρῶτον ἐδεξάμην· τοῖς εὐτελέσι τοῖσδε σε, καὶ πενιχροῖς ἀμείβομαι γράμμασιν. Ἐγώ σε τῇ Μεγαλοπρεπείᾳ φιλιωθείς, ὅτε τὴν εἰς τὴν Βασιλίδα πορείαν ἐξέλθε, καὶ βεβαιωθεὶς τὸ σὸν πᾶσι σε περιδέξιον, καὶ τὸ τρόπαιον τὸ σφόδρα φιλόκαλον, καὶ θαυμάζω σε ἄγαν τὸ σωφρονοῦν, καὶ χαίρω, ἐχ ἧττον ἢ ἄλλος τοῖς ἑαυτοῦ, τοῖς σοῖς ἀγαθοῖς. Ὃν γὰρ ἔφθην γνησιώτατα ζέρξας, καὶ σὺν ἴσῳ τῶν ἐξ αἵματος εἰκειοτάτων εἰς φίλτρον θέμενος, τοῦτο πῶς ἐκ οἰκειώσομαι τὰ καλὰ, καὶ ὡς ἐμαυτῷ τοῖς τοιούτοις ἡδήσομαι; Ἥδομαι τοίνυν τοῖς σοῖς καλοῖς, καὶ ἥδομαι ἐκ περιουσίας ὅτι πολλῆς· καὶ τῶν καλῶν ἐχ ὅσοις σε μόνον τὸ πεφυκὸς καλεκόσμησεν, ἄλλα (καὶ) ὅσοις σε ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἐδεξιώσατο· μᾶλλον δὲ τὰ ἀρρεπῆ τῆς Θείας δικαιοσύνης ζυγά. Ἡ τῇ τοῦ Θεοῦ πρὸς τὰ καθ' ἡμᾶς εὐδοκήσει ἑσπῇ ἑκάστῳ τὰ πρὸς ἀξίαν ἀπονενέμηκε. Χαίρω ἕν καὶ εὖ ποιοῦντα μανθάνων σε, καὶ εὖ πράττοντα. Καί σε τοὺς τετιμηκότας, καὶ εἰς τοῦτο προβαλομένους ὃ περίκεισαι ἤδη ἀξίωμα, ἐπαινεῖν πάρεσί μοι· Οἷς ἐ τὸν ἁπλῶς εὐφυᾶ, καὶ σὺν πᾶσι περιδέξιον τετιμήκασιν, ἀλλὰ καὶ ὃν δι' ἀρετὴν Θεὸς ἔσερξε. Βέλομαι τοίνυν καὶ αὐτὸς γνησιώτερον ἔτι τὸ καλὸν τοῦτο κλήσασθαι, διὰ φιλίας σε ἄκρας τὰ μάλιστα ἐξοικειωσάμενος· μᾶλλον δ' ἐ φίλον ἁπλῶς σε κεκλῆσθαι ἐθέλω, ἀλλὰ ψυχῆς τῆς ἐμῆς σε Πατέρα τίθεμαι γνησιώτατον. Καὶ τῆς γνησιότητος ταύτης ἐχέγγυον τὰ παρόντα ἔσωσαν γράμματα, ὧν ἀμοιβαία ἀντεπιστείλας μοι, τὸν τοῦ ἔρωτος ἐπιπλέον ἀνάψεις πυρσὸν, καὶ πρὸς τὸ χρήσασθαι τοῖς ἴσοις ἀπεργάσῃ πάντως ἐμὲ προθυμότερον. Εἴης μοι ἐρρωμένος, καὶ εὐεκτῶν καὶ τὸν ἔξω ἄνθρωπον σωὶ τῷ ἔνδοθεν. Αἴτε πρὸς τὸν Θεόν σε ἐντεύξεις, καμοὶ εὐεξίαν χαρίσαιντο. Τοῦ κατὰ Πνεῦμα Υἱοῦ, καὶ φίλε γνησίε, καὶ δέλτε πιστοῦ τῆς σῆς Ἁγιότητος, Μοναχοῦ Ἰωσὴφ, ὁ Βρυέννιος ἡ ἐπίκλησις.

Θ΄.

Τῷ Οἰκεμενικῷ. (*)

Ὁ Μέγας ἔτος καὶ ὑψηλὸς βίος ὁ πρὸς τὸν Οὐρανὸν τετραμμένος, τῇ μὲν φύσει τῶν πραγμάτων δυχερής τις εἶναι δοκεῖ, τῇ δὲ ἀνδρείᾳ τῶν μετιόντων καὶ προθυμίᾳ εὔκολος σφόδρα γίνεται· καὶ τὸ θαυμαστὸν τῆς φιλοσοφίας ταύτης τοῦτο μάλιστα ἐστίν, ὅτι τῆς θαλάττης μαινομένης, ἐξ ἐρίας πλεῖ, καὶ μετὰ πολλῆς τῆς γαλήνης, ὁ γνησίως αὐτῇ μετιὼν καὶ θερμῶς· καὶ ὅτι πολλῶν πολλαχόθεν θορύβων ἐγειρομένων, ἡσυχίαν καρπεῖται καθαράν· καὶ μυρίων πανταχόθεν πεμπομένων βελῶν, ἔξηκεν ἄτρωτος. δεχόμενος μὲν τὰ ἀκόντια, πάσχων δὲ οὐτεῦθεν ἐδεύ. Ὁποῖον ἄρα καὶ τῷ σῷ Ἁγιωτάτῳ ὑπεροχῷ, ὁ καθ' ἡμᾶς ἠυμοίρησε χρόνος· μᾶλλον δὲ, ἡ τόδε τὸ πᾶν ἀῤῥήτοις λόγοις συῤῥησαμένη Σοφία, Ποιμένα καὶ Διδάσκαλον προσβάλετο. Σὸν ἔν ὄντως τοῦτο, καὶ μόνε τῶ νήφοντος καὶ ἐγρηγορότος Κυβερνήτε, τὸ μηδὲ εἰς τοσοῦτον ἀῤθέντος τῷ χειμῶνος ἀναπεσεῖν· ἀλλ' ἐπιμένειν ἔτι φροντίζοντα καὶ μεριμνῶντα, καὶ κατὰ τὸ ἐγχωρεῖν τὰ ἑαυτῷ πάντα εἰσφέροντα· Πανταχῇ διά τε τῶν λόγων, διά τε τῶν γραμμάτων περιτρέχοντα, τοῖς ἐγγὺς, τοῖς πόῤῥω, συγκροτοῦντα, διεγείροντα, παρεγγυῶντα, μηδένα τῷ κλύδωνι παρασυρίῶναι, ἀλλ' ἑσᾶναι καὶ νήφειν, κἂν μυρία τότων ἐπίῃσι χαλεπώτερα κύματα· καὶ οἱ ἱδρυμένον τόπῳ, πανταχῇ διὰ τῆς παραινέσεως ἱπλαθαι. Διὰ τοῦτο θαυμάζομέν σε τῇ καρτερίαν, καὶ μακαρίζομεν τῇ διεγηγερμένῳ σε καὶ ἀπερίτρεπτον γνώμῃ, καὶ τῇ ἐν τοσούτῳ γήρᾳ νεάζουσαν προθυμίαν· καὶ ἐδὲν ἀπεικός· Ὅταν μὲν γὰρ τὰ προκείμενα τῆς τοῦ σώματος δέηται ῥώμης, κώλυμα ἐνταῦθα τὸ γῆρας γίνεται. Ὅταν δὲ ψυχῆς ἀπαιτῇ Φιλοσοφίαν, καὶ Πνεύματος Θείε κίνησιν, ἐδ' ἡ πολιὰ τοῖς κατορθώμασιν ἐπισκοτεῖν εἴωθε.

Τοίνυν

(*) Τὸν ἀνωνύμως ὧδε ἐγκωμιαζόμενον Οἰκεμενικὸν, διορισέον τις ἂν, ἐκ τῆς νίκης, ἣν οἱ χ ιτικοὶ κατὰ τῶν ἀπίστων ἄραδαν λέγονται, ἐφ' ᾗ καὶ τῷ Πατριάρχῃ Βρυέννιος συνήδεται.

Τοίνυν ἐδ' ἐπεσκότισεν· ἀλλὰ πάντα παρὰ τῆς σῆς σπουδῆς εὐσυνιώκλαν, καὶ ἀπὸ γραμμῆς ἡμῖν τέτων ἐφάνης ἄξιος τῶν ἐλπίδων. Ὅτι τῶν ὄντων χαλεπῶν, ἐδὲν ἡγῇ χαλεπόν· καὶ ὀκνῶν ἐπιτάττειν, σεαυτὸν δίδως τοῖς ἔργοις, δεῖγμα τρόπων χρηστῶν, καὶ ἄθλων προτέρων διδὺς ἡμῖν, καὶ ὅτι ἀπὸ κρείττονος αἰτίας προήχθης εἰς τὸ τὸ μέγα λειτέργημα· Ὅτι δὲ καρτὸν δώσει τὸν προσήκοντα ὁ πόνος ἔτος, καὶ ἡ τοσαύτη σπουδή, ἐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν. Τοιαύτη γὰρ τῶν πειρασμῶν ἡ φύσις· τοῖς γενναίως αὐτὲς φέρεσι πολλὰ κομίζει τὰ βραβεῖα, καὶ λαμπρὲς τὲς στεφάνες· Ὅτι δ' ἃ πρὸς χάριν ταυτὶ ἐῤῥέθη τὰ ῥήματα, αὐτὰ συμμαρτυρεῖμοι τὰ πράγματα. Ὅτι ἀρκεῖς καὶ μόνον ὁρώμενος, πολλὲς ὀρθώσαι τῶν πιπλόντων, στηρίξαι, ἀλεῖψαι, συγκροτῆσαι. Οἶδα αὐτὸς τὸν ἐμὸν ἀριστέα· οἶδά σε τὸν ζῆλον, τὴν παῤῥησίαν, τὴν ἐλευθερίαν· μεθ' ἧς, καὶ μεγάλων καλεξανίσασαι, τῷ καιρῷ τέτ' ἀπαιτέντος· καὶ πολλῶν μὲν φθονόντων, ἄλλων δὲ κρυπτομένων, μόνος πολλάκις ἐπὶ τῆς παρατάξεως ἔστηκας, τὸ μέτωπον αὐτῆς κοσμῶν, καὶ τὸ τῆς ἀξίας σε ὄνομα λόγῳ, καὶ ἔργῳ δεικνὺς, καὶ ἐδένα ἀφιεὶς λειποτακτῆσαι γενέσθαι, ἀλλὰ καὶ τὲς μετὰ τῶν ἐναντίων τεταγμένες τῇ ἐμμελείᾳ σε μεθιζῶν. Ἃ σοὶ καὶ εἰς τέλος προβιῶαι, ὡς Χριστῷ στρατηγῶντι καὶ βελοίμεθα, καὶ εὐχόμεθα. Καὶ ταῦτα μὲν δὴ, τὰ τῆς σῆς Ἁγιότητος ἀριστόμαθα. Ἐμὲ δὲ πολλῶν εὐφραινόντων, τέτων ἕν μοι μάλιστα χαίρειν δίδωσι, τὸ τὲς πιστὲς ἡγγέλθαι τῶν ἀπίστων κρατῆντας, ποιήσασθαι μὲν ὑφ' ἑαυτοῖς τὸν Ἴστρον, ἐλεῖν δὲ τὰς παρακειμένας ἐκείνῳ πόλεις, καὶ μετὰ πολλῆς ἀεὶ χωρεῖν τῆς ἀνδρίας, τὲς μὲν ἐπὶ Μακεδονίαν, τὲς δὲ ἐπὶ Θράκλν, τὲς δὲ ἐπὶ ἄλλο τι τῶν ὑπὸ τῶν Τέρκων κατεχομένων. Ὥστε, τοῖς μὲν ἐπέρχεται πιστδεῖν, ὡς νεῶ ἀφίκοιντο παρ' ὑμᾶς, σωτῆρές τινες μετὰ Θεὸν καὶ ῥῦσαι· Τοῖς δὲ, ὡς ἐγγὺς εἰσὶ τῆ πρὸς ὑμᾶς φθάσαι· Καὶ ὅλως, τὸ τὰ χρισιανῶν νικᾶν πᾶσι δοκεῖν, τὰ δὲ τῶν ἐχθρῶν τῇ Κυρίᾳ, κατά τε γλῶ καὶ θάλασσαν, δυσυχῶς ἔχειν, ἑορτὴν ἄγειν πείθει με, λογιζόμενον

γιζόμενον τ' ἀγαθὰ, ἄγε ὁ τῷ Θεῷ υἱὸς τοῖς τλῶ Βύζαντος οἰκῶσιν, ἀντὶ τῶν ἤδη προσδοκηθέντων δυχερῶν παρέξει. Ἃ δὴ ταῖς πρὸς αὐτὸν σῷ Παναγιώτατε λιτανείαις ὑμῖν χαρίσαιτο τάχιον. Ὅπως τῶν ἐπικειμένων φόβων, καὶ τῆς μακρᾶς ταύτης Τειχομαχίας ἀπαλλαγέντες, ἀνενοχλήτως διάγοιτε, πρὸς τλῶ μέλλουσαν μόνλω καὶ μακαρίαν ζωλὼ ἀποβλέποντες. Σωθεκτοίη τῷ ἔνδον σοι καὶ ὁ ἔξωθεν ἄνθρωπος, εἰς τε τλὼ τῆς Ἐκκλησίας οἰκοδομλὼ, καὶ πάσης τῆς Οἰκεμένης ὠφέλειαν. Καὶ μετὰ πάντων κἀμὲ, αἱ Θεοπειθεῖς εὐχαὶ τῆς σῆς Ἁγιότητος σωτηρίας ἀξιωσάτωσαν. Τῆ τῆς Σῆς Ἁγιότητος, καὶ υἱῆ, καὶ οἰκείᾳ δέλῃ, Ἰωσὴφ Μοναχῆ τῆ Βρυεννίῳ.

Ι'.

Τῷ ἀπὸ Γραικῶν Ἰταλῷ, Ἀδελφῷ Μαξίμῳ (*) τῆς τάξεως τῶν Κηρύκων.

Ἐν ἐρήμῳ διατρίβοντι, καὶ προσέχειν ἐμαυτῷ πειρωμένῳ τὰ τῆς σῆς χειρὸς ἦκε γράμματα· ἃ καὶ διελθὼν ἐσκεμμένως, τλῶ μὲν σωθήκλω τότων ἐπαινῶ, τέχνῃ γὰρ γέγραπται· τῆς δὲ ἐννοίας περιφρονῶ, πάσης γὰρ πλάνης ἀνάπλεω. Ὦ ποῖον σε ἔπος φύγον ἔρκος ὀδόντων. Προσήκει σοι μάλιστα ξυρᾶν Λέοντα, καὶ γράφειν εἰς ὕδωρ, καὶ τοξεύειν εἰς πόλον, καὶ κενλὼ ψάλλειν, καὶ τρέχειν ἀκίχητα· ἢ ἐμὲ πειρᾶθαι, τῆ τῶν ὀρθοδόξων ἀποσῆσαι χορῆ. Πόθεν δὲ, καὶ τῆ χάριν ἐπῆλθε σοι, τοιῆτον τι περὶ ἡμῶν φαντασθλῶαι; Τὶ δὲ μικρὸν, ἢ μέγα, πεπονηκὼς ἐμλὼ χάριν, ἕτω τῆς ἐμῆς ἀντιποιῆ σωτηρίας, ὥστε με καὶ ἐχ ἑκόντα εἶναι σώζειν μηχανᾶθαι πανδῆ· μή σοι μέλει πλέον τῆς ἐμῆς σωτηρίας, ἢ τῷ χάριν ἐμλὼ τὸ αἷμα δεδωκότι τὸ ἴδιον; Ὅρα μὴ καὶ Θεῷ ὀφθείης ἀντίθεος, ἀναιρῶν τὸ τῇ Φύσει δεδομένον τῆς Αὐτοκρατορίας ἀξίωμα.

(*) Οὗτος ὁ πρὸς ὃν καὶ ἡ Α'. τῶν Διαλέξεων συγκεκρότηται τῷ Βρυεννίῳ, ἣ κεῖται ἐν τῷ Α'. Τόμῳ, Σελ. 407. κξ.

αἴξίωμα. (*) Ἔοικας ἐ ζήλῳ Θείῳ ταύτῃ ποιεῖσθαι τὴν ὄνασιν, ἀλλ' ἐκδικεῖν δοκεῖν, ὅπερ ἔφθης ἐλόμενος· ὡς ἄν ἔτωγε τὲς ἐπὶ τῇ μεταθέσει διαφόλογοις ἐλέγχες· καὶ τῷ τῶν, μεθ' ὧν τέταξαι, εὔνοιαν ἐπισπᾶσθαι· τῇ πρὸς ἡμᾶς περιφανεσάτῃ δυσμενείᾳ, καὶ τοῖς καθ' ἡμέραν ἀντιπλώσεσιν αὐτοῖς χαριζόμενος. Ὅνπερ ἄρα τρόπον, καὶ ἐκ τῆς τῶν χρισωνύμων μοίρας, οἱ πρὸς τὰ τῶν Ἀγαρίωων μεταβάλλοντες, ἀκήρυκτόν τινα καὶ ἄσπονδον καθ' ἡμῶν τὴν μανίαν ἀνδείκνυνται, καὶ τὰ τῆς ἡμετέρας εὐσεβείας ἀχαλίνῳ γλώσῃ κερτομέσι καὶ διασύρεσι, μηδαὶ ἐντεῦθεν, ὅτι μὴ τὸ (τῶν) οἷς προσῆσαν εὔνεν πραγματολόμενοι. (Τίς ἦν ἄρα βάρος ἔχων νῷ, καὶ Φρενῶν εὖ ἥκων, τῆς σῆς γλώτης θήραμα γενέθαι ἀνάχοιτ' ἄν;) Εἰ δὲ καὶ τὸν ὑπὲρ τὲ Θεὲ προβάλλῃ ζῆλον. * * *

* * * * * * * * * * * * * * * * *

Εἰ δὲ καὶ ὅλως (**) τῆς τῶν Ἰταλῶν ἐξήρτησαι δόξης, καὶ τὸ ἀσφαλὲς αὐτῇ, μηδαὶ ὅλως ἐπενδοιάζων χαρίζῃ. τί μὴ ἀγαπᾷς αὐτὸς ταύτῃ προσκείμενος, δι' ὄχλε δὲ γίνῃ τοῖς ὁμοφύλοις, κοινωνὲς καὶ αὐτὲς ἔχειν τῆς μεταθέσεως; (ἐ γὰρ ἄντινα πείσειας, ὅσοις ἄρα τὸ Φρόνημα ἐμβριθὲς, ὕποπλον εἰδόσι τινὶ σὺ λόγοις ἀπόδειξιν.) Ἐγὼ δὲ ἐκ οἶμαί σε λανθάνειν λόγιον ὄντα, πότεροι ἄρα ἡμῶν τε καὶ ἐκείνων καλὰ σκοπὸν τῆς ἀληθείας βάλλεσι, καὶ τίνες πόῤῥω τῆς νύσης θέσιν; ἀλλὰ τὸ Φιλόνεικον αὐτὸ, καὶ ἡ ὄνασις, τό, τε ἀγέρωχον καὶ ἰταμὸν, καὶ τὸ μὴ ἀνέχεσθαι, μηδ' ἀξιῶν σε ἠτιμένον Φανῆναι, ἐκ ἐᾷ σε σιῶπᾳ μετὰ τῶν Φοβεμένων τὸν Κύριον. ἐδὲ λογίσασθαι ὅπωσῶν, ὡς ὁ τινὶ ἀληθείᾳ μαχόμενος, ὅσον μᾶλλον ἀττικίζει, τοσῶτον βαρβαρίζει. Καὶ ὅσον δοκεῖ λογικόζεσθαι, τοσῶτον ληρεῖ. Καὶ καθ' ὅσον (ἔοικε) δῆθεν πλείσε ἀληθείας ἐπισύρεσθαι σωηγόρες πρὸς τῶτο, τὰ μάλισα

(*) Ταῦτα δὲ ἐπὶ λέξεως ἀναγινώσκεται, καὶ ἐν τῷ Λόγῳ τῷ Συμβελτικῷ περὶ τῆς ἑνώσεως τῶν Ἐκκλησιῶν, ἐν τῷ Α'. Τόμ. Σελ. 474. σίχ. Θ'. Σελ. 475. σίχ. Α' - Ιῶ'.

(**) Ὅρα καὶ ταῦτα ἐν τῷ ῥηθέντι Συμβελτικῷ Λόγῳ Αὐτ. Σελ. 476. σίχ. Κ'.

ψεύδεται. Ἀλήθεια γὰρ ἀληθείᾳ ἐ μάχεται, ἀδ' οἱ γνήσιοι ταύτης θεραπόνται κατ' αὐτῆς χωρῆσαι ἀνέξονται. Τέτων μὲν ἔν εἰς σύνοιαν ἐλθεῖν καὶ τοιότων, ἐκ ἀφίημί σε τὸ ὑπερήφανον· ἐπεμβαίνεις δὲ ἡμῖν ἀφειδῶς, λέγων ἀποφράδας εἶναι καὶ ἀποσόργες Θεῷ, ἐπειδὴ τῷ Πάπᾳ τῆς Ῥώμης ὑπείκειν ἐκ ἀνεχόμεθα. Σημεῖον δὲ τέτε, ἡ παντὸς τὸ Ἔθνες δυσημερία καὶ δυσπραγία. Ἀλλὰ σιὼ Θεῷ πρὸς ταῦτα σοι ἀπαντήσομαι. Εἰ ἐκ τῆς (*) κατὰ τὸν βίον εὐπραγίας, ὦ Μάξιμε, τεκμαίρῃ τὸ δόγματος τιὼ ὀρθότητα, ὥρασοι καὶ Ἀγαρίωες, καὶ Ἰσμαηλίτας εὐσεβεςέρες ἡμῶν ὑπειληφάναι, ἐφ' οἷς εὐετηρῆσι τὸ σήμερον, τὸ μιαρὸν ἔθνος καὶ ἄθεον· τὸ τὰ ἀσεβέσατα καλὰ Χρισῷ τῷ Θεῷ ἡμῶν ἀθυροσομῶν· τὸ ταῖς παρὰ Φύσιν ὅσαι ὧραι καλαχρεινόμενον μίξεσι· τῶν, εἰμή τι ἄλλο προσλῖ ἡμῖν τῶν καλῶν, τῇ γῶν εἰς Χρισὸν τὸν Θεὸν ἡμῶν πίσει σεμνιωμένων, καὶ τῷ εἰς αὐτὸν Ἁγίῳ τετελεσμένων Βαπίσματι. Ἀλλ' ἐρῶμεν τὲς ἐξαγίσες τέτες, ἐχ ὅπως ἡμῶν, οἳ τέλεον ἀπειρήκαμεν· ἀλλὰ καὶ ὑμῶν, τῶν ἐφ' οἷς εὖ πράτλετε μέγα κομπαζόντων, ἐχ ἥκιςα τῷ εὐδαιμονεῖν ὑπεραίροντας· Οὐχ ὅτι τοίνιω, ὡς φὴς, τῷ ὑμετέρῳ Πάπᾳ ὑπείκειν ἐ θέλομεν, διὰ τέτο καὶ δυσπραγῶμεν· ἀλλὰ τὸ εἰς τοσῶτον ἡμᾶς ἐκτρίψαν, ἡ τῶ μιαρῶ τῶν ἀθέων ἔθνες ἐςὶν ἐπανάςασις, ἥτις γέγονε μὲν ἐκ τῆς ἐνδίκε τῷ Θεῷ ἀγανακλήσεως, ὃν ἡμῖν αὐτοῖς ἐξοργίσαμεν· σωτετέλεκε δὲ πρὸς τῶτο τὸ μέγισα, καὶ τὸ προσεχέσερα τῷ κατὰ τόπον διαζήματι, τὰ καθ' ἡμᾶς τέτοις εἶναι. Οὐ τοίνιω ἐπεμβαίνειν ἔδει ἡμῖν, ἔτε μιὼ ἐφήδεσθαι τοῖς ἡμετέροις κακοῖς· ἐλεεῖν δὲ μᾶλλον ἀδελφικῶς· νιῶ δὲ, μὴ μόνον ἐκ ἐλεεῖς πάσχοντας, ἀλλὰ καὶ ὡς δίκαια πασχόντων χωρεῖς καθ' ἡμῶν. Ἀλλ' ὁ τῶ κακὰ τεκλαινομένε πόνος, εἰς τιὼ κεφαλιὼ ἐκείνε περιετράπη.

(*) Καὶ τὰ καθεξῆς δὲ παραπλησίως ἅπαντᾷ ἐν τῷ προκειμένῳ λόγῳ· Σελ. 477. κξ. Πλιὼ ὅσον μεταξύ, κἀτινα παρηλλαγμένως ἐμφέρεται, ἢ παρενέρεται. Ἃ καὶ τῇ τέτων πρὸς τὰ ἐκεῖσε παρακέσεα ῥᾴδιον συνιδεῖν, καὶ παρασημειώσαδαι.

τράπη. Οὕτω γὰρ τὸ τῶν κειμένων πῦρ (ἤρβετο (*) καὶ δὴ ἅπασα κλονεῖται ἑσπέρα. καὶ μαιμάσει μὲν εἰς παράταξιν, ναρκᾷ δέ· Ὁ γὰρ ἄναγχος συγκροτηθεὶς ὐ τῷ Ἴσρῳ πόλεμος, ἤλεγξεν ὑμῶν τὴν ἀθανείαν. καὶ ἐκείνες μὲν ἐθάρρυνε, καὶ πρὸς τὴν ἀντίστασιν ῥωμαλεωτέρες διέθηκεν, ὑμῶν δὲ τὰ νεῦρα κεχαύνωκε, καὶ τὸ πλέον τῆς ἰσχύος ἡ δειλία ἀφείλετο, ὥσε μηδαμῶς εἰσέτι τὴν ἐκείνων θαρρεῖν ὑμᾶς σύγκρεσιν· καὶ τὸ θαυμασὸν, ὅτι ἡμεῖς τόσα ἔτη πολιορκέμενοι, ςέγομεν ἔτι· Ὑμεῖς δὲ, μετὰ πάσης ὑμῖν τῆς παρατάξεως, καὶ μεθ' ὅσης τῶν ὅπλων παρασκδῆς, τοῖς Ἀγαρίωσις ἐπιόντες ἅπαξ, ἀνὰ κράτος ἠτλήθητε· καὶ ἡ τᾶ ςρατόματος ἐκείνε ἦτλα, πᾶσαν τὴν ἑσπέραν ἐθρόησε· καὶ εἰ μὴ ἡμεῖς προσεχέςεροι ὄντες, τὴν ἐκείνων ἅπασαν προσβολὴν ὑφιςάμεθα, καθάπερ τι τειχεῖον ἱςάμενοι μεταξὺ ὑμῶν τε κἀκείνων, οὐδὲ πρὸς μικρὸν ἂν ἀντέχετε, θᾶττον δ' ἂν ἐξετρίβητε, τὴν ἐκείνων μὴ ςέγοντες προσβολὴν, ὡς ἡ συμβολὴ ἡ μία ἐκείνη παρέσησε. Καὶ (†) ἡμῶν δὲ, εἰς τόδε δυσπραγίας κατενεχθέντων, ἡ Ἐκκλησία τῆς ἀνέκαθεν ἐ μετέβαλε καταςάσεως, ἀλλὰ ἀμεταπλώτως ἄχρι καὶ τήμερον τῇ Θεᾷ μένει χάριτι. Καὶ ἐχ ἡ Κωνσαντίνε μόνον, ἀλλὰ καὶ Ἀλεξάνδρεια, καὶ Ἀντιόχεια, καὶ Παλαιςίνη, τὰς Πατριάρχας ἑαυτῶν ἐκ ἀπέβαλον· οὐδὲ ἴσχυσεν ἡ τῶν ἀσεβῶν

(*) Οὕτω κακογράφως ἐν τῷ Κώδικι. Ἴσ. δὲ γραπέον ἦν: ἔπω γὰρ τὸ τῶν καιομένων πῦρ ἤρτο κτ. Τῶν γὰρ ἄρα πεσόντων ἐν ἐκάνῳ τῷ πολέμῳ, Ὁμηρικῶς εἰπᾶν: „Πυρὴ δὲ νεκύων καίοντο θαμειαί. Σεσημειώθω δὲ τὸ ἐνταῦθα περὶ τῆς κατὰ τὸν Ἴσρον νίκης τῶν τέρκων λεγόμενον, ὡς ἀντιπίπλον ἐσὶ προδήλως, τῷ ἀνωτέρῳ (ἐν Ἐπις. Θ'.) ῥηθέντι· ἔνθα τῷ Οἰκαμενικῷ συνήδετο Βρυέννιος, Ἐπὶ τῷ τὰς πισὰς ἡγγέλθαι τῶν ἀπίσων κρατᾶντας, ποιήσαθαι μὲν ὑφ' ἑαυτοῖς τὸν Ἴσρον. ἐλεῖν δὲ τὰς παρακαμένας ἐκάνῳ πόλεις καὶ μετὰ πολλῆς ὁρμὴ χωρεῖν τῆς ἀνδρίας, τὰς μὲν ἐπὶ Μακεδονίαν, τὰς δ' ἐπὶ Θράκιν· τὰς δὲ ἐπὶ ἄλλο τι τῶν ὑπὸ Τέρκων κατεχομένων. Ἤ, πρέωρα τυχὸν ἰῶ τὰ τῆς φήμης ἐκεῖνα, ἐχώρα δὲ (ὅ πολλάκις ἐπὶ τῶν τοιέτων συμβαίνει·) ἐπὶ τ' ἀναντία τοῖς περιςομένοις τὰ πράγματα. Ἤ τελευταῖον καὶ ἀπέβη ἑκάτερα, κατ' ἄλλο δὴ καὶ ἄλλο τᾶ χρόνε διὰ τὸ τᾶ Ἄρεος ἀλλοπρόσαλλον.

(†) Ὅρα ἐν τῷ προδηλωθέντι Συμβολ. Λόγῳ, Σελ. 477. 478.

ἐθνῶν ἐπικράτεια τῶν Ἐκκλησιῶν παρασαλεῦσαι τὴν τάξιν, ἢ τῶν προεσώτων ἀποσερῆσαι. Ὑμῖν δὲ, ἡ Ἐκκλησία μεμέρισται, καὶ δύο Πάπαι τελοῦσι τὸ σήμερον, ἀλλήλοις ἀντίθετοι. Καὶ ἑκάτερος ἑκάτερον, καὶ ἅπαν τὸ ὑπ' ἐκεῖνο τελοῦν, ἀποτροπιάζεται, καὶ ἀφορισμῷ καθυποβάλλει, καὶ ἀναθέματι· Ὥστε πάντας ὑμᾶς ὑποκεῖσθαι τοῖς παλαμναιοτάτοις ἐπιτιμίοις, καὶ μηδένα χρισιανὸν εἰλικρινῶς καὶ ἀναμφιλέκτως εἶναι πιστεύεσθαι. Καὶ ἡμῖν μὲν, ἐν ταῖς πόλεσιν, ἐν αἷς οἱ βάρβαροι τὴν ἐπικράτειαν ἔχουσιν, αἱ Ἐκκλησίαι τῶν οἰκείων ἔμειναν ἀμοιρεῖσι Ποιμένων· τῶν δὲ παρ' ὑμῖν Ἀρχιερέων εὐδένα ἂν χοίητε δεῖξαι, χώραν ὅλως ἔντινι τῶν τοιούτων ἔχοντα πόλεων. Εἰ γὰρ καὶ ἐν τοῖς σωματικοῖς δυστραγοῦμεν, ἀλλ' ἐν οἷς ἡ πρὸς τὸν Θεὸν ἡμῖν οἰκείωσις, χάρις Σοι Κύριε! ὅτι τούτων ἐν' ὅτιοῦν ἀπεβάλομεν. Καὶ τῶν Πόλεων γὰρ ἡμῖν τοῖς ἀθέοις ἔθνεσιν ἁλουσῶν, ἡ Ἐκκλησία τὸ ἑαυτῆς ἀμετάβλητον ἀποσώζει χῆμα. Καὶ Ἀρχιερεῖς, καὶ Ἱερεῖς, καὶ Διάκονοι ἐν μέσοις ἔθνεσι, τὰ τῆ βαθμῆ ἀκωλύτως ἀνύουσι, καὶ ἑκασαχῆ τὰ Θεῖα Ἱερουργοῦσι μυστήρια. Καὶ τὸ ὕδωρ εὐχῆ καὶ σφραγίδι παρὰ τῶν κατὰ τόπον Ἱερέων ἁγιαζόμενον, ἀναργῆ τῆς χάριτος σάζει τὰ Σύμβολα, ὡς, ἐκ τῆς ὁρωμένης διαυγείας καὶ καθαρότητος, μηδὲν πάσχον ὅσα εἰκὸς ὕδωρ ἀκινητῆν, τὴν ἀόρατον πιστεύεσθαι ἐν αὐτῷ τῆ Πνεύματος ἐπιφοίτησιν· καὶ οἷα παρ' ἡμῖν οἷά τε ἐστὶν Ἱερωσυνὴ τελεῖν παρίσησι τηλαυγῶς. Ἀπώθησαν μὲν γὰρ καὶ Ἑβραίων τὸ φῦλον Θεῆ, ἀλλὰ μετὰ τῆς ἔξωθεν ἐλευθερίας, καὶ τὰ Θεῖα αὐτοῖς αὐχήματα ἄχετο· Ἐξέλιπον γὰρ αἱ θυσίαι· Ἐξέλιπε Βασιλεία· Ἐξέλιπεν Ἱερωσυνὴ· Ἐξέλιπε Προφήτης· Ἐξέλιπεν ἡ τῆ μέλλοντος δήλωσις· Ἐξέλιπεν ἡ τῆ Ἱλαστηρίε Φωνή. Παρ' ἡμῖν δὲ, τῶν Ἱερῶν καὶ Θείων, ὅσα τῆ Θεῆ τὴν πρὸς ἡμᾶς ἐγγυᾶται ῥοπὴν, καὶ ὅσα πρὸς αὐτὸν φέρειν δυνάται· τὸ σωτήριον Φημὶ βάπτισμα· τὴν τῆ Κυριακῆ σώματος τελείωσιν· τὴν τῶν Ἱερέων χειροτονίαν, καὶ πᾶσαν ἄλλην ἱερὰν τελετὴν, ταῦτα παρ' ἡμῖν ἀμείωτα σώζεται. Καὶ χάρις τῷ ἡμῶν Δεσπότῃ καὶ

Κηδεμόνι,

Κηδεμόνι, ὅτι τῆς σωματικῆς εὐετηρίας διὰ βίᾳ ἀποπεσόντες φαυλότητα, τῶν εἰς σωτηρίαν φερόντων οὐκ ἐσερήμεθα. Καὶ ἡμεῖς μὲν (*) εἰ καὶ ἐπηρεαζόμεθα, ἀλλ' ὑπὸ τῶν ἀθέων ἐθνῶν τοῦτο πάσχομεν· καὶ παραμυθία τις ἡμῖν ἐσμικρὰ τοῦτο χάριν, διὰ τὸν εὐσέβειαν μισσμένοις, καὶ τὰ δυσχερῆ ταῦτα πάσχσιν· ὅπερ ἄρα δεῖγμα μέγιστον τῆς εἰς ἡμᾶς τοῦ Θεοῦ προμηθείας, καὶ ἀῤῥήτου κηδεμονίας. Δέον δίκας, ὑπὲρ ὧν ὁ βίος ἡμῖν πλημμελῶς ἔχει, ἀποτινυῶσι· παρ' ἀθέων Ἐθνῶν τοῦτο πάσχειν, οἱ αὐτοὶ ἅμα καὶ Θεῷ, καὶ ἡμῖν ἀπομάχονται, ὡς ἂν καὶ ἡμεῖς μετὰ τοῦ Θεοῦ πολεμώμεθα· καὶ μὴ ἔκλισις ἁμαρτιῶν ἁπλῶς ἢ τὰ τῆς ἐπηρείας, ἀλλὰ καὶ, εἰμὴ μαρτύριον, μαρτυρίᾳ ἐγγύς. Εἰ γὰρ καὶ Θεὸς εἰς ὄφλησιν ἁμαρτιῶν, τῆς καθ' ἡμῶν ἐπικρατείας τοῖς ἀσεβέσιν ἀφίσαται, ἀλλ' ἐκεῖνοι δι' αὐτὸν ἡμῖν ἐπεχθάνονται καὶ δυσμεναίνεσι τὸν εὐσέβειαν. Ὑμεῖς δὲ πάσχετε μὲν καὶ αὐτοὶ τὰ ἀνήκεσα, ἀλλ' ἃ παρὰ τῶν ἔξωθεν· ἤδη δὲ παρ' ὑμῶν αὐτῶν ἀλλήλοις ἐπιμαινόμενοι, καὶ πολέμῳ σπεύδοντες, αὐτῶν τῶν ὑμετέρων Παπῶν παρατατομένων ἀλλήλοις, καὶ τὸν κατ' ἀλλήλων πόλεμον αἱρομένων, καὶ αἵμασιν ἀδελφικοῖς τὰς ὑπ' αὐτοῖς ἀναγκαζόντων καθαχραίνειν τὰς δεξιάς· καθ' ὃ τῶν μαινομένων ἐδόν τι διενοήσατε· οἱ τὰ ἑαυτῶν καθατέμνεσι μέλη. Οὖ τί ἄρα (ἴσ. χεῖρον, ἢ ἐλεεινότερον.) καθέσηκε; Καὶ ἐ τοῦτο μόνον τὸ δεινὸν, ὅτι τὰ οἰκεῖα μέλη τιτρώσκετε· ἀλλ' ὅτι καὶ οἱ κλείνοντες, καὶ οἱ κλεινόμενοι, ὑπαΐθιοι τῇ τοῦ φόνε δίκῃ καθίσανται· οἱ μὲν, οἷς τοὺς ὁμοπίστους ἑαυτοῖς καὶ ἀδελφοὺς ἀποσφάτλεσιν· οἱ δὲ, ἐφ' ᾧ φιλαρχίας χάριν καὶ τυραννίδος, εἰς σφαγὴν τῶν ὁμοφύλων παρεσκαύθησαν· καὶ ἀνδροφόνοι τῷ γνώμῳ εἰσὶ, κἂν φονευθέντες αὐτοὶ ἤδη τοῦ σκοποῦ διημάρτοσαν. Καὶ ἡμεῖς μὲν (†) τοῖς ἀθέοις ἔθνεσι συῤῥηγνύμενοι καὶ νικῶντες, εὐέλπιδες καθεζήκαμεν, τοὺς παλαμναιοτάτους καὶ Θεῷ διαφοροτάτους διεργαζόμενοι, καὶ ἐκδικηταὶ Χριστοῦ χρηματίζοντες· καὶ πίπτε-

(*) Αὐτ. Σελ. 478. στίχ. ΚΕ'. 479.
(†) Αὐτ. Σελ. 479. στίχ. ΚΑ'.

σιν, εἰς μαρτυρίε λόγον ἡμῖν ἡ σφαγὴ λογισθήσεται, ὑπὲρ τῷ πολεμεῖν ὑπὲρ Χριστῦ πεπλωκόσιν. Αὐτὸ γὰρ τὸ μάνεσθαι καθ' ἡμῶν τὸς ἀλιτηρίας τότες, καὶ τὰ δεινότατα δρᾶν, ἐκ τῆς καλᾶ τῦ ὀνόματος ἡμῶν ἀκαθέκτε μανίας ἔπεισι τότοις. Ὁ γὲν πρὸς τὸς μὴ δι' ὁ,τιδὴν ἕτερον διαφερομένες ἡμῖν, ὅ,τι μὴ τιὼ εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν εὐσέβειαν, ἀντιτατόμενος καὶ πίπλων, ἄντικρυς ὑπὲρ αὐτῦ Χριστῦ πέπλωκεν. Ὅς γὰρ, οὐν εἰς τὰ ἐξάγισα, καὶ ἄθεα ἐκείνων ἤδη μεταβαλεῖν, καὶ σπόνδες αὐτὲς χεῖν τότες· μᾶλλον δὲ καὶ τῆς παρ' ἐκείνοις ῥαιθώνης καὶ ἀνέσεως μεθ' ὅσης τιμῆς ἀπολαύειν· ταῦτα παρὰ φαῦλον τιθέμενος, μισεῖσθαι παρ' ἐκείνων ἀνέχεται καὶ ἐλαύνεσθαι, καὶ αὐτὸ βιαίως τὸ ζιῶ ἀφαιρεῖσθαι, διὰ Χριστὸν πάντα πάσχει τὰ εἰρημένα. Τῷ δὲ διὰ Χριστὸν πάσχειν, τί ἆρα μακαριώτερον; ἢ τί, τῶν ὅσαγε εἰς τιὼ ἐκεῖθεν φέρει μακαριότητα ἀξιοχρεώτερον; Ὑμεῖς δὲ, τῷ τῆς ὑμετέρας πίστεως τοῖς ἐχθροῖς ἀφέμενοι πολεμεῖν, τοῖς ὁμοπίστοις μάχεσθε οἱ ὁμόπιστοι. Καὶ τ' αὐτὸν πεπόνθατε, οἷον ἄν, εἴτις παρ' ἑτέρων πλητόμενος, ἀφεὶς τὸ διαμάχεσθαι πρὸς τὸς πλήττοντας, ὁ δὲ, τὰ οἰκεῖα καὶ αὐτὸς παῖοι μέλη. Καὶ ἕτω μὲν ἔχει τὰ καθ' ὑμᾶς. Καὶ ἐν οἷς δὲ (*) βίε καθαρότης θεωρεῖται, καὶ πολιτείας ἀκρίβεια, ἡ καθ' ἡμᾶς μερὶς ὑπερτερῦσα φαίνεται πολλῷ τῆς ὑμετέρας μεριδος. Καὶ σωφροσιύλω γὰρ, καὶ ἐγκράτειαν, ταπείνωσίν τε καὶ ἀγρυπνίαν, καὶ Ναῶν εὐκοσμίαν ἱερῶν, καὶ εὐταξίαν ἐν ταῖς Θείαις καὶ ἱεραῖς τελεταῖς, Σεμνότητά τε Ἱερέων, καὶ Ἀρχιερέων Ἁγιοπρεπῆ κατάστασιν· κἂν καὶ ἐχ ὅσιω ἐχρίω· ἀλλ' ἔν γε τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ πλέω ἄν εὕροις ἀκριβωσάμενος, ἢ, τῇ ἧ προσέχωρησας. Ἅπας γὰρ νόμος καὶ Θεσμὸς ἱερὸς, ὁ ἐγκράτειαν καὶ σωφροσιύλω εἰσηγέμενος, ἠπράκλησε παρ' ὑμῖν, καὶ τελείως ἠθέτηται· καὶ πλήρης ἀκολασίας ὁ βίος ὑμῖν, καὶ ἀκαθαρσίας πάσης· ἐχὶ τῷ κοινῷ λαῷ μόνον, ἀλλὰ καὶ τοῖς Μονάζεσι· καὶ ἐχ ὅπως τοῖς Μονάζεσιν, ἀλλὰ καὶ τοῖς τῷ Κλήρῳ καλειλεγμένοις· εἴτε

Διάκο-

(*) Αὐτ. Σελ. 480. στίχ. ΙΑ'.

Διάκονοι ὦσιν, εἴτε Πρεσβύτεροι· Ναὶ μὰ, καὶ οἱ τὸν τῆς προεδρείας βαθμὸν εἰληχότες· Οὓς ἔδει καὶ τῶν ἐκ τῆς λαῆς τὰς ἀναξίας εἴργειν δαπέδου τῆ Ἱερῆ, κατὰ τὰς Θείας Θεσμάς· Οἱ δὲ, καὶ πορνείαις, καὶ μοιχείαις ἐγκαλινδούμενοι, τῷ Θείῳ αὐθωρὸν προσίασι Θυσιαστηρίῳ· καὶ τὸ μέγα, Φεῦ! καὶ Φρικτὸν Χριστοῦ σῶμα, καὶ μετέχειρίζονται, καὶ ἐσθίουσιν. Ἀλλ' ἕως πότε παρεξετάζομεν τὰ ἀσύγκριτα; Ἔχεις τὸ οἰκεῖον σωφρονοῦς ἔλεγχον, ὃν δοθέν σε διδάσκον. ποῖα τῶν δύο τούτων μερὶς οἰκειοτέρα Θεῷ· Σπούδασον ἦν· ἀνάνηψον· καὶ δεῦρο τῆς κρειττόνων μερίδος θᾶττον γενοῦ· Οὐ γὰρ ἀποκέκλεισταί σοι τὰ τῆς εἰς τὸ κρεῖττον μεταβολῆς. Εἰ δ' ἦν, ἀπώλε μονώτατος. Ὁ πάντας καλῶν εἰς μετάνοιαν Κύριος, παράσχοι τῇ ψυχῇ σου ἐπίγνωσιν ἀληθείας σωτήριον. Ἰωσὴφ Μοναχῷ τῷ Βρυεννίῳ.

ΙΑ'.

Τῷ σὺν Ἐπισκόποις Εὐλαβεῖ Κυρῷ Μακαρίῳ (*) τῷ τῆς Ἀμοχώστου. Ἐν Κύπρῳ.

Ἥδομαι ὑποθέσει ἁπάσῃ, ἣ προσδιαλέγεσθαί τῇ σῇ με παρασκευάζει Σεβασμιότητι· Εἰ γὰρ καὶ μὴ οἴκοθεν εὐπετῶς πρὸς τοῦθ' ὁρμὰν ἔχω, τῇ ἐθάδι πρὸς τὰ κρείττω νωθρότητι, ἀλλὰ χαίρω παρ' ἄλλων ἑλκόμενος. Ἡ δ' ὑπόθεσις τίς ἆρα τυγχάνει ἡ τοῦτό γε ἀπαιτοῦσα; Ἀνήρ τις τῶν ὑμεδαπῶν ἤδη προσήειμοι, οἰκείᾳ ἄλωσιν ὑπὸ παρὰ τῶν ἐξαγίστων Ἀγαρηνῶν τραγωδῶν· ὃς μετὰ βαρεῖαν τὴν ἀποτίμησιν, ὀψὲ καὶ μόλις τῆς ἐκείνων ἐπικρατείας ῥυσθείς· δύο γὰρ πρὸς τοῖς ἑξήκοντα χρυσοῦς ἐκρίθη καταβαλέσθαι· τὸ ἡμέτερον κατείληφε δαπεδον. Γεώργιος τὸ ὄνομα ὁ Πατήρ· Μάρκος δὲ ὁ Υἱός· Κρίσκης αὐτοῖς ἡ ἐπίκλησις. Κυριωΐα δὲ κατὰ τὸ σωφρονέστερον αὐτοῖς ἡ Πατρίς· Ὁ τοίνυν Πατὴρ, κατὰ ζήτησιν τῶν οἰκείων παιδῶν ἐξεληλυθὼς, καὶ τοῦτον ἤδη δεῦρο κατειληφότα, ὡσαύτως εἰρήκειν, εὑρὼν, μεγίστων κάτοχος ὤφθη φροντίδων,

(*) Τίς ὁ πρὸς ὃν ἡ Συστατικὴ αὕτη Ἐπιστολὴ Ἐπίσκοπος, ἀπῆν ἐμοὶ φράσιον.

δων, ὅπως ἂν αὐτῷ γένοιτο τὰ λύτρα τῆ παιδὸς ἀποτίσαι, βαρυτάτης μὲν ἔσης τῆς ἐκτιμήσεως, δυσπορίστων δ' ὅτι μάλιστα τῶν χρημάτων. Οὔτε γὰρ αὐτὸς οἴκοθεν ἔχει καταθέσθαι διὰ πενίαν, καὶ τὸ παρὰ τῶν φίλων ἐρανίσασθαι ταῦτα, ἐχ ἥκιστα δυχερὲς, εἰμήτις αὐτοῖς ἔξωθεν πρὸς τῆτο προτροπὴ, καὶ παράκλησις γένοιτο· Τῆτο δ' ἐκ ἂν ἄλλος τις πλέον, ἢ ἡ σὴ θεόπνευς δυνήσεται γλῶττα, ἧς ἄρα πολλοὶ οἱ καρποὶ, καὶ πλείση τῷ Θεῷ δι' αὐτῆς ἡ τῶν σωζομένων προσάυξις. Τῆτο τοίνυν ὁ τλὺ συμφορᾶν παθῶν ἄνθρωπος ἀντιβολεῖ δι' ἐμῆ, καὶ παρὰ τῆς σῆς αἰτεῖ φιλανθρώπε ψυχῆς· οἶδε γὰρ ὅτι τῆς χρηςῆς σε γλώττης ἐξήρτηται πᾶς ὁ λαός· καὶ ἐκ ἔσιν ὅτου ἄρα, ὃ μὴ σοὶ πάντως ἀνύσιμον, τῇ βιαίᾳ τῶν λόγων πειθοῖ, μετὰ τῆς παρομαρτέσης ἡδύτητος. Ἢ τῇ χάριτι μᾶλλον εἰπεῖν τῆ Θεῆ, ἣ σοι ῥᾴσα τίθησι πάντα, καὶ πᾶν ἀντιπίπτον καὶ αὐθαδιάζον, εὐπετὲς καὶ πειθήνιον δείκνυσιν. Ἐπικάμφθητι τοιγαρῆν καὶ τῆ προσιόντος τῇ συμφορᾷ, καὶ φίλε παράκλησιν δυσωπήθητι· ὃς ἄρα τὸ περιπαθὲς αὐτῆ δάκρυον οἰκτείρας· μᾶλλον δὲ καὶ ἀμφοτέρων, Πατρὸς δηλαδὴ καὶ Υἱῆ· Ἱκέτης σοι ὑπὲρ αὐτῶν ἤδη πρόσειμι· καὶ ἑκατέροις τοῖς μέρεσι, τό, τε κατ' ἐμὲ λέγω, καὶ τὸ κατ' αὐτές. Πειθήνιος ὄφθητι. Καὶ ἥσεις μὲν ἐμὲ ὅτι πλεῖσα, ὀνήσεις δὲ καὶ τὲς περισατηθέντας· καὶ τέτων ἐχ ἧττον, εἰμὴ καὶ μᾶλλον, πάντας ὅσοι τῇ πρὸς σὲ εὐπειθείᾳ, διὰ τῆ ἐράνε τῆς χρησότητος, τὸ συμβὰν ἀτύχημα τοῖς ἀνδράσι παραμυθήσαιντο. Καὶ τέλος πολὺς καὶ ἄφατός σοι παρὰ τῷ Θεῷ μισθὸς ἀποκείσεται. Τῆτο μὲν, τῆ πρὸς τὸν πλησίον ἐλέε· τῆτο δὲ, καὶ τῆς κατὰ ψυχλὸ τῶν σοὶ πειθομένων ὀνήσεως. Ἦν, εὖ οἶδα, καὶ πρὸ τῆς ἡμῶν εἰσηγήσεως, αὐτὸς αὐτεπιτάκτως διὰ βίε καρποφορεῖς τῷ Θεῷ· μηδ' ὁτεῦν ἄλλε (*) σπεδαζομένε σωτηρίαν· καὶ ςόμα Χριςῆ καὶ αὐτὸς ὀφθείης. Πρόχες ἓν τοῖς γράμμασι,

(*) Ἀσαφές πως τὸ ὧδε λεγόμενον. Τάχα δ' ἀναγνωστέον „σπεδαζομένε πρὸς σωτηρίαν.

μασι, καὶ σιώπες τοῖς λόγοις μᾶ. Καὶ καθάπερ ὑπέχᾳ καλέμενος, ἕτω καὶ πλήρᾳ ἑπόμενος· Οὐ γὰρ ἀρκεῖ τὸ κληθῆναι μόνον, καὶ ἁπλῶς προχήματι ἕπεσθαι, ἀλλὰ καὶ καλοκἀγαθίας δεῖ τῆς μελὰ τιὼ προσέλθσιν. Ὃ γὰρ κλήρῳ προσεληλύθεις, τᾶτον ἄρα καὶ θεραπθεῖν ἐπέγον (ἴσ. ἐπέγᾳ.) τὰ ἐκείνῳ θυμήρη πληρῶν· καὶ μὴ ἄλλῳ προσεληλυθὼς, ἄλλον θεράπθε· μηδὲ ἄλλῳ σιωταξάμενος, ἑτέρῳ καθυπηρέτει, ἵνα μὴ δίκας ὄφλῃς, ὧν τὰς σιωθήκας ἐψθίσω. Ἵνα μὴ ἐκείνῳ συγκαταδικαθῇς, ᾧ καὶ πληρωτὴς τῶν θυμήρων ἐτέλεις. Τί γὰρ, εἰ καὶ σιωαριθμιος φὴς εἶναι τᾶ ἡμετέρᾳ Κλήρᾳ; Τὸ ἔργον, πολλῷ μεῖζον τᾶ λόγᾳ καθέςηκεν· Ὥσπερ ἀλήθεια σκιᾶς, καὶ εἰκόνος ἀρχέτυπον. Ὅρα τοίνιν μὴ ψιλοῖς μὲν λόγοις χαρίζῃ ἡμῖν, τὸ δὲ μεῖζον τῆς ὑπείξεως μέρος ἑτέροις προσνέμοις· Ἀλλ' οἷς σιωέθᾳ, τᾶτοις ὕπεικε κατὰ πάντα, ὡς ἄν ἕτω σιὼ αὐτοῖς, καὶ ταῦθα κἀκεῖσε, προθέσει, καὶ λόγῳ, καὶ ἔργῳ σιωαριθμῆ. Εἴη σε ἐν Θεῷ εὐεκτᾶσα ἡ Ἁγιότης εἰς πολλῶν ψυχῶν περιποίησιν. Βρυεννίε Μοναχῆ Ἰωσήφ.

ΙΒ'.

Βασιλικόν. (*)

Ἡσθιν τᾶ Σᾶ Κράτες δεξάμενος Γράμματα· ἀνεκτησάμιν τε ἐμαυτὸν, καὶ ἀντὶ μυρίων ἀπέχω ταῦτα τῶν ἀγαθῶν. Ἀλλ' ὅγε πέπονθα ταῦτα διεξιὼν ἐσκεμμένως, ἄρτι καλὸν ἐξαγγεῖλαι. Ὡς γὰρ πρὸς τᾶ κομίσαντος Σπηλιώτα λαβὼν ἐκεῖνα, τοῖς χείλεσίμε προσῆψα τιὼ τάτων ἐπιγραφιὼ, καὶ ἀναπτύξας ταῦτ' ἀνεγίνωσκον, ἃ βασιλικὰ ὤμιν ἰέναι Γράμματα μόνον, ἀλλ' αὐτόν σε τὸν ταῦτ' ἐπισείλαντα Κράτιςον Βασιλέα ὁρᾶν ἐπῆει, καὶ προσκιωεῖν, καὶ φαντάζεθαι. Ἀμέλει πολλιὼ ἐντεῦθεν καὶ ἄῤῥητον ἐκαρπέμιν τιὼ Εὐφροσιώιν· ἐπάλθημε ἡ καρδία· μετεώρισο ἡ ψυχή· ἐπῆρτο ὁ λογισμός·

(*) Μαγκὴλ ἴσ. τῷ Παλαιολόγῳ ἡ Ἐπιστολὴ γέγραπται, τῷ μετὰ τιὼ Ἰωάννε τᾶ Β'. Παλαιολόγε ἀπέλασιν, ἀπὸ 1403-1418. βασιλεύσαντι.

γισμός· καὶ ὅλως ἀνώπιόν σοι μετ' ἐκπλήξεως παρεξάγαγ ἀνόμιζον. Τοσοῦτον ἄρα ἰσχύει Βασιλικῶν Γραμμάτων ὑποδοχή· καὶ ἐγρηγορότος τοῦ σώματος, ἀύπνια βλέπειν βιάζεται τὸν προσεχόντως αὐτὰ μετιόντα καὶ σχετικῶς. Ταῦτ' οἶδε καὶ αὐτὸς, μηδεῶν ἅμα καὶ χαίρων, ταῦτ' ἀμείβομαι τοῖσδε τοῖς γράμμασιν. Ὅτι πολλὰ τῷ Σῷ Κράτει, καὶ μεγάλα ὀφείλων, Κρατιστότατέμοι Βασιλέων καὶ Ὑψηλότατε, εὐνοιαν ἐκ ψυχῆς, ἀγάπλιν ἀπὸ καρδίας, ἐκ γλώττης ἐγκώμια, περὶ πάντων τῶν ὧδε χρηξὰ Εὐαγγέλια, προσκυνήσεις διὰ πραγμάτων, καὶ εὐχὰς πρὸς Θεὸν ἐξ ὅλε τοῦ νοῦ, ἅπαντα τάδε σημηνάμενος τῷδε τῷ μέλανι τῇ Σῇ ἀναφέρω ὑπεροχῇ. Καί γε δέομαι τῆς ὑπερτάτε Τριάδος, περὶ τῆς μακαρίας καὶ ἀϊδίε ἐκείνης ζωῆς, καὶ τλιὼ ἐπίκηρον ταύτλιν εὐτυχῶς ἐπιτεῖναί σοι. Ὅτι, πλείστη χρεία τῆς τοῦ Σοῦ Κράτες σὺ ταῦθα ἐπιμονῆς· ἐχ ὡς τῆς Σῆς Μεγαλοπρεπείας τοῦ ζλῶ τοσοῦτον ἐφιεμένης, ἀλλ' ὡς τῶν πραγμάτων, ἂν μὴ μακρῷ τῷ χρόνῳ τῇ ζωῇ ἐπιμείνῃς, καὶ ἀδικεμένων, καὶ φθειρομένων. Ὅτι καὶ νόμε δεῖται Φυλακῆς, καὶ σωεχείας πόνων, καὶ τάχες (*) περὶ τὰς γνώσεις, καὶ μὴ κατ' ὄψιν κρίσιν, καὶ μὴ χρημάτων ἥτταν, καὶ Ἀνδρὸς χάριτας διδόναι ἐπισαμένε, καὶ ὅτω, καὶ ὅτε, καὶ ὅσας, καὶ ὡς· Εὐεργετεῖν τε, ὡς λόγος Ἀγίων αἱρεῖ, καὶ ὧν δεῖ τοῖς ὠφελεῖσι παρὰ τῶν εὖ πεπονθότων, ἐκ ἀτυχεῖν· Κεκτῆθαί τε πρὸς μὲν τὲς καιρὲς λογισμὸν, πρὸς δὲ τὲς ἀνάντίες τόλμαν, πρὸς δὲ τὲς ὑποτεταγμένες εὔνοιαν. Συνέχειν τὲς φίλες ταῖς δωρεαῖς, καὶ τὲς ἐχθρὲς εὐεργεσίαις φιλοτιμεῖθαι. Τὰ τῆ γενὲς ἐλαττώματα καλύπτειν τοῖς οἰκείοις πλεονεκτήμασι· Τῷ ζερῷ τῶν Φρονημάτων ἀρχέτυπον εἶναι Φιλανθρωπίας, καὶ καρτερίας ὑπόδειγμα. Καὶ τῇ τοῦ λόγε δυνάμει τῆς Ἐκκλησίας κρατύνειν τὰ δόγματα. Ἃ δήπε πάντα ἡ Σὴ μόνη θεόσεπτος Βασιλεία ἀξίως πλεονεκτοῦσα, μακρᾶς ζωῆς καὶ ὑγιείας ἀξία καθέσηκε. Τοιγάρτοι καὶ πάντες οἱ νοῦν ἔχοντες,

(*) Τάχος, ἴσα ὁ Κάδιξ, καὶ τ' ἄλλα ἐν Λεξικῷ, ἴσ. ἀπὸ κοινοῦ τοῦ διδόναι.

τες, ἀνὰ τὴν οἰκουμένην ἅπασαν, ἄνθρωποι, καὶ ἀνακηρύττουσιν ἐπαίνοις, καὶ σεφανοῖσι τοῖς Ἐγκωμίοις, καὶ ἀήττητον εὔχονται διαμένειν τὸ Κράτος σε. Χαῖρε τοίνυν ἐν τούτῳ· εὐφραίνε ταῖς ἀρεταῖς· ἀνδρίζε τῇ εὐσεβείᾳ· μεγαλιῶ τῇ Φιλοσοφίᾳ· καὶ καταγελῶν πάσης ἐπαγομένης σοι κατὰ τούτων ἐπιβουλῆς, σύντεινε, καὶ κατόδου, καὶ βασίλευε· καὶ ἡμῶν, εἰμήτι κωλύει, μὴ διαλίποις ἐρῶν. Τὰ τῶν Σῶν δήλων δήλα, καὶ τῆς Βασιλείας εὐχέτα, Μοναχὲ Ἰωσὴφ τὰ Βρυεννίε.

ΙΓ'.

Τῷ λογιωτάτῳ Ἀνδρῶν Κυρῷ Μανουὴλ τῷ Πόθῳ Ἐν Λακεδαιμονίᾳ. (*).

Ὅταν μόνον ἀναμνηθῶ σε τῆς ἀρετῆς, θυμηδίας πλήρουμαι καὶ ἡδονῆς. Καὶ τίς γὰρ ἐκ ἂν ἀγάσαιτό σε τὸ εὔτολμον τῆς ἡλικίας, τὸ τὰ προσώπε αἰδέσιμον, τὸ χάριεν τῶν λόγων, καὶ τὸ τὰ ἤθες χρηστὸν καὶ ἐπιεικές; ὡς ἐγώγε οἶμαι, πᾶς ὁ δυνάμενος σωφρονεῖν ὁπωσοῦν, ἐπιβαλεῖν σοι θελήσας, ἐκ πρώτης ἂν ἠτιήθειη βαλβίδος. Ὁ δήπε καὶ αὐτὸς πεπονθὼς, ἔτε περισάσεων ὄχλω, ἔτ' ἡμερῶν πλήθει, ἔ διαστήματι τόπε, τῆς πρὸς σὲ διαθέσεως ἐργομαι. Ἀλλ' ἀεὶ καὶ ὁρῶ, καὶ φαντάζομαί σε τοῖς τῆς Ἀγάπης ὀφθαλμοῖς, θαυμάζω, ἐπαινῶ, μακαρίζω, φιλῶ, αἰδοῦμαι, καὶ σὺ διανοίᾳ σε πανταχὲ περιφέρω. Τῷ σῷ ὀνόματι ἰῶμαι, καὶ σιώπιμί σοι τῷ τῆς ἀγάπης νόμῳ τῆς ἀληθές. Τοίνυν σοι καὶ τὸ φίλτρον δηλῶσαι ᾠήθην, ἐπεὶ καὶ ἄλλως ἀφεσηκόσιν ἡδύτι τοῖς φίλοις τὰ ἀλλήλων εἰδέναι. Τέτο δὲ γίνεται διά τε γραμμάτων καὶ λόγων αὐτοῖς· Ὧν τὸ πρῶτον πρὸς σὲ πρῶτος ποιῶν, ὡς ὁρᾷς, σὶ δεξιὰν κινῶ πάντως, τὴν πρὸς ἡμᾶς διάθεσιν οἵαν, γράμμασιν ἐπισημήνασθαι. Γράφε τοίνυν θαρρέντως, Φιλοσοφίας, μᾶλλον δὲ Θεολογίας ἁπτόμενος· καὶ μηδὲν ἡμᾶς τῶν παρερχομένων τετονὶ καὶ ματαίων,

τὲ

(*) Πόθος τίς ἔτος; κἀμοὶ ἀδίκως πόθος.

τῆ περὶ τῆς ἡμετέρας ἐλπίδος Χριςῆ, λέγειν τι καὶ ἀκέειν ἀεὶ, ἀποςήτω· (ἴσ. ἀφισάτω·) Ὧν γὰρ τὸ πολίτευμα ἐν Οὐρανοῖς εἶναι χρὴ, τῆς γῆς ἀφεμένων, καὶ τῶν ὅσα τῆ παρόντος αἰῶνος, τέτων δήπε καὶ τὲς λόγες τῆς τῆ Θεῆ ἀδιαλείπτως ἀγαθότητος ἔχεσθαι καὶ σοφίας, προτήκει. Ἵνα, ὥσπερ ὁ Δεσπότης ἡμῶν, ἐ τοῖς αἰωνίοις ςεφάνοις ἀμείβεται μόνον, τῆς αὐτῆ θεωρίας, καὶ ἀφράςε κοινωνίας ἀξιῶν, ἀλλ' ἤδη καὶ λόγῳ κοσμεῖν ἡμᾶς αἱρῆται, νιῶ μὲν εὐλογημένες τῆ Πατρὸς, νιῶ δὲ δέλες ἀγαθὲς καὶ πιςὲς, νιῶ δὲ οἰκονόμες φρονίμες ὀνομάζων· Οὕτω δὴ καὶ ἡμεῖς, μὴ μόνον τοῖς ἔνδον λογισμοῖς καὶ νομίμοις, καὶ τῆ Εὐαγγελίε ἔργοις ἀξίοις τὸ ἐκείνε εὐφραίνωμεν Πνεῦμα, ἀλλ' ἤδη καὶ γράμμασι, καὶ ταῖς πρὸς τὸν Πλησίον διαλέξεσι, τιλὼ ἐκείνε Μεγαλειότητα καὶ δωρεὰν ἐμφανίζωμεν. Καὶ τί γὰρ ἂν βέλτιον γένοιτο ἀνδράσιν εἰς Χριςὸν πιςεύσεσι, τῆ περὶ Θεῆ τινὰ διέξοδον; οἷς ψυχὴ ἄνω αἴρεται, καὶ τῶν φαινομένων πάντων ὀλιγωρεῖ, καὶ τῇ, τῆς τῶν λεγομένων μὴ κατὰ πίςιν, ἀλλὰ κατ' εἶδος γνώσεως, ἐπιθυμίᾳ φλέγεται, τὸ ψύχος τῆς ἀκηδίας τῆ βίε καταλιπεῖσα, καὶ τῶν αἰωνίων καὶ Θείων ἀναζωπυρεμένη ἔρωτι; Ὡς ἔγωγε τῆς μελλέσης ἐκείνης καὶ ἐλπιζομένης τοῖς δικαίοις μακαριότητος, ἧς γε νῦν τὸ μέγεθος ἐ χωρεῖ, ὀφθαλμός τε τιλὼ λαμπρότητα ἐκ εἶδεν, ὔτε ἓς ἦκεσε τιλὼ ἡδύτητα· Ταύτης δὴ τῆς τοιαύτης προοιμίου τι ἀτεχνὲς ὁρῶ, τὸ ἐνταῦθα τινὰ, τῶν πολλῶν τῆ αἰῶνος τέτε θορύβων, ἀπαλλαγέντα ζῆν ἐν λόγοις, ἐ οἷς ἄξιον, τὲς τῆς Ἰησῆ κοινωνίας καὶ θεωρίας ἐφιεμένες. Τοιέτες ἓν λόγες σιωπιθέμενος καὶ ἐπιςέλων ἡμῖν, εὐφραινε καὶ σαυτὸν, καὶ ἡμᾶς, καὶ τὸ Πνεῦμα Κυρίε τὸ Ἅγιον. Ἡ χάρις τῆ Θεῆ διατηρῆσα σε εἴη ψυχῆ τε καὶ σώματι, εἰς ἡδονὴν ἐμὴν, καὶ ψυχῆς λυσιτέλειαν. Ὁ πάντα τὰ Σὰ καὶ ἀγαπῶν, καὶ ἐπαινῶν, καὶ θαυμάζων, Ἰωσὴφ Μοναχὸς ὁ Βρυέννιος.

ΙΔ'. Τῷ

ΙΔ'.

Τῷ εὐδοκίμῳ, καὶ εὐφυεῖ· Καὶ σπουδαίῳ σὺ Ἰατρικῇ, καὶ Ῥητορικῇ, καὶ Φιλοσοφίᾳ, Κυρῷ Μανουὴλ τῷ Ὀλοβόλῳ. (*) Ἐν Θεσσαλονίκῃ.

Οἶδασε τιὼ ἀγάπιω τιὼ γνησίαν καὶ θερμιὼ, ἐδενὶ μαρανομένιω τῶν ὅσα ταύτιω λυμαίνεθαι πέφυκεν. Οἶδα, ὡς καὶ ἀποδημήσας γράμματα βέλει λαβεῖν παρ' ἐμοῦ, καὶ ταῦθ' εὑρεῖν κατὰ λόγον σωτεθειμένα· ἐκεῖνο, διὰ τὸ πρός με φίλτρον· τοῦτο, διὰ τὸν πρὸς τοὺς λόγους θερμότατον ἔρωτα· μᾶλλον δὲ, καὶ τοῦτο διὰ ἐμέ. Ἀποδεχόμενος γὰρ εὐδοκιμεῖν με σὺ ἅπασι τοῖς καλοῖς, χαίρεις ὁρῶν με καὶ τέχνῃ, ἐχ ὡς ἔτυχε, γράφοντα. Διάτοι τοῦτο καὶμοὶ γράφειν ἀνάγκη πρός σε, καὶ Ἐπιστολιμαίῳ τύπῳ πειρᾶθαι τοῦτο ποιεῖν, ἕως ἔξεσιν. Ὁ δὴ ποιεῖν μὺ προθύμως ἔχω καὶ ἐφετῶς· Πλιὼ ἐδ' ἔτως σοι διώαμαι τιὼ ἐπιθυμίαν πληρῶν· Σὺ μὺ γὰρ, κάλλος Ἐπιστολῶν ἐθέλοις ἂν παρ' ἡμῶν· Τὸ δ' ἡμέτερον πόρρω τῆ διώασαι τοῦτο ποιεῖν. Ὅμως δ' ἔν, ὅπερ ἰχυω ποιεῖν, ἤδη ποιῶ· καίπερ ἀδυνατῶν τῷ κάλλει τῶν σὺ τοῖς γράμμασιν ὀνομάτων εὐφρᾶναι σε. Διὰ γᾶν τῶν ἐγκειμένων σὺ τούτοις ἀγγελιῶν τέρψαι βέλομαι. Ἵν' ὥσπερ, εἴγε παρῆς, ἐκοινώνεις ἂν ἡμῖν τῶν χρησῶν, ἔτω καὶ πόρρω διάγων, ἀπολαυόντων ἡμῶν, σωαπολαύοις ἅμως τῶν ἀγαθῶν. Πρῶτον ἓν γίνωσκε, ὡς ἐκ ἀμνημονῶ τῆς σῆς ἀρετῆς· ἀνακηρύττω δὲ ταύτιω, καὶ μέμνημαί σε διλυεκῶς· καὶ ὡς παρὼν, καὶ χαριέντως συνομιλῶν σοι, ἔτω σε ὁρῶ καὶ φαντάζομαι τοῖς ψυχικοῖς ὄμμασι· καὶ τὸν τόπον, καὶ χρόνον, καὶ τοὺς λόγους, καὶ τὰ ἤθη, καὶ τὸν τῆ προσώπε χαρακτῆρα, καὶ ἁπλῶς ἅπαντα τὰ σὰ, ὡς ἕκασον λέλεκται, ἢ πέπρακται, ἢ ἐσὶν

(*) Προσγενὴς ἴσως ἦν ἔτος τῷ χαρτοφύλακι Ἰωάννῃ, πρὸς ὃν ἡ Γ'. τῶν Ἐπιστολῶν.

ἐς, ἔτω ταῦτα κατὰ νῶν θεωρῶ· καὶ ἐδὲ πᾶς ὁ (αἰὼν τλυ) πρὸς σέ με φιλίαν λήθης βυθοῖς παραπέμψαι, ἢ ἀλλοιώσαι τὸ σιώλον. Τοιοῦτος ἐγὼ διάπυρος φίλος καὶ ἐραστὴς θερμότατος καὶ μνημονικώτατος. Ἔπειτα ἴσθι, ὡς ἐν εἰρλίνῃ βαθείᾳ τὰ ἐνταῦθα ἔῶα, καὶ τὰ ἑσπέρια. Ἐν εὐθιλίᾳ πολλῇ ἅπαντα τὰ τῆς Βασιλίδος· ἐν σαθηρᾷ ὁμονοίᾳ τὰ τῶν φίλων· καὶ ἐν μεγάλῃ κατασάσει τὰ τῆς καθ' ἡμᾶς σεβασμίας Μονῆς· Καὶμοὶ δὲ ἰδίᾳ ὁ μεγαλόδωρος προσίθησιν ἀεὶ, ταῖς ἡδύ μοι τὸν βίον ποιήσαις ἀφορμαῖς, καὶ μὴ τῇ ἐμαυτοῦ πρὸς ἐκεῖνον ἐπιστροφῇ μόνον ἥδεσθαι, ἀλλὰ καὶ τῇ τῶν σὼ ἐμοὶ ἀδελφῶν, παρέχει. Οὓς βλέπων τῆς ἐν Χριστῷ κεκρυμμένης ζωῆς ἐχομένους, καὶ πονοῦντας σὼ ἡδονῇ πόνους, ὧν ὁ καιρὸς ἔνδοξος, καὶ τοῖς νῶν ἔχεσι ζηλωτὸς, ἐπιεικῶς χαίρω, καὶ χάριτας ὁμολογῶ τῷ Δεσπότῃ τῷ λυτρωτῇ τοῦ κόσμου, ὅτι καθήρας ἡμᾶς τῷ αὐτοῦ αἵματι, ὑπὸ τῆς ἰδίας αὐτοῦ χρηστότητος ἐνέγραψε τῷ χορῷ τῶν ἐκείνῳ δεδουλευόντων. Καὶ μελλόντων ἀπολεῖσθαι ὑπὸ ἀγνοίας καὶ ἔθους καὶ ἀγροικίας, ὅπως τε τούτων περιγενοίμεθα, ἀντελάβετο· ἐπιχειρεῖσι τέτι τῶν τῆς σωτηρίας ἔργων εὐθὺς σιωφάπτεται, διδοὺς πανταχοῦ ὧν δεῖ τοῖς αὐτὸν θεραπεύσαι σπεδάζουσιν· Ἐν τούτοις ζῶμεν, καὶ ἔτως ἔχομεν, Ἄριστε Φίλων, καὶ γνησιώτατε. Ἓν ἐστὶ μόνον τὸ πάνυ τρύχον καὶ δάκνον ἡμᾶς, ἡ τοῦ Κρατίστου καὶ Ἁγίου Βασιλέως ἡμῶν ἀπουσία καὶ στέρησις. Ὃν, Θεοῦ προσιόντος λόγῳ, ταχέως ἴδοιμεν πάντες ὡς βέλεται. Εἴης μοι ἐν ἅπασιν ὑγιαίνων, εὐθυμῶν, εὐθετῶν· καίγε διαρκὴς θυμηδία παρείη σοι. Τοῦ τῶν σῶν ἐπαινέτου καὶ γνησίου φίλου, Μοναχοῦ Ἰωσὴφ, ᾧ Βρυέννιος τὸ ἐπώνυμον.

ΙΕ'.

Τῷ Μητροπολίτῃ Ἡρακλείας, Πρωτοθρόνῳ καὶ Ὑπερτίμῳ Κυρῷ Ἀντωνίῳ. (*)

Βαθεῖα κατέχει ἡμᾶς ἐκ πολλῆ σιγὴ, καὶ πολὺς τῇ ἀφθεγξίᾳ ἐμετρήθη ὁ χρόνος· Οὐκ ἔχω δὲ πότερον τότε ἄρα αἰτιάσομαι, ἢ ἐμαυτὸν, ἢ τὴν σὴν Ἱερότητα. Ὅμως ὁπότερος ἡμῶν τότε αἴτιος, βέλομαι τὸ σὸν ἐκποδὼν οἴχεσθαι τὴν σιωπὴν, καὶ παῤῥησίαν τῷ λόγῳ δοθῆναι, καὶ τὴν ὠδῖνα τῆ πόθῳ τὸ οἰκεῖον ἐκρῆξαι κύημα· καὶ ἐς συμφορῶν κοινωνίαν ἐγνώρισε, τότε καὶ γράμματα καὶ λόγοι ἀλλήλοις σιωδῆσιν: (**) Ἀλλὰ τί πάθω; καὶ γὰρ εἰς τοῦτο ὀργῶντα, καὶ ὅλον τῆ ἔρωτος ἐξηρτημένον τῶν λόγων, καὶ μηδὲν ἄλλο, ὅτι μὴ λόγους μελετᾶν καὶ δημιουργεῖν προθυμούμενον, πρὸς ἄλλ' ἄττα με ὁ ἐπιτεθεὶς βίᾳ ἕλκει ζυγὸς, καὶ τῆς ἐθάδος ἄνωθεν καὶ φίλης ἀπραγμοσύνης ἀφέμενον, πραγμάτων ὄχλῳ πείθει διομιλεῖν. Καὶ ἁπλότητι σωτρόφον ὄντα, πρὸς (τὸ) πολυειδὲς τῶν ἀνθρωπίνων γνωμῶν καὶ πολύτροφον ἀναγκάζει μεταβαλεῖν. Πῶς γὰρ, εἰμὴ ποικίλος τις εἴην τὴν σιώπεσιν· εἰμὴ ἔξιν ἑκάστῃ καὶ ἦθος εἰδείην, καὶ ἔθος, οἷος τ' ἂν εἴην ἐπισημόνως μετιέναι τὰ κατ' αὐτόν; Ἰλίγγει ἦν ἄξιον τὸ χρῆμα, καὶ πλοίας ὅτι πλείστης, καὶ τρόμε, καὶ δείματος, μὴ ὅτι γε ἐμοὶ τῶν πάντων ἀνθρώπων ἀδρανεστάτῳ· ἀλλὰ καὶ αὐτοῖς, οἷς ὅτι πλεῖστον τὸ περιὸν ἐν σιωπέσει καὶ ἀρετῇ. Οἳ καὶ δαψιλῆ διὰ βίε καθαρότητα, τὴν τῆ Θείε πνεύματος χάριν ἐχήκασιν. Εὐχῶν ἦν μοι χρεία πολλῶν, καὶ παῤ ἐμαυτῆ, καὶ τῶν ἔξωθεν, ὡς μὴ θρηνῶν ἄξια ὕστερον ὀφθείη τὰ κατ' ἐμέ. Ἀλλ' ἐμοὶ μὲν πάντα κῆφα ἔσαι ταῦτα καὶ φορητὰ, ὑπὲρ ἐμῆ ἐντυχόντος σε τῷ ὑπὲρ τῶν κατακρίτων ἀποθανόντι. Ἡ σὴ δὲ Ἁγιότης, ἀλλ' ἀνάσχε φιλοσόργως μοι προσιόντι σοι· Τῆς Ἀρχῆς ταύτης ἐπιλαβόμενος μέμνησο τίνων ἄρχεις·

(*) Οὗτος ὁ ἐν τῇ κατὰ Φλωρεντίαν Συνόδῳ, ὁ ἐν τοῖς πρώτοις ὑπογράψας, καὶ ἐκ ἐν δευτέροις μεταγνάς.

(**) Οὕτω μὲν ἐν τῷ Κώδικι· ἀλλ' ἴσ: σιωδήτωσαν:

Τίνας ἄγεις· καὶ τίνι, τέτων πέρι, μέλλεις λόγον ὑφέξειν. Τὰς εἰκόνι (*) (λέγω) τετιμημένας Θεῷ, καὶ γεγονημένας αὐτῷ καθ' ὁμοίωσιν· (**) καὶ Θεῷ, ᾧ πάντα εἰς κρίσιν αὐθωρὸν παρασήσεται, καὶ ἓ πρὸ προσώπε πᾶσα ἡ κλίσις φρίττει καὶ δέδοικεν· ὃς ἑκάστε τῶν βεβιωμένων λόγον ἡμᾶς ἀπαιτήσει. Ὃν ἐχ ὅπως τῶν φανερῶν, ἀλλὰ καὶ τῶν ἀφανῶν ἐδεῖ ἄρα λέληθε. Τέτων τοσέτον ὁ Θεὸς περιέχεται, καὶ ἕτω φέρει τὰ κατ' αὐτὸς, ὡς μὴ μόνον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἑαυτῷ δεδημιέργηκε τέτες, ἀλλὰ καὶ παράδεισον αὐτοῖς ἐχαρίσατο· καὶ τέτε δι' ἀπάτιν ἐκπεπλωκότας νόμῳ κατησφαλίσατο, Προφήταις ἐπαιδαγώγησε, δι' ἀνδρῶν ἱερῶν τὸ συμφέρον ἐπέσκηψεν, Ἀγγέλοις παρακατέθετο φύλαξι. Δι' αὐτὸς ἐξέτεινεν Οὐρανὸν, ἥπλωσεν ἀέρα, γλῶ ἐτεκμήνατο, ἥλιον ἧψεν, ἐξέχεεν ὕδωρ. Τί δεῖ τὰ πολλὰ λέγειν; τῆς φύσεως αὐτοῖς ἐκοινώνησεν· ἀδελφὸς ἑαυτῷ καὶ κληρονόμες ἀνέδειξεν. Οὕτως ἄρα ὁ Θεὸς αὐτὸς ὑπεραγαπᾷ· λοιπὸν κρίνων αὐτὸς καὶ ἄγων, ὡς ἀδελφὸς Χριτῷ, καὶ υἱὸς Θεῷ θέσει πάντας ἡγῷ. Οὕτω γὰρ καὶ τὸν ἀγαπῶντα αὐτὸς πρὸς σὲ ἀγάπιν ἐρεθίσεις, καὶ αὐτὸς πρὸς μίμησιν κινήσεις ψυχωφελῆ. Μὴ, ὡς οἱ πολλοὶ, θελήσης μετέρχεθαι τὸ ἀρχεῖ. Καὶ γὰρ οἱ πλεῖτοι (λέγω δ' ἀληθῶν, ἐ κρίνων.) ἐχ ἕτερόν τι ταύτιν οἴονται καθεσᾶναι τὸ ἱερὰν καὶ Θειαν ἵν' ἔτως εἴπω ἡγεμονίαν, ὅτι μὴ ὕλιν πρὸς τὸ δρᾶν ἀναφανδὸν τὰ θυμήρη· Χαριζομένης δῆθεν αὐτοῖς τὸ ἀνόθιτον τῆς Ἐκκλησίας, διὰ τὸ τὲ ἀξιώματος ἔξοχον. Καὶ ἐ πρὸς τὸ ἐρεθίζειν, καὶ σώζειν τὲς ὧν ἄρχεσιν, ἀλλ' ἀπολλῦσαι μᾶλλον καὶ φθείρειν, ὑπόθεσιν. Οὕτω γὰρ ἐλέγχει τὸ ἔργον αὐτὲς ὑπολήψεως ἔχοντας. Οἵ ἐχὶ τὸ τῇ Πόλει σωτῆριον, ἀλλὰ τὸ οἰκεῖον κέρδος σκοπεύντες, καὶ τέτ' ἐκ παντὸς τρόπε περιποιεῖθαι θέλοντες, τῆς τῶν Ἀλωπεκίδων ἐφόδε τῷ ποίμνιῳ ἐξαιρέμενοι δῆθεν, Λύκων ἔτοι τρόπον αὐτῇ, ἢ Λεόντων

(*) Ὅτω παρενθέμιν τὸ (λέγω)· Ἄλλως, καὶ διὰ γενικῆς ἂν ἐρθωθείη τὰ τῆς Συντάξεως, ὧδε: τῶν εἰκόνι τετιμημένων κτ.

(**) Ἀντὶ τῦ (καὶ Θεῷ) ἴσ. ὅτι Θεῷ· ἢ, δηλονότι Θεῷ.

των προσφέροντας, καὶ Παραλίων. Ὥσπερ εἰς αὐτὸ τοῦτο, τὸ ἧττον κακὸν ἀποσκοπάζομενοι, ἵν' αὐτοὶ καὶ τινὰ ἔλλειψιν ἐκείνων ἀποπληρώσωσιν. Οὗτοι ἀντικρυς αὐτοὶ καὶ Δεσπότας τελοῦσιν ὁμῶς, καὶ ἐχθροί· σωτῆρες, καὶ λυμαντῆρες· ἔφοροι, καὶ πολέμιοι· τὰ πάντη ἀσύμβατα. τὸ μὲν, τῷ χήματι· τὸ δὲ, τῷ πράγματι. Οὕτω γὰρ βοᾷ διαῤῥήδην τὰ πράγματα. Οἰκίας τις προεσηκὼς, εἰπέμοι, ἄσωτός τις ἢ καὶ δαπανηρὸς, ὥστε καθ' ἡμέραν τινὰ οἰκείαν ὑπαρξιν ἐκμεῖν, καὶ παρὰ πολὺ τὰς ὁσημέραι ἐξόδους τῶν προσόδων πλεονεκτεῖν· Τί διοίσει τοῦ ἔξωθεν συλῶντος αὐτὰ, ἢ λῃζομένου; Εἰ μὴ καὶ χείρω πολλῷ τοῦτον εἴποις ἐκεῖνο, καθ' ἑκάστην λῃζόμενον τινὰ οἰκίαν, καὶ κατασρέφοντα. Ὥσπερ γὰρ Σκώληξ τῇ Ἐντερώνῃ τῶν φυτῶν ἐμφὺς, ἀνεπιδεᾶ ταῦτα δείκνυσι τῆς ἔξωθεν ἐπιβολῆς, αὐτὸς ἔνδοθεν κατεδίων καὶ διαφθείρων· ἕτω καὶ πόλις τὰς αὐτῆς ἐπισατοῦντας, σωτελεστὰς εὑρίσκουσα καὶ ἐκμειωτὰς, τῶν ἔξωθεν ἥκιστα πολεμίων δεῖται πρὸς τινὰ καθαίρεσιν. Ὥσπερ δὲ οἱ ἐνδεδιητημένως βιῶντες, καὶ τὰ οἰκεῖα ἀφειδῶς ἀναλίσκοντες, τὸ παρὸν ἡδὺ μόνον σκοπεῦντες, τινὶ ὕστερον λίμοξιν, καὶ τινὰ παντελῆ τῆς οἰκίας ἐκ ἐνοῆσιν ἐρήμωσιν· Οὕτω καὶ τῶν προεστώτων οἱ πλείους τῇ ἐξουσίᾳ τὸ τήμερον καταχρώμενοι, καὶ τῶν ἐπισατεμένων τινὰ εὐπορίαν ἀφειδῶς ἀναλίσκοντες, ἐ λόγον ποιοῦνται τοῦ ἐφεξῆς, ἀλλὰ τὸ παρὸν καρπεῦσθαι βελόμενοι, τὸ μεθ' ἡμᾶς, φασὶ, κατὰ τινὰ Ἐκκλησίαν μενέτω. Τοῦτο δὲ χρὴ σκοπεῖν· Ὡς ὅπερ οἰκία ἐστὶν ἐν βραχύτητι καὶ συστολῇ, κατά τε περιοχὴν καὶ οἰκήτορας· Τοῦτ' ἄρα καὶ πόλις ἑκάστη, καὶ Ἐκκλησία, ἐν ἐκλάσει καὶ πληθύϊ τόπου καὶ οἰκητόρων καθέστηκεν. Ὡς συμβαίνειν τινὰ οἰκίαν μὲν, πόλιν καὶ Ἐκκλησίαν εἶναι σωεσαλμένην· Οἶκον δέ τινα μέγιστον καθεσᾶναι τὸν Ναὸν, ἢ τινὰ Πόλιν. Λόγον τοιγαροῦν ἐπέχει, ὁ τοῦ οἴκου μὲν Δεσπότης, τοῦ τῆς Πόλεως Ἄρχοντος· Οὗτος δ' αὖ, τοῦ τῆς Ἐκκλησίας ἐπισατοῦντος. Ὅσον ἔν λόγον ποιεῖσθαι ὀφείλει ὁ πρῶτος, τοῦ τινὰ οἰκίαν αὐτῷ σωεσᾶναι· ὅ,τε δεύτερος τοῦ εὐνομεῖσθαι τινὰ πόλιν· τοσοῦτον

κατ' ἄμφω προσήκει ποιεῖσθαι τῆς Ἐκκλησίας καὶ τὸν Ἐπίσκοπον· Οὐ Δεσποτικῶ, ἀλλὰ Πατρικῶ πρὸς πάντας, ἢ καὶ Διδασκαλικῶ διάθεσιν ἀνδεικνύμενον· Ἕνα γνήσιον Δεσπότην εἰδότα καὶ Κύριον, τὸν ἐπὶ πάντων Θεόν. Ἑαυτὸν δὲ, μὴ Κύριον ὧν ἄρχει δοκεῖν, ἀλλ' ἀδελφὸν καὶ ὁμόδουλον. Ἐπεὶ καὶ αὐτὸς τῶ αὐτῶ αὐτοῖς ἔλαχε φύσιν, καὶ τὸν αὐτὸν ἔχε χῶν τῆ βίᾳ Προπάτορα. Τῷ αὐτῷ τε κατὰ τὸ διάλυσιν τῆ σώματος λειτουργήσει νόμω, καὶ τῷ αὐτῷ Δικαστῆ παρασήσεται. Ἐγκεχείρισαι δὲ αὐτῷ τὰ τῆς ἐκείνων ἀρχῆς, ὡς ἂν τῆ μὲν προμηθεστικῆ διαθέσει, πατὴρ αὐτῶν ᾖ· τῆ δὲ πρὸς τὰ κρείττω προτροπῆ, καὶ τῆ τῶν χειρόνων ἀποτροπῆ, διδασκάλε τόπον ἀποπληροῖ· Ἐπεὶ ἓν φιλεῖ τὸ ἀρχόμενον· ὡς τὰ πολλὰ, σιωξομοιοῦσθαι τοῖς Ἄρχουσι, καὶ αὐτοκελεύστως τὰ πρὸς χάριν ἐκείνοις καὶ πρὸς μίμησιν ἐκλελεῖν, κἂν ὁποῖα τυγχάνοι· Ὡς ἂν παράδειγμα εἰς ἀγαθὸν πᾶσιν ᾖ, πάντα διασωθήσεται τὰ οἶκοι, ὡς τῷ Θεῷ φίλον. Τὸς περὶ αὐτὸν ἅπαντας εὐκόσμως καὶ ἀνεπιλήπτως ἐθίσει βιῶν. Οὐκ ἐνασμενίσει δὲ ὁτῳοῦν ὅσοι τὸν τρόπον σκαιοὶ καὶ φαυλόβιοι, Ἀποδέξεται καὶ στέρξει τὸς σωφρονεστέρως ἀγωγὴ καὶ βίον ἀνηρημένες, ἀποστοργὸς θήσεται καὶ συγηρὸς, ὅσοις φαῦλον τὸ ἦθος καὶ φιλομόχθηρον. Φιλότιμος τὸν τρόπον ἔσαι καὶ εὐεργετικὸς, ἥδιον αὐτὸς δίδὸς, ἢ λαμβάνσιν ἕτεροι· καὶ χαίρων ἀ τῷ χρηματίζεσθαι, ἀλλὰ τῷ ἀποπλετεῖν Θεῷ, καὶ τοῖς Πένησιν. Ὥτα καὶ χεῖρας ἀνοίξει τοῖς δεομένοις, εὐσύντακτος τοῖς προσιοῦσιν ὧν καὶ εὐπρόσιτος, κἂν τῶν εὐτελεστάτων ἓν, κἂν τῶν φαύλων τῶ τύχῳ καὶ ἀκλεῶν. Οὕτω δὲ μετρίως ἔχων τῆ ἥδες καὶ προσηνῶς ἀ τοῖς ταπεινοῖς, ἀ τοῖς σοβαροῖς καὶ ὑπερόφρυσι τὸ ἐμβριθὲς ἐπιδείξεται. Τὸς μὲν, τῆ δέες ἐξισῶν τῆ μετριότητι· τοῖς δὲ, συσέλλων τῶ ὀφρῶ τῆ σιβαρότητι. Ὡς παίδων οἰκείων, ὡς ἀδελφῶν, ὡς Πατέρων, ἑκάστων φροντιεῖ τῶν ἀνὰ τῶ ποίμνιω. Τότε ἑαυτὸν εὖ πράττειν λογίσεται, ὅτε εὐπραγοῦντας ὁρᾷ τὸς ὑφ' ἑαυτὸν. δυσπραγίαν δὲ ἑαυτῆ, τῶ ἐκείνων δυσημερίαν ἡγήσεται. Καὶ ὡς ἔπος εἰπεῖν,

ἕτως

ἔτως ἡδήσεται τῇ ἐκείνων εὐετηρίᾳ, ὥσπερ δῆτα τῇ ἑαυτῆ. Καὶ ἔτω τῇ ἐκείνων ἀλγήσει κακοπραγίᾳ, ὥσπερ εἰ αὐτὸς ἐκεῖνος ἰῷ ὁ κακοπραγῶν. Καὶ ἔχ ὡς οἰκείων τῶν τοῖς ὑπηκόοις προσόντων μεταποιήσεται, ἀλλὰ τὸ ἀνάπαλιν· τὰ ἐκείνῳ προσόντα, τοῖς ὑφ' ἑαυτῷ προσήκειν οἰήσεται. Τοιῆτον δήτινα, ὡς ἀ τύπῳ εἰπεῖν, τὸν ψυχῶν προϊσάμενον εἶναι χρεών. Ἀλλ' ἔλαθον ἐμαυτὸν ἐκ τῆς πρὸς σέ με ῥοπῆς εἰς τῆτο κατενεχθείς· ὃν ἐχρὶν μὲν τῶν ἐμαυτῆ κακῶν μόνων φροντίδα τιθέμενον, ταῦτα θρηνεῖν τε καὶ ἀποδύρεσθαι· Ἐπεὶ θρήνων μοι τὰ εἰργασμένα, καὶ ὀδυρμῶν ὄντως ἄξια. Καὶ πῶς γὰρ ἔ; ἃ τὸ Θεῖον ἐκπολεμεῖ μοι; καί με τῆς ἐκεῖ καθίζησι δίκης ὑπόχρεων; Ἀλλ' ἡ τῆς κακίας τὸ νῶ εἶναι ἐπίτασις, ἔτω ῥαγδαίως ἡμῖν ἐπεισφρήσασα, ὡς καὶ μέχρι τῶν τῆς Ἐκκλησίας προχωρῆσαι ποιμένων, καὶ τὲς Διδασκάλες, Οἴμοι! τῆς ἀρετῆς, ἀρχέτυπα γίνεσθαι πρὸς κακίαν τοῖς ὑπ' αὐτές· Τῆτο τῶν οἰκείων ἀφέμενον, τὰ ἀλότρια διεξιέναι με καὶ οἰμώζειν παρασκευάζει. Ἀξιῶ δὲ καὶ τλιῶ σλιῶ Ἱερότητα, μήμοι νεμεσῆσαι τῇ ἐγχειρήματος, αὐθάδειάν τινα καὶ ἰταμότητα τὸ χρῆμα θεμένη. Οὐ γὰρ κρίνειν βελόμενος τὲς Κριτὰς, ἐδὲ διαβάλλειν τὲς Διδασκάλες, ἐδὲ νομοθετεῖν τοῖς νομοθέταις, εἰς τῆτο κατέσλω· ἀλλ' οἰκλιζόμενος καὶ ἐλεῶν, ὅπερ ἔφθλω, τὰ καθ' ἡμᾶς εἰς τῆτο φαυλότητος ἥκοντα, καὶ τλιῶ σλιῶ Ἁγίαν ὑπομιμνήσκων ψυχλιῶ τῶν πημένων, καὶ τῶν ποιμένων· Ὡς ἂν τὲς μὲν ἀποφύγῃς, τὲς δὲ μιμῇ. Τὸν γὰρ τῶν ἀπολλυμένων ψυχῶν οἶκλον ἐκ τῆς προεστώτων ῥᾳθυμίας, ἐκ οἴμαι μὴ τῆς σῆς μάλιστα καθικνεῖσθαι ψυχῆς. Εἴης ἐῤῥωμένως πρὸς τῆς Παντοκράτορος δεξιᾶς, Ἁγιώτατε Πάτερ, καὶ τὸ Θεῖον ὑπὲρ ἡμῶν ἱλεύμενος. Ὁ κατὰ πάντα τῆς σῆς Ἁγιότητος Ἰωσὴφ ὁ Βρυέννιος.

ιε'.

Τῷ Πανιερωτάτῳ Μητροπολίτῃ Κιαίβε, καὶ Πάσης Ῥωσίας, Φωτίῳ τῷ Ὑπερτίμῳ, καὶ ἐμῷ Δεσπότῃ καὶ Φίλῳ γνησιωτάτῳ· καὶ κατὰ Πνεῦμα Πατρί.(*) Ἐν Ῥωσίᾳ.

Οὐ θαυμαστὸν εἴπερ ἀπροφασίστως, ὡς ἄντις οἰήσαιτο, τολμήσας γράφω τῇ σῇ Ἁγιότητι. Ὁ γὰρ πρὸς ταύτῃ ἔρως ἔστω με καθίζησι πρόθυμον, ὥστε εἰ εἶοντε λῷ σιωεχῶς ἐπέσελλον ἄν. Οὓς γὰρ ἔρως πρός τινα ἀναγκάζει διακαὴς, ὅταν μὴ ἔχωσιν ἐκ τῆ σιώεγγυς τῷ ἐρωμένῳ συγγίνεσθαι, γράμμασι τὸ ἀνιῶν ἀλθαίνειν πως δοκιμάζεσι. Τῇ σὺ τούτοις γᾶν προσφθέγξει ἑαυτοῖς τὸ ἀκεσώδυνον μετρίως περιποιέμενοι. Εἰ τοίνυν καὶ αὐτὸς διαπύρε σύδειξιν φιλίας ἔοικα τὸ πρὸς σὲ γράφειν προβάλλεσθαι, ἀλλὰ (τὸ ἀληθὲς γὰρ ἐκ ἀρνήσομαι·) ἐμαυτῷ τῇ ἀληθείᾳ χαρίζομαι. Καὶ γὰρ ὅσης ἡμᾶς ἡδονῆς σὐέπλησεν, ἡ τῆς σῆς Ἁγιότητος σὐδημία, τοσῦτον ἡ ἐκδημία ταύτης, τὸ ἄλγος σὐῆκεν ἡμῖν. Ὥσπερ γὰρ φαιδρόν τι, καὶ ἁπάντων ἥδιον τῶν ὁρωμένων ὁ Ἥλιος ὢν, ὅσον ἥδειν πέφυκε τὲς ὁρῶντας, τοσῦτον λυπηρὸν τοῖς ζημιωθεῖσι τῦτον καθίσαται· ἔτως ἄρα καὶ τῶν ἀγαθῶν Ἀνδρῶν αἱ σιωσσίαι, ὅσον ἴσασι τέρπειν τῇ χρήσει, τοσῦτον ἀποποιέμεναι δυσφόρητοι καθεσήκασιν. Ἔπεισιν ἓν ἡμῖν ἐχ ἧκισα γλίχεσθαι τὲ μαθεῖν, ὅπως ἔχει τὰ τῆς σῆς Ἱερότητος· καὶ εἰ ἔῤῥωταί σοι τὸ σῶμα· Τὸ γὰρ τῆς ψυχῆς, ἡμῖν ἐκ ἀμφίλεκτον· Καὶ εἴ σοι τὰ τὲ βίε εὐμαρῆ, καὶ θυμήρη, καὶ ἐξάντη δυχερείας ἀπάσης ἀνύεται. Τῦτο γὰρ εὐχῆς τῆς μεγίσης ἔργον ἡμῖν. Καὶ τῦτο μαθεῖν ἱμειρόμεθα. Καὶ γραφὴν ἀφεθῶναι αἰτῦμεν ἡμῖν, ἀριδηλόταται ὡς ἔχηκε παρισῶσαν τὰ σά. Ἐπεὶ ἔτως ἡμᾶς εἶλες, καὶ σαυτῷ

(*) Περὶ τύτε Δοσίθεος περὶ τῶν ἐν Ἱεροσολύμ. Πατριαρχ. Βιβλ. Γ. Κεφαλ. ε'. Σελ. 909. Ἐπὶ Μανουὴλ τῦ Παλαιολόγε ἐν ἔτει 6917. Ἐχειροτονήθη Μητροπολίτης Ῥωσίας Φώτιος ὅσιος ἀνὴρ· κτ.

σαυτῷ τῇ τῶν τρόπων σωφροσύνῃ χρησότητι, ὡς καὶ νῦν εἰς Ῥωσσίαν ἀπαγαγεῖν, καὶ πεῖσαι ἀεὶ ἀχωρίστως σωθῆναι σοι. Καὶ ἄλλοι μέν σε τῇ τῆς ἀξίας Μεγαλειότητι, καὶ τῇ τε πλέτε βριθωσύνῃ, τῇ τε τῆς παῤῥησίας χώρᾳ, καὶ τῷ μεγέθει τε Ἔθνες, ἕ τινὶ ἐπισασίαν ἐπισθόθης, σωήδονται· ἡμεῖς δ' αὐτοῖς τοῖς πράγμασι συνηδόμεθα τῆς σῆς ἕνεκα Μεγαλοπρεπείας. Ποιῆμεν δὲ τέτο, ἵνα μὴ δόξωμεν δι' ἐκείνων κοσμεῖν σε, ἀλλὰ μᾶλλον ταῦτα νομίζειν καλλωίεθαι διὰ σέ. Ὅτι ἐκ ἐκεῖνα ἐπιπωῦνται τινὶ ἀρετὶ, ἀλλ' ἡ ἀρετὴ καὶκεῖνα, καὶ ἄλλα μυρία τῶν καλῶν ἐπιφέρεται. Ἐπειδὴ τοιῆτον ἡ ἀρετή· ἐκ ἔξωθεν δανείζεται τιμὰς, ἀλλ' αὐτὴ ἐ ἑαυτῇ περιφέρει ταύτας, καὶ διανέμει οἷς ἄξιον, τιμὶ παρεχομένη τοῖς πράγμασιν, ἐ δι' αὐτὰ τιμωμένη. Ὅθεν ἀφαιρεμένης αὐτῆς ἀπότινος, πάντα σωαφαιρεῖται ταύτῃ τὰ ἀξιώματα· ὅτῳ δ' αὖ προσεθῇ, τέτῳ καυχήσεως σέφανος, καὶ δόξα περιετέθη ἀκήρατος. Ἀμέλει καὶ τῇ σῇ κεφαλῇ, τὰ μετὰ τινὶ ἀρετὶ ἐπενεχθέντα τῶν ἀγαθῶν, ἐκοσμήθησαν μᾶλλον, ἢ κατεκόσμησαν. Διὰ δὴ τέτο, ἐ τὸν Ὄλβιον καὶ πεπαῤῥησιασμένον Μητροπολίτιν Ῥωσσίας ἁπλῶς φιλεμεν ἡμεῖς· ἀλλὰ τὸν πολλῆς μὲν ὑπακοῆς, πολλῆς δὲ σωέσεως, πολλῆς δὲ γέμοντα ταπεινοφροσώης Ἱερώτατον Φώτιον. Διό σε καὶ εὐδαίμονα ἡγέμεθα, ἐκ ἐπειδὴ πλέτῳ κομᾷς ἀμυθήτῳ, ἀλλ' ἐπειδὴ θαψιλεξέραν ἔλαβες ὒλην εἰς (τὸ) τινὶ φιλάνθρωπόν σε γνώμιν, καὶ τινὶ φιλοφροσώιν ἐνδείξαθαι. Ταύτῃ τοι καὶ τοῖς πλωχοῖσι καὶ ἀδικεμένοις σωηδόμεθα, τὸν πλατώσε λιμένα τῆς ψυχῆς ὁρῶντες, μυρίας δυνάμενον λῦσαι ναυάγια, καὶ τὰς εἰς ἕκατον κλυδωνίε ἐλθόντας παρασκευάσαι πλεῖν ἐξ ἐρίας. Διὰ ταῦτα σκιρτῶμεν, χαίρομεν, τινὶ σινὶ ζωινὶ καὶ ὑγίειαν κοινινὶ ἑορτινὶ τῶν ἐπηρεαζομένων καὶ περισατεμένων νομίζοντες· ἧς καὶ αὐτοὶ ἀπολαύομεν, οἰκείαν ἡδονὶ εἶναι τιθέμενοι τῶν σῶν κατορθωμάτων τὸ μέγεθος. Καὶ αὐτὸς δὲ εἰδὼς ἡλίκον ἐσὶ νεανικὴ ψυχὴ καὶ γενναία· καὶ τὸν, ἕ διάδοχος γέγονας ἐ τοῖς καλλίσοις ζηλῶν, ἀληθείᾳ, πραότητι, καὶ δικαιοσώῃ·

καὶ τῇ τῆς ἀσεδῆς κοινωνίᾳ τῆς φήμης ἀποδεχόμενος, σκόπει πῶς ἂν ὑπεράξιος γένοιο, καὶ μὴ καταιχμώσε τὰ ὅπλα τὸν στρατιώτιν. Τῷ μὲν γὰρ Μακαρίτῃ ἐκείνῳ ἀρκεῖ τὸ παρωχηκέναι· Σοὶ δὲ τὸ μέλλον ἐν ζυγοῖς ἵσταται. Κἂν τι τῶν ἀδοκήτων ἐπισημβῇ, ὃ μὴ συμβῆναι ἁμήχανον, μὴ ἀποκάμοις· ἀλλὰ γενναίως ἐπίκεισο, ἀτρέπτῳ γνώμῃ, καὶ ἀκμαζούσῃ τῇ προθυμίᾳ τινὸ παρὰ σαυτὸν συμμαχίαν εἰσφέρων· ἄρισα λογιζόμενος, ὅτι καὶ κυβερνήτιν ὁ τῆς θαλάττης μακρὸς χειμὼν μάλιστα καὶ διεγείρει, καὶ δείκνυσι θαυμαστόν. Καὶ Ἰατρὸν ἄριστον, τὰ χαλεπὰ καὶ δυσίατα τῶν σωμάτων νοσήματα· καὶ τὸν εὐσεβείᾳ ζηλῶ ἐπεδακότα, ἡ τῶν καιρῶν δυσκολία, καὶ πειρασμῶν οἱ ἐπωφελεῖς. Ταῦτ' ἔν πάντων μᾶλλον αὐτὸς διακρίνων, καὶ κραταιῶ, καὶ ἀνδρίζῃ, καὶ ὑπερνίκα, καὶ μέμνησο τῆς ἐμῆς ψυχῆς πρὸς Θεόν. Ἐρρωμένη καὶ εὐεκλῶσα ἡ Σὴ Ἁγιότης (εἰη), καὶ παντὸς θυμήρες ἐπαπολαύουσα, εἴστε ἀπείρων ψυχῶν ἐπιμέλειαν, εἴστε δόξαν Θεοῦ, καὶ τῶν γενῶν ἡμῶν ἐπικαύχησιν. Καὶ αἱ Ἁγιαί σε εὐχαὶ εἴησάν μοι ἀεὶ φυλακτήριον. Ἰωσὴφ Μοναχῷ τῷ Βρυεννίῳ, ὃν καὶ πρὸ τοῦ ἰδεῖν ἐφίλεις, καὶ ἐν τῷ ὁρᾶν ἔστεργες, καὶ μετὰ τὸ θεάσασθαι ἀγαπᾷς διὰ Κύριον.

ΙΖ'.

Ἰωσὴφ Ἀλεξίῳ. (*)

Πολλάκις καλάμῳ τῇ δεξιᾷ μέλανι βεβαμμένῳ, καὶ χάρτῃ ἀγράφῳ τῇ εὐωνύμῳ λαβόμενος, καὶ ἤδη γράφειν σοι μέλλων, ἀφῆκα πάλιν. Τί γὰρ ὁ δύσλιπος πάθοιμι, λογιζόμενος, ἂν γράψω πιτταικικῷ ἀφορῶν χαρακτῆρι, πολλὰς ἔχω τὰς (τῶν) ἁπλοϊκῶ ἐγκαλοῦντας μοι. Ἂν ἐπισολιμαίω, τὰς τῷ κομψῷ· ἂν σιγῶ, κατηγορεῖμαι τὸ μὴ εἰδέναι. Ἂν λαλῶ, τὸ φανητιᾶν· Ὡς δυνάμαι,

(*) Ὁ Ἀλέξιος ἦτος, πρὸς ὃν καὶ αἱ ἐφεξῆς ΙΗ'. καὶ ΙΘ'. καὶ ΚΑ'. καὶ ΚΒ'. ἔτι δὲ καὶ ΚΔ'. ἔοικε τῶν μάλιστα φιλημένων γενέσθαι τῷ Βρυεννίῳ, ὧν διατρίβων ἐν Κρήτῃ τινὰ φιλίαν ἐκλήσατο.

δυάμαι, ἃ βέλομαι· ὡς ἐθέλω, οὐκ ἰσχύω. Οὕτω μὲ καὶ ἡ βέλησις ἠθένει, καὶ ἡ ἰσχὺς ἐνεποδίζετο. Συμφοραῖσι συμφορὰν ἔλυε, καὶ πάθος πάθος ἰᾶτο· καὶ δι' ἑτέρων κακῶν, τὰ κακὰ ξυέως παρηγορεῖτο· Οὕτω διακειμένῳ μοι ἐπῆλθε νεανικώτερόν τι λογίσασθαι· Ὅτι τὸ μὴ πρὸς ἐπίδειξιν σοφίζειν αἱρεῖσθαι, αἴτιον ῥαθυμίας ἐχάτης πολλοῖς πολλάκις ἐγένετο· οἳ ἀπὸ τῆ μὴ δόξαι σοφίζειν ἀρξάμενοι, εἰς τὸ μηδ' ὁπωσοῦν σοφίζειν κατέληξαν· ὧν κίνδυνος ἀμείνους φανῆναι, τοὺς ἐπιδεῖξαι σοφισαμένους, ὅτι σοφίζειν προῄρηνται, καὶ ὁ ἀμφοῖν διαδιδράσκων τὸ ἄτοπον, ἀμωσγέπως ἔρρωται, καὶ ἑαυτὸν, ἢ τινὰ λυμανεῖται. Ταύτῃ τοι, καὶ ἵνα μὴ δόξω ἀδικεῖν σε τὸν ἐμοὶ γλυκερὸν ὄντως φίλον, ἰδὲ τὸ γράψαι νενίκηκεν, ὦ ζυγοῖς, καὶ ἀμφιβόλοις σατῆρσι τῆ σιωπᾶν ἡτημένου μοι. Ἀμέλει, καὶ τῆ γράφειν ἀρξάμενος, πρῶτα μὲν χρηστῶν Ἀνδρῶν ὄντι φίλῳ, τῆς μακαρίας ἐλπίδος ἐπιλαβέσθαι εὔχομαι. Ἔπειτα δὲ καὶ πᾶσιν ἀγαθοῖς εὐθηνεῖσθαι, μετρίως τοῖς πράγμασι χρώμενον, καὶ οὐκ ἀπὸ ῥαιθώνης. Οὕτω γὰρ καὶ αὐτός σοι σωηδωσθήσομαι, τῶν τῆ φίλε καλῶν μετέχων τῆ μέρες, ἀρετῶν βριθωσιμίᾳ κομῶντος καὶ δαψιλείᾳ. Καὶ τῇ ἀγαθῇ ἀρχῇ καὶ προθέσει ἐφάμιλλα, ὡς ἄξιον, κεκλημένῃ τὰ τέλη.

ΙΗ'.

Ἰωσὴφ Ἀλεξίῳ.

Ἄριστοι τῶν φίλων καὶ βέλτιστε, εἴησθι πρὸς τῆς Πανταιτίε φερομένου δεξιᾶς. Ἐναγχός σοι τὰς Βίβλους σὺν γράμμασι πεπομφὼς τὰς τιμίας, ἐπαποστέλλω ἰδέσθαι καὶ τὸν ἐμὸν θησαυρόν. Θησαυρὸν, ἐμοὶ μὲν, καὶ τῆ πάλαι Κροίσε ἡδύτερον, πολλοῖς δὲ τῶν φιλοχρίσων, χρυσῆ πολλῆ τιμιώτερον. Πλὴν, ἀσφαλείας χάριν Κιβωτίῳ περικλείσας, καὶ κηρῷ σφραγισάμενος τῆτον ἀπέστειλα, ἕως μένειν βουλόμενος, ἕως ὥρας ἀφίξεως τῆς ἐμῆς. Οὐ σανίσι πεποιθὼς, οὐδὲ κλειδὶ πιστεύων, ἀλλ'

ἀλλ᾽ ἐν σοὶ τῷ ἐμψύχῳ μοι θησαυρῷ τὸν ἄψυχον περικλείων. Ὡς τῷ Ἰλιάδαι ὁ Φιλίππῳ τῷ Ὑακινθίνῳ Κιβωτίῳ ἐνέθηκε. Γράφειν μέντοι γε ἀντιγραφῆς ἕνεκα περιττὸν ἡγησάμην· ὅτι καὶ δίχα ὑπομνήσεως τῷ ταχίστῳ εὖ οἶδα ἀφ᾽ αὑτοῦ τοῦτο ἐργάσῃ.

ΙΘ΄.

Ἰωσὴφ Ἀλεξίῳ.

Γράμματα πρὸς ἡμῶν λαβεῖν ἐλπίζοντα, οἶμαι σε δυχεραίνειν μὴ εἰληφότα. Ἀλλὰ μὴ πρὸς Θεοῦ ἑταῖρε μοι δεξιέ. Οὐ ταῦτα τοιαύτῃ ψυχῇ ἁρμόζει λογίζεσθαι, ὅτι σιωπῇ τῇ ἀποδημίᾳ καὶ τῷ σιγᾷν, ὡς ἑνὸς τῶν τυχόντων, ἀπερρίψαμεν ἀγάπην· ἢ τῷ ἐλάττονά σε κρίνειν τῶν φίλων, ἄλλοις μὲν καὶ δὶς ἐγράψαμεν ἤδη, σοὶ δ᾽ οὐδὲ τὸ τυχὸν ἐπεσείλαμεν· μὴ ταῦτα, ἢ τοιαῦτα περὶ ἡμῶν δόξαζε. Ἀλλ᾽ ἐκεῖνο ἴσθι μάλα σαφῶς, καὶ ἀναμφιλέκτως, ὡς ἄλλον ἐμὲ, ἢ καί τι μείζονα ἢ τῷ ζῆν, καὶ εἶναι, καὶ κατοικεῖσθαι, καὶ βέλομαι καὶ εὔχομαι τὸν ἐμοὶ τὰ πάντα φίλτατον Ἀλέξιον τὸν Ἀπόκαυχον. Εἰδὲ ἐκ οἶδα κολακεύειν, ἢ περὶ τὰς θωπείας ἐσχολακέναι, ἃς οἱ πολλοὶ τῶν δοκούντων φιλεῖν χρῶνται, ξένον ἐδόκουν. Μὴ γὰρ ἀπαιτεῖ καὶ τοῦθ᾽, ὥστι σημεῖον φιλίας, ἡ κατὰ Θεὸν ἀγάπη ποτέ; ἵνα κατὰ τὸν κόσμῳ φιλοῦντας, πλέω μειλιχίοις ῥήμασιν, ἢ καρδίᾳ (φαίνωνται) φιλεῖν; Μὴ ἔν τῷ τῶν ἐπιστολῶν ἀριθμῷ τῷ ἀγάπῃ ἡμῶν ἀντιμέτρει. Ἀλλὰ δήπου καὶ γραφόντων καὶ σιγώντων, ἴσῳ περὶ αὐτὴν εἶχες ψῆφον, ταύτῃ ἀκίνητον διατήρει. Εἰ δὲ δεινὰ φῂς ἡμᾶς πεπονθέναι, καὶ δεινῶν πέρα, καὶ ἀποδύρῃ, καὶ ποτνιάσαι, καὶ τὸ τί δράσαι προσαπορεῖς, ἐ μέμνησαι ὅτε παρήνεν, ὅσαι ἡμέραι, σοί τε καὶ παντὶ αἱρεμόνῳ, καὶ πρό γε πάντων ἐμοὶ, λέγων μεγάλῃ τῇ φωνῇ: Ἄνθρωποι σιώπετε, εἰ καὶ μὴ πρὸ τοῦ, ὅτι τὰ ἐν γενέσει πάντα φθορᾷ ὑπόκειται, καὶ ὥσπερ σφαῖρα μετακυβεύεται ἀσάτῳ φορᾷ; Ὅτι τέφρα, ὅτι κόνις,

κόνις, ὅτι σκιὰ σκιᾶς, ὅτι διήγημα μόνον, καὶ ὄναρ παρωχηκός; καὶ ὁ ζῶν αἱρέμενος εὐσεβῶς, ἔτε τῷ πλεονασμῷ τέτων ἐπαίρεται, ἔτε ἀλύει τῇ ὀλιγότητι; Οὐ ταῦτα διὰ παντὸς τὸ χρόνε διετέλεν ἐπάδων, καὶ ὅσα τέτοις εἰκὸς παραπλήσια; Ἀλλ' ἐκεῖνα μὲν ᾠχετο· Παραινῶμεν δέ σοι καὶ αὖθις, μέγα τι νομίζειν τῶν ἀγαθῶν τλῶ ἐκ Θεᾶ παιδείαν· Ὅτι πολὺς ἐκ τῶν θλίψεων τέτων ἀναμένει μισθὸς, καὶ μεγάλη ἀμοιβὴ καὶ ἀντίδοσις· καὶ ἡ τῶν πειρασμῶν φύσις τοῖς γενναίως αὐτὸς φέρεσι πολλὰ προξενεῖ τὰ βραβεῖα. Καὶ λογίζεθαι, ὅτι, ὡς ἂν μὲν εἶχε τὰ πράγματα φύσεως ἀμετακινήτε, ἐγὼ μὲν ἔλεγον, τοιαῦτα δ' ἀπέβη. Δεινὸν ἔν, εἰ ἔτως ἐχόντων ὁλικῶς τῶν γινομένων ἀεὶ, ἄλλως ἡμεῖς πάλιν αἱρέμεθα περαίνεθαι τὰ ἡμέτερα. Χαῖρε τοίνιν ἀντὶ τᾶ λυπεῖθαι, ὅτι καὶ αὐτὸς ἐγὼ ὁ παθὼν πάνυ καὶ λίαν χαίρω. Ἀπόκειται γάρ μοι καὶ ἀνάπαυσις, καὶ χαρὰ ὑπὲρ τέτε μεγίτη. Ἐῤῥωσόμοι μακρά.

Κ'.

Ἰωσὴφ Γεωργίῳ. (*)

Ἔστι Νῆσος τις, ἣ καὶ Νάξος καὶ Δία.
Κυκλάδων ἥδε πασῶν, ἡ Μητρόπολις.
Εἰς τλῶ δε γενόμενος, ὡς σὺ παρόδῳ,
Εἶδον ποταμὸν αὐτῆς σὺ πρασιᾷ,
Τῆς σὺ Νήσῳ πόλεως, τῆς νῦν Ἀξίας,
Παρατρέχοντα, καλέμενον τοῖς ὧδε·
Ἀλλ' εἰ δοκεῖ τεύνωμεν ἐκεῖ τλῶ θέαν,
Ὅπως ἀπ' αὐτῶν τῶν ὀρεινῶν κραιπέδων,
Ὁ καλὸς ἔτος ἐκρέει παρατρέχων.
Ἰδεῖν μὲν ἡδὺς, καὶ κεχρῆθαι βελτίων·
Ἐκ μιᾶς ἀρχῆς προϊὼν εἰς τὸ φάος·
Ἔπειτα κρενὲς ἀφιεὶς βραχυτάτες,

Ἔνθεν

(*) Ἡ ἔκφρασις τῆς Νάξε αὕτη, ἐν Ἰαμβείοις συντέτακλαι, ἐκ ἐν ᾗ κατὰ τὸ βραχὺ καὶ μακρὸν ποσότητι, ἀλλ' ἐν μόνῳ τῷ ἀριθμῷ τῶν Συλλαβῶν, τὸ μέτρον ἔχεσι.

Ἔνθεν κἀκεῖθεν προῤῥέοντας ἠρέμα,
Τὴν γῆν λιπαίνει, ὑπὲρ ἧς δῆθεν ῥέει.
Εὐδαιμονεῖ δὲ πᾶς Νομεὺς, πᾶς Ἀγρώτης,
Ὧν ἔχει αὐτὸς τῶν ἑαυτῷ ῥεύματων.
Ἡ γῆ δ' ἐπανθεῖ, καὶ τὰ θρέμματα τρέφει.
Τῷ τε πληθυσμῷ τῆς νομῆς, καὶ τῷ κόρῳ.
Καὶ τῷ ῥοθίῳ τῷ πίονι, ὡς λόγος.
Τότε παρ' ὄχθαις χρῆμα καλῆς Πλατάνης.
Οὐδὲν πρὸς αὐτὴν ἐστὶν εὖ παραθέσει,
Ἡ Ξερξικὴ Πλάτανος, ἡ θρυλλουμένη.
Τὰ μὲν γὰρ ἀκρόπρεμνα, Στρεβθίων ἕδρας·
Τὰ φύλλα δὲ σκιάζει τὴν γῆν τὴν πέριξ.
Ἐκεῖ καὶ ῥεῦμα ῥιζόθεν τῆς Πλατάνης,
Οἷον ἐοικὸς ἐστὶν, ἐντεῦθεν ῥέειν·
Ψυχρὸν, διειδὲς, καὶ γλυκάζον ὡς μέλι.
Λόλκαι ψηφῖδες τῆς καλῆς ῥοῆς μέσον.
Ἐκεῖ καὶ Παραάδεισος, θαῦμα τι ξενόν,
Εἰς μῆκος πολὺ, καὶ πλάτος τεταμένος.
Εὐμήκης, κατάκομος, φυτοῖς ἀλσώδης·
Φέρων ἀτραπὲς ἀλληλοδιαδόχους.
Ἄλσος ἔτοσι, καὶ Τέμενος ἄξιον,
Τῷ τῆ Αἰγαίᾳ Πελάγει πρωτοδόντι.
Οὐ κυκλόθεν μὲν, ἔλος ἐστὶν ὡραῖον.
Καὶ τῆ γείτονος ποταμῆ παρεκβάσεις.
Αἳ σὺν Μυρίκαις, καὶ Καλάμοις, καὶ Ἄγνοις,
Βρίθουσι συχναὶ Ἀμπέλοις κατακάρποις.
Ἕρκος τελοῦσαι τῷ Παραδείσῳ νέον.
Καθύπερθεν μέντοιγε, ἔνθεν κἀκεῖθεν,
Ὄρη κραναὰ, πρὸς ὕψος αἰρόμενα·
Ἑωθεν ἐπεὶ πρὸς Δυσμὰς κέκλιται πως,
Δοκεῖ σεφανῆν τὸν χῶρον, ὡς ἄξιον.
Μέσον δὲ δενδρα παντοῖα καρποφόρα,
Κατ' εἶδος, ὡς χρὴ, σιχηδὸν τεθηλότα.
Ἴων πόα τε, καὶ θέα τερπνὴ ῥόδων,
Τὰς ὁρῶντας εὐφραίνουσιν ὅσ' ὥραι.
Αἱ κάλυκες γὰρ τῶν ῥόδων κεκλεισμέναι,

Σιωπῶ-

Σωαρωματίζεσι συχναῖς βοτάναις.
Γυμνῆσι πᾶσι τλὺ ῥοδόπνοον χάριν·
Ἐκεῖ σωεχεῖς οἰκίαι, καὶ ποικίλαι,
Ὕδασι καταῤῥυτοι καλέσης χρείας,
Τῷ Δεκὶ τηρέμεναι· Ὃν Χρισὲ σκέπε!
Αὐλαί τε περίσυλοι, ὧν μέσον Κριὼν.
Ἢ ὄντως λᾶϊκὴ μαρμάρινος φιάλη.
Πρὸς ὕψος ἐκ γῆς ἠρμένη εὐμηχάνως,
Λεοντομόρφων ἐρεύγετ' ἐκ στομάτων·
Λεπταὶ αἱ αὖραι· διαυγεῖς αἱ ἀκτῖνες·
Ἥσυχος χῶρος· κελαρύζει τὸ ὕδωρ.
Ὕπνον ἐπάγει τοῖς ὀφθαλμοῖς ὁ ἦχος.
Τὰ πάντα τερπνὰ, θυμέρη, καὶ δροσώδη.
Ἅπας παρὼν χόρτασον, ἔκ ἔσι φθόνος.
Παραφυάδας τὰς κομώσας μοι βλέπε.
Ἀμπελοι ςύλοις αἰρόμεναι πρὸς ὕψος,
Φέρεσιν ἤδη βότρυας διαφόρους.
Καὶ τὰς Ἰτέας τὰς Ὑψηκόμους αὖθις,
Ἃς Ἄμπελος κυκλῶσε γυρωσαμένη,
Ἔνδον πυκάζει λαμπρᾷ θαλάμε δίκλω·
Σωηρεφεῖς γὰρ τὰς κλάδας κεκλημέναι,
Ῥᾳδίν ἐκ ἐῶσιν αὐτόθι τὸν φωσφόρον.
Ὑφ' αἷς θαλερὴ δροσώδης καὶ εὐώδης,
Ἅπαν τέθαφος βοτάνη συγκαλύπλει.
Εἶπες ἄν ἰδὼν, τλὺ Ἐδὲμ δοκῶ βλέπειν.
Ὁρᾷς ἐκεῖνα τὰ δασύφυλλα δένδρα,
Πνοῆς βραχείας ἐμπνεύσης ἀνέμε;
Τῶν Ὀρνέων ἄκρε τῶν ἐν τοῖς κλάδοις,
Ὅπως ἐναρμόνιον ᾄδεσι μέλος.
Τοῖς Κοτλύφοις μὲν, ἀντᾴδεσιν οἱ ψᾶρες·
Ἡ δ' αὖ Ἀηδὼν τῇ Πρόκνῃ τῇ Συγγόνῳ.
Φάτλαι, Τρυγόνες, Χελιδόνες, καὶ Σπίνοι·
Αἱ Κίτλαι πᾶσι ποικιλοφθόγγῳ μέλει.
Καὶ γίνεται Θέατρον τὰ δένδρα νέον.
Κριταὶ δὲ τέτων τῶν μελῶν ὁδοιπόροι.
Συκλῶ ἐκείνλω τλὺ ἐπηρμένλω ὄρα,

Εἰς

Εἰς ἰῶ ὁ Κιοτὸς εὐφυῶς ἀνατρέχει,
Ἑλικοειδῶς συλλαβὼν πανταχόθεν.
Ἐθίζεται γὰρ συμπλοκαῖς ταῖς ἐκ νέε,
Καὶ σωματῆται, καὶ δοκεῖ πεφυκέναι
Εν σῶμα, διπλῆ τιὴ ἀνέργειαν φέρον.
Ἐκεῖ Μελιασῶν βόμβος, ἦχος Τετλίγων,
Ὡς ἀνταδεσῶν τῷ μέλει τῶν ὀρνέων·
Ταῦτα θεατὰ πρὸς λόγον εἰκονίζων,
Δόκει θεᾶθαι τῆ βίε τιὴ εἰκόνα.
Παρατρέχει γὰρ ὡς Ποταμὸς ὁ χρόνος·
Ῥέει σιὼ αὐτῷ, καὶ παρέρχεται πάντα,
Τὸν μὴ πλατῆντα τιὴ ἀρετιὴ παιδαίως.
Θάλπη; μαραίνη; Ὡς χόρτος τῆτο πάχεις.
Ἀνθῆς; ἀπανθῆις; Ἄνθες καὶ τῆτο Φύσις.
Τέρπη; ἀγάλλη; ταυτοπαθῆις τοῖς ζώοις.
Μέμνη τῆς Ἐδέμ; Ἀρχὴ ἀρίσε βίε.
Ἐργάζη καλόν; Τῆτο σὸν ὄντως ἔργον.
Λοιπὸν ἕως ζῆς, τιὴ ἀρετιὴ μετέρχε.
Καὶ δέξεταί σε τῆς Τρυφῆς τὸ χωρίον.
Οὗ τιὴ εἰκόνα σκιαγραφῆ σοι ξένε
Ὁ Παράδεισος, ὃν ὁρᾶς ἀ τῇ Νάξῳ·
Ὥσπερ Ἰωσὴφ τῆδ' ἔκφρασιν διῆλθον.

ΚΑ'.

Ἰωσὴφ Ἀλεξίῳ.

Εἶ καὶ ξένος, καὶ τεθρομμένος παροικεῖς ἀ τῇ Κρήτῃ, ἀλλὰ τόγε νιῶ ἔχον Φέρε γενναίως, καὶ τὰς σὰς ἐπισήριζε. Ἐπεὶ κρείττων ὑπομονὴ ῥαθυμίας, καὶ ἄσασις ῥαθηρὰ γνώμης εὐπεριτρέπτε, καὶ δειλιάσης ψυχῆς. Καὶ τῆτο δὲ εἰδέναι αἱρῆ, καὶ ἀ σαυτῷ περισρέφειν ἀεὶ, ὅτι καὶνταῦθα Φθόνος νεανιάζεται, καὶ πανταχῆ γῆς, ἦτος περινοσεῖ. Εὐλογημένος δ' ὁ ἄνθρωπος, ἐχ ὁ Φθονῶν, ἀλλ' ὁ Φθονέμενος διὰ τὰ καλά· ὁ διωκόμενος καὶ θλιβόμενος διὰ τὸν Χριςόν. Ἔχει γὰρ τὸ σωτηδὸς σωτήγορον

τὸ

τὸ οἰκεῖον, καὶ παρήγορον ἀπεκδέχεται τὸν μέλλοντα κρῖναι πᾶσαν πνοιήν. Σὺ δὲ ἈΓαπητὲ ἐν μέσοις καθήμενος τοῖς ἐπὶ τέχνῃ, καὶ πᾶσι καὶ οἰκίαις ζηλῶσι σε, καὶ περίβλεπτον εἶναι νομίζεσι, χαῖρε ἐπὶ τούτοις μὲν, ὅτι ἄξιος γέγονας ζήλε· χαῖρε δὲ καὶ ἐπὶ σαυτῷ, ὅτι ἠξιώθης ὑπὲρ τοῦ ὀνόματος τῆς ἀληθείας, ἔτι περιὼν ἐν τῷ βίῳ, ἀπροσδόκητόν τι καὶ ἰδεῖν, καὶ ἀκοῦσαι. Τοῦτο δὲ λέγω, ὅτι καὶ ὕβρεις, καὶ λοιδορίας, ἐξ ἐχθρῶν ὁμολογεμένων· μῖσος καὶ ἀποστροφὴ, πρὸς φίλων καὶ σωθέντων· δέος, καὶ δεινῶν προσδοκίαν μυρίων ἐκαρτέρησας, ἅτε τῆς ἀληθείας ὑπερμαχῶν. Ἀλλὰ ἔσθι γενναίως, ὡς καὶ προεῖπόν σοι. Ἰδὲ γὰρ παρέρχεται τὰ δεινά.

ΚΒ'.

Ἰωσὴφ Ἀλεξίῳ.

Πολλοὺς τῶν ἐπ' ἀρετῇ μέγα ἀραμένων τὸ κλέος, πειρασμοῖς καὶ θλίψεσι πολλάκις ἐπύρωσεν ὁ Θεός· Πολλῶν μὲν, καὶ ἄλλων ἕνεκεν· Τὸ δὲ μεῖζον, ἵνα μὴ τὸ τῆς ἀρετῆς αὐτοὺς μέγεθος εἰς ὑπερηφανίαν ἐπάρῃ· Εἰ γὰρ τῷ Μεγάλῳ Παύλῳ τότε ἐδέησεν· Ἐδόθημοι γὰρ, « φησὶ, Σκόλωψ τῇ σαρκὶ, ἵνα με κολαφίζῃ, ἵνα μὴ « ὑπεραίρωμαι· Πολλῷ μᾶλλον ἑτέροις, οἳ κἂν καὶ ἀνόδυνον εἶχον τὸν βίον, ἀλλὰ πολλῷ ἂν τῆς ἐκείνου ἐδέησαν ἀρετῆς, καὶ τοῦ πνεύματος. Λέγει δὲ καὶ πρὸς Κορινθίους « γράφων ὁ Θεῖος ἔτος Ἀπόστολος: εἰ ἑαυτοὺς διεκρίνομεν, « οὐκ ἂν ἐκρινόμεθα. κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμε- « θα, ἵνα μὴ σὺν τῷ Κόσμῳ κατακριθῶμεν. Ὅρα κἀντεῦθα πῶς τοὺς μὴ παιδευομένους σὺν τῷδε τῷ βίῳ τῇ τῶν Ἐθνικῶν παραπέμπει μερίδι, καὶ μετ' ἐκείνων καταδικάζει. Τότους γὰρ κόσμον ἐν πολλοῖς ὀνομάζει, οἷς ὁ δίκαιος Κριτὴς τὸ νῦν ἔχον ἀδεμῶς ἐπεξέρχεται, κἂν καὶ τὰ σφόδρα ἀποπώτατα δρῶεν, τῇ ἐκεῖσε χαλεπωτάτῃ δίκῃ αὐτοὺς ἀποταμιεύων. Καὶ πρὸς Ἑβραίους δὲ ἔτος γράφων, καὶ τῆς πρὸς τὰ δυσχερῆ μικροψυχίας ἕνεκεν αὐ-

τῶν καθαπλόμενος· ἅμα δὲ καὶ πρὸς ἀνδρείαν αὐτὲς καὶ
μεγαλοψυχίαν διερεθίζων, ἔπω, φησὶ, μέχρις αἵματος
ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ
ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγε-
ται· Υἱέμε μὴ ὀλιγώρει παιδείας Κυρίε, μηδὲ ἐκλύε ὑπ'
αὐτῦ ἐλεγχόμενος· Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει·
μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. Εἰ παιδείαν
ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τὶς γὰρ
ἐστὶν υἱὸς ὃν ὐ παιδεύει Πατήρ; Εἰ δὲ χωρὶς ἐστὲ παιδείας,
ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ ὐχ
υἱοί. Ὁρᾶς ὅπως ἀνήγαγεν ἡμᾶς, καὶ τίσι συναρίθμες
εἰργάσατο τὰ παρελθόντα δεινά; Ὦ δόξασοι, πάντων
ἕνεκεν, τῷ ἔτως οἰκονομήσαντι. Ταύτῃ τοι φίλε πνδ-
ματικῶς λοιπὸν σωδφράνε μοι. Ἐρρωμένως βιώης τῷ
πνδματι.

ΚΓ'.

Ἰωσὴφ Ἰωάννῃ.

Ἀδελφέμοι τὰ πάντα ἠγαπημένε, ἤξδρε ὅτι εἶμαι
εἰς τὴν ὑγείαν με ὁλόκαλα. Ὁ πόνος τῆς κεφα-
λῆς ἀφῆκε με· Ὁ Ἀββᾶς με ἔνι ὁλόκαλα. Ἀπεδέξαν-
τόμε οἱ ἐνταῦθα φίλοι. Βλέπω τὰ καλὰ, ὅσα ἐπεθύ-
μησα πολλάκις ἰδεῖν. Ἴσαμαι ἐν χορῷ τῶν αἰνέντων τὸν
Κύριον. Ἀκέω φωνῆς Αἰνέσεως καὶ ἐξομολογήσεως. Ἡσυ-
χάζω ἐκ τῶν θορύβων· ἔχω θέλημα ζιῶ ἀδεῶς, ὅπερ
ἀδνὶ τῶν ἐνταῦθα Μοναχῶν δέδοται. Μένω εἰς τὴν Βα-
σιλικὴν ἔγγισάπε. Κατοικῶ εἰς τὴν σεβάσμιαν Μονὴν
τῆ Στδίε· ἐπλάτησα ἐν τοῖς ἀγαθοῖς τῆ Κυρίε. Ἀνα-
γινώσκω εἰς τὸ μέσον· ψάλλω τῷ Θεῷ με μετὰ ψαλλόν-
των. Εὔχομαι κατ' ἐμαυτόν. γράφω δικαιοσυνίλω· λα-
λῶ ἀλήθειαν· Εὗρον τὴν ὁδὸν τῶν σωζομένων. Ὁμιλῶ
μετὰ Φιλοσόφων· Οὐδεὶς τῶν βαρβάρων ἀνθρώπων εἰς
πρόσωπόν με ὁρᾷ· ἀδὲ τῆς φωνῆς με γνὴ ἀκέει. Καὶ
τὸ αἴτιον, ὅτι ἰδὲ χίλια Ἔτη παρῆλθον, ἀφ' ἧ Ἀνὴρ
ἄπρακλος ἀκ εἰσῆλθεν εἰς τὸν Μονὸν τῶν Στδίε, ἀδὲ
Θῆλυ

Θῆλυ γένος τλὼ Αὐλιὼ ταύτῳ ἐπάτησε. Πρὸς τέτοις εἰς πάντα τὰ σωματικὰ εὐεκτῶ. Ἐντρυφῶ εἰς βρώματα· Εὐθιυθμαι εἰς πράγματα· Περισθύομαι εἰς ἀθύματα. Διάγω σὺ Κέλη, Παλατίῳ ὁμοίᾳ. Κῆπος καὶ Παράδεισος, Ἐλαιὼν καὶ Ἀμπελὼν κύκλοθάμβ. Ἡμεροι Κυπάριστοι καὶ εὐθαλεῖς ἔμπροσθέν μβ. Ἔνθεν ἡ Πόλις καὶ ἡ Ἀγορά· Ἐκεῖθεν ἡ Μήτηρ τῶν Ἐκκλησιῶν, καὶ ἡ Βασιλεία τῦ Κόσμβ. Τέτων πάντων, καὶ τῶν τοιέτων ἀγαθῶν ἠξίωσέ με φίλτατε ἐμοὶ Ἰωάννη, ἡ ἐκ τῆς Κρήτης ἐξορία. Εἰ γὰρ μὴ ἐξωρίσθη, ἐκ ἂν ταῦτα εἶχον ἐγώ. Διὰ τῦτο συγχωρήσαι ὁ Κύριος καὶ σὺ τῷ νῦν αἰῶνι, καὶ σὺ τῷ μέλλοντι, πᾶσι τοῖς συνεργήσασιν ἵνα ἐξορισθῶ· καὶ δῴη αὐτοῖς ἄφεσιν, καὶ τῶν λοιπῶν τέτοις σφαλμάτων. Τὲς μισέντας, καὶ τὲς φιλέντας ἡμᾶς, σὺ Χριστῷ, ἐξ ἡμῶν ἀσπάσαι.

ΚΔ'.

Ἀλεξίῳ.

Χίλια καλῶς σὲ εὕρομεν πάλιν. Ἰδὲ ἤλθομεν ἰδεῖν σε, καὶ μαθεῖν, καὶ ἀκριβώσαθαι, πῶς ἔχεις μετὰ Θεόν. Βλέπε, κρατεῖ με ἡ χεὶρ σε ἐκ τῆς χειρός· Βλέπεσί με οἱ ὀφθαλμοίσε· ἀκέεις με καὶ τῆς Φωνῆς σιαργῶς. Ὅτι τὰ Γράμματα ἃ κρατεῖς μετὰ χεῖρας, τῆς ἐμῆς χειρὸς ἔργον· Οἱ λόγοι ἓς ἀναγινώσκων ἀκέεις, ἔτοι ὄντως ἐμοί· Ἴδες, ἔχεις, βλέπεις· Ἐρώταμε, τί θέλεις μαθεῖν περὶ ἐμῦ· ἐαν ὑγειαίνω; Γίνωσκε ὅτι σωματικῶς μὲν, καλῶς ἔχω· ψυχικῶς δὲ, ἀθενῶ. Ἐὰν εὐθυμῶ; Ἴθι ὅτι πολλῶν σὺ ταῦθα εὐφραινόντων με, σὺ ἐσὶ τὸ λυπῶν, ἡ ζέρησις τῶν ἄλλοθι, καὶ τῶν σὺ ταῦθα μοι φίλων, καὶ σῦ. Ἐὰν εὐημερῶ, καὶ εὐδαιμονῶ; γνῶθι ὡς ἔχω καὶ περιπλά. Πῦ μένω, βέλει ἀκέσαι; ὅπε καὶ πρώϊω, σὺ τοῖς Στεδίε. Καὶ ταῦτα δὴ τὰ ἐμά· Τὰ δὲ τῆς Πόλεως οἷα; Ἔσιν εἰρὶνη μεγάλη σὺ ταῦθα· Εὐθηνία τε πραγμάτων ἄκρα· καὶ πλετισμὸς ἥκει πάντοθεν· Διάγει ὁ Βασιλεὺς σὺ Γαλιλύῃ· Οὐδεὶς τῶν περὶξ Σατραπῶν,

ἢ Τυράννων αὐτῷ ἀνοχλεῖ· Οἱ μὲν αὐτῷ φίλοι γεγόνασιν· Οἱ δὲ ὑπόσπονδοι καθεσᾶσιν. Ὁ νῦν Πατριαρχεύων ἐν εὐθυμίᾳ· Τὰ τῆς Ἐκκλησίας ἐν Κατασάσει· Τὰ τῆς Πολιτείας ἐν Ἠρεμίᾳ· Τὰ τῆς Συγκλήτε Βελῆς ἀνενόχλητα· Ἀσασίασα τὰ τε Δήμε· Τὰ τῶν Γειτόνων εἰρηνικὰ, καὶ πάντα καλά. Εἰ δέ καί τι τῶν μὴ προσηκόντων, τινὰς ταράττον, διενοχλῇ, τῦτο τῆς ἐμῆς ἁμαρτίας ἔκγονον. Ἀλλὰ καὶ αὕτη, ὅσον ἔπω, μεταγνόντος με, ἢ θανόντος, καταργηθήσεται. Καὶ τὸ πᾶν λοιπὸν ἠρεμήσει, καὶ εἰς τὸ βέλτιον ἀποκατασήσεται. Ἀλλ' ὅπως μὲν ἔχει τὰ καθ' ἡμᾶς, ἔμαθες ἤδη, καὶ τὰ περὶ ἡμᾶς ἔγνως ᾧ βέλτισε. Δήλε δὲ καὶ αὐτός μοι, φράσον, εἰπὲ, καὶ διήγησαί μοι, πῶς ἔχει τὰ κατὰ σέ; ἢ τὸν ὅμοιον τρόπον, ἢ, ἕν οἶδας αὐτός· Διάκεισαι καλῶς ἐν ὑγείᾳ; Πῶς ἔχει τὰ τῶν αὐτόθιμοι φίλων; τὰ τῆς Ἀρχῆς ὑμῶν, ἆρα πῶς διεξάγεται; οἱ τῶν Ἀρχόντων ἔκκριτοι ὁμονοῦσιν ἀλλήλοις; Μᾶλλον δὲ ὑμεῖς, τὸ Ὀρθόδοξον γένος, πῶς διάγετε μέσον τοσέτων Ἰλίγγων; ταῦτα, καὶ ὅσα τοιαῦτα ἐξῆ σοι δηλῶσαί μοι, δήλωσον. Οὐδὲν γὰρ κωλύει τὰ γράμματα, καὶ χεῖρα, καὶ γλῶτταν, καὶ ὄψιν, καὶ πάντα καλῶς μοι ἀποπληρῶσαι τὰ σά. Ὥσπερ ἆρα κἀμοὶ γέγονε τάδε πρὸς σέ. Εἰ δὲ καὶ αὐτὶλὶ ὄψιν τλὶ ἐμὶλὶ ἰδεῖν φανερῶς, καὶ φωνῆς ἀκέσαι ἀμέσως ἐφίῃ, καὶ λόγων γενέσθαι κοινωνὸς τῶν ἐμῶν, μικρὸν ὅσον ἔκδεξαι, καὶ ἀπολαύσεις τέτων πάντων ὁμῶ ἐν τῇ μελέσῃ Μακαριότητι, τρανώτερόν τε καὶ καθαρώτερον πάντων ἀνθρώπων, καὶ πάσης τῆς κλίσεως. Ὁ πάντα τὰ σὰ καὶ Φιλῶν, καὶ θαυμάζων, Ἰωσὴφ ὁ Βρυέννιος.

ΚΕ'.

Ἰωσὴφ Ἰωάννῃ.

Εἰ μὲν ἀκριβῶς ἐπισάμλω, ὅτι μὴ καὶ ταῦτα μὲ τὰ Γράμματα κατὰ Θάλατταν ναυαγήσει, καὶ ὅτι μὴ, μετὰ τὸ ἀναγνῶναι, αὐτίκα ταυτὶ τῇ γῇ παραδώσεις,

σεις, ἢ τῷ πυρὶ, ἢ τό γε μετριώτερον τῇ σκοτίᾳ, πολλὰ ἴσως. καὶ κατὰ λόγον σωτεθειμένα, ἀπέστελλον ἄν σοι. Ὡς νῦν τοῦτ' ἀνθυμέμενος, πρὸς τὸ γράφειν σοι ῥᾳθυμότερος γίνομαι. Ἐννόησον γάρ, ἡλίκον ἐστὶν, ἵνα καὶ χάρτης εἰκῇ, καὶ μέλαν ἀγοραθῇ· καὶ εἰς κονὸν καὶ σιλβωτὴρ, καὶ ψαλὶς, καὶ καλαμάριον προτεθῇ, καὶ γραφὶς ἀμβλυνθῇ· καὶ ῥαφὶς, καὶ νῆμα, καὶ κηρὸς, καὶ τὸ τούτων ὕστερον, ἡ σφραγὶς εἰς μάτιον ἑτοιμαθῇ· καὶ ταῦτα μὲν δὴ τὰ ἔξωθεν. Τὰ δ' ἐξ ἡμῶν αὐτῶν ἡλίκα, καὶ πόσα; Νοὸς εὑρέματα, τὸ χρειωδέστερον ἐν τούτοις, καὶ κοπωδέστερον· αὐχένος κλίσις· ὀφθαλμῶν ἐπιβολαὶ· χειρὸς τέχνη· δακτύλων κίνησις, γονάτων κάμψις, στίχων ἔκθεσις, γραμμάτων τύπος, νοημάτων κάλλος· ἔστι δ' ὅτε καὶ μυσηρίων δήλωσις. Ὅταν δὲ καὶ Γραμματηφόρος εἰς τὸ κομίσαι ταῦτα παρακληθῇ, καὶ μακρὸς ἔπειτα πλοῦς τελεσθῇ, καὶ ἤδη εὐοδωθῆναι, εἰς χεῖρας γένηται τοῦ πρὸς ὃν ἔσταλται ταῦτα· Ὁ δ' ἅμα τῷ ἀναγνῶναι τῇ γωνίᾳ τε καὶ τῷ σκότει ὡς ἀπολέμενα παραδῷ, ἀναλόγισαι ὅση τοῦ πέμψαντος περιφρόνησις γίνεται, καὶ αὐτῶν τῶν καλῶν. Διάτοι τοῦτο οἱ παλαιοὶ, ἐ ταύτῃ ἔχοντες τιὼ σωήθειαν, ἀλλὰ τιὼ αὐτῆς ἀναντίαν, ὁπηνίκα ἔπεμπον γράμματα, ἢ ἐδέχοντο· Οἱ μὲν πέμποντες, πρὸ τοῦ εἰς χεῖρας αὐτὰ δῆναι τοῦ Διακομιστοῦ, ἐτίθεν γράφοντες εἰς Βιβλίον, ἔχον καὶ ἄλλα τῶν Συγγραμμάτων αὐτῶν· Οἱ δὲ δεχόμενοι, ἅμα τῷ δέχεσθαι, τοῖς λόγου μετόχοις εὐθὺς ταῦτ' ἐπεδείκνυον· καὶ αὐτοὶ ἀποσημειζόντες πρῶτοι, τοῖς ἰδίοις δελτίοις ἐνέγραφον· καὶ οἱ ἐξ ἐκείνων λαμβάνοντες πάλιν, εἰς τὰ ἑαυτῶν καὶ αὐτοὶ συνετίθεν Βιβλία, καὶ ἀποσημειζόντες ἐπὶ ἐπιδείξει, οἴκοι τε, καὶ εἰς τὰς ἀγορὰς, καὶ εἰς ὁδὸς, καὶ τὰς συνελεύσεις, καὶ ἐν πάσαις ταῖς ὁμιλίαις, ἀντὶ πάσης ἀργολογίας, τὰ χρήσιμα ταῦτα διήρχοντο ἀπὸ στόματος. Ὅθεν ἐθαυμάζετο μὲν ὁ δεξάμενος, ἅτε τοιοῦτος φίλος Ἀνδρός· Ἐκροτεῖτο δὲ μετὰ ἐπαίνων ὁ γράψας, ὡς ῥήτωρ· ἐγνωρίζετο δὲ καὶ ἡ τῆς Ῥητορικῆς δύναμις· καὶ ἐζηλοῦτο πολλαχόθεν ἡ παίδευσις. Ἐξ ὧν καί τι τοιοῦτον ἐπηκολούθει·

Ὅταν γὰρ καὶ αὖθις ἐβελήθη ὁ γράφων πρὸς τὸν αὐτὸν, ἢ καί τινα ἄλλον ἐπιςεῖλαι τῶν Φίλων, μεμνημένος ὅτι ἐκεῖνα τὰ γράμματα ὁ δεξόμενος Φίλος καὶ ἀποδήσεται, καὶ μεταγράψει, καὶ πολλοῖς διηγήσεται· καὶ αὐτὸς αὐαυσίε κύκλε εἰς δέκα, ἢ καὶ ἑκατὸν δέλτες ἔσαι ἐγγεγραμμένα, καὶ εἰς τὸν αἰῶνα μενεῖ, πρὸς Ἀνδρῶν Φιλολόγων πολλάκις μεταγραφόμενα· μετὰ πόσης οἵας ἡδονῆς, καὶ τῆς σπεδῆς, καὶ τῆς τέχνης, αὐτὰ ἔγραφεν. Οὕτω Λιβάνιος ἔγραψε τὰς Ἐπιςολάς· Οὕτω Συνέσιος ὁ Φιλόσοφος· Οὕτως ὁ Πηλεσιώτης Ἰσίδωρος· Οὕτω πάντες, ὧν εἰσέτι ἐν κόσμῳ αἱ Ἐπιςολαὶ διαμένσιν. Οὕτως ἄρα περὶ τὸν λόγον ἐσπούδαζον· Οὕτως ἦσαν Φιλομαθεῖς, Φιλόκαλοι, καὶ Φιλάλληλοι. Εἴ ἔν καὶ αὐτὸς ἐμὰ βέλει Γράμματα δέχεθαι, μετάγραφε ταῦτα πρῶτον, ἅμα τῷ δέχεθαι. Ἀποδήζε Φιλοτίμως· λέγε τοῖς Φίλοις· διεξέρχε τοῖς πᾶσιν ὅτε καιρὸς, τὰς ἀκαίρες ὁμιλίας, καὶ ματαίας ἐγκόπλων· καὶ δέξη, σὺν Θεῷ δὲ εἰρήθω· μάλα συχνά. Εἶδε δὲ ἰῶ εἰπεῖν, καὶ Ἐπιςήμης ἐχόμενα.



ΤΟΥ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΝΟΒΟΓΡΟΔΙΑΣ
ΘΕΟΦΑΝΟΥΣ ΤΟΥ ΠΡΟΚΟΠΟΒΙΤΖ.

ΙΣΤΟΡΙΑ
ΠΕΡΙ ΤΗΣ ΔΙΑΦΟΡΑΣ ΤΗΣ ΠΕΡΙ ΤΗΣ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

ΜΕΤΑΦΡΑΣΘΕΙΣΑ ΕΚ ΤΟΥ ΛΑΤΙΝΙΚΟΥ
ΠΑΡΑ ΤΟΥ ΠΑΝΙΕΡΩΤΑΤΟΥ.
ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΠΡΩΗΝ ΣΛΑΒΗΝΙΟΥ ΚΑΙ ΧΕΡΣΩΝΟΣ
ΚΥΡΙΟΥ ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ.

Ἡ Περὶ τῆς Ἐκπορεύσεως τῦ Ἁγίε Πνεύματος Ἀμφισβήτησις, πότερον δηλονότι ἐκ μόνε τῦ Πατρὸς, ἢ γῶν ἐκ Πατρὸς ἅμα καὶ υἱῦ ἐκπορεύεται; Πάντη τεθρύλληται, ὡς τὰς Δυτικὰς τῶν Ἀνατολικῶν διασήσασα, καὶ τοσαύταις τε καὶ τηλικαύταις ἔρισι, καὶ φιλονεικίαις, καὶ διαμάχαις, καὶ συμφοραῖς τὴν Ἐκκλησίαν περιχεῦσα, ὥς διεξιέναι μικρῦ ἀμήχανον. Τὰ δὲ δεινὰ ταῦτα, καίτοιγε ἐπ' ἐνιαυτοῖς ὀλίγοις ἀναχετὰ ὄντα, ἔπω καὶ νῦν πέρας ἔχει, δι' ὅλων χεδὸν ἐνέα Ἑκατονταετηρίδων ἐγκατασκήψαντα. Ἐπεὶ καὶ μεταξὺ ἐγένοντό τινες τῶν ἀνοήτων, καὶ μηδὲν πλέον τῆς παρανοχλέσης αὐτὲς ἰδίας πυρέξεως αἰσθάνεσθαι δυναμένων, οἵτινες, ἤτοι τῦ τὸν τοσῦτον ἐμπρησμὸν κατασβέσαι βραχιὼ ἔθεντο λόγον, ἢ καὶ ἔλαιον προσεπέχεαν. Τῇ

γὰρ διαφωνίας ἄλλα δὴ καὶ ἄλλα προσεγένετο αἴτια· καὶ τῶ ἐκ Ῥώμης δὲ μάλιστα θηρὸς ἐπαγρευθέντος, καὶ μανικὰς οἵας τίτλας τινὰς, καὶ προνόμια ὅλως Θεῖα, ἐπαυθαδιασαμένε ἑαυτῶ ἀπονείμαθαι, ὅτως ἐπεξήρικται τὸ Σχίσμα, ὡς μηδ' ἐλπίδα ἐφεξῆς ὑπολειπομένω συμβάσεως ὑποφαίνεθαι. Οὐμιὼ ἀλλ' οὐδὲ διέλιπον παρ' οἷοις, μᾶλλον δὲ καὶ παρ' ἡμῖν αὐτοῖς, τῶν ἡμεδαπῶν γεγονότες, ἐ πρὸ πολλῦ ἤδη τινὲς, οἵ, καὶ τῶν παρελθυθότων κακῶν, δι' ὅκνοντε καὶ ῥαθυμίαν τῦ τὰς Ἱστορίας ἀναλέγεθαι, ἐ παντελεῖ ἀγνοίᾳ τυγχάνοντες, καὶ περὶ τὰ ἐνεστῶτα δὲ, καὶ ὑπ' ὀφθαλμοῖς ὁσημέραι πίπτοντα, ἐκλόπως ἀναισθητοῦντες, ἐχ ὅπως τιὼ τῶν ἀντιφερομένων ἡμῖν μοχθηρίαν ἐκ ἀποσρέφονται· ἀλλὰ καὶ διὰ τιὼ πρὸς ἐκεινες γειτνίασιν (*), καὶ τιὼ μετ' αὐτῶν ἐκ σωηθείας ἀναστροφιὼ, τὸ δηλητηριῶδες τῆς λύμης ἐνεπιπνυθάνοντες· τῆς ἀσεβῦς, φημὶ, Θεολογίας τὸ Ἐχιδναῖον γάλα ἀποῤῥοφήσαντες, ὅτω τῆς γοητείας ὤφθησαν ἧττονες, καὶ εἰς τοσῦτον ἤλασαν παρανοίας, ὥσε ἐ μόνον περὶ τῆς διαφορᾶς ταύτης ἐδένα λόγον πεποιηκότες εἰσὶν, ἀλλὰ καὶ τοῖς λοιποῖς τῶν Ποντιφικίων Δογμάτων, καὶ ταῖς τότων αὐτῶν ἐπιβλαβέσι δεισιδαιμονίαις, καὶ ὀνείροις, καὶ μυθαρίοις, ἀδεῶς τε καὶ ἀσφαλῶς ἐνεφύπνωσαν.

Ἐξ ἧ γέγονε, τὸ, μικρὸν, ἢ μηδὲν ἡμῶν διαφωνεῖν Λατίνες, πολλοῖς τῶν ἡμετέρων δοκεῖν. Ἡ δὲ πρόληψις αὕτη ὅτως ἐσὶν ὀλεθρία, ὥσε πολλὲς τῶν ἀπλεξέρων ἀπαραφυλάκλες καθισᾶν, εἰς τὸ μηδέν τι παρὰ τῶν τοιότων ὅλως Αἱρεσιωτῶν ὑφορᾶθαι οἴεθαι δεῖν. Οἵ καὶ ἀδεῶς ὅτως ἐκείνοις τὰ ὦτα ὑπέχεσι, μηδαμῶς ἐνδοιάζοντες· καὶ μὲν δὴ καὶ ἀφορμῆς τυχέσης, ἢ ὀχληρῦ τινος αὐτοῖς

(*) Τῆς Κλαιβίας δηλ. πρὸς τιὼ Πολωνίαν. — Ἡ δὲ παρασημάνωσις ἐσὶ τῦ ἐκδεδωκότος τὸ παρὸν, σὺν ἄλλοις, τῦ Θεοφάνες Φιλοπόνημα, ἐν Γώθῃ Ἐτ. 1772. Καθάπερ ἓν καὶ αἱ λοιπαὶ ἐφεξῆς Παρασημάνωσεις τῦ αὐτῦ εἰσὶν. Πλὼ ὀλιγαριθμων τινῶν, ἃ προσετέθησαν παρὰ τῦ Διορθωσαντος.

αὐτοῖς προσκεσόντος, ἐπὶ τὰς τῶν ἐναντίων αὐτίκα παρεμβολὰς μεταβαίνειν, ἢ πάνυ τι ὑποσέλλονται. Καί τοιγε τοσαύταις, καὶ ἔτως ἀνιχραῖς ἐξαπάταις ἄλλαις, ἡ Λατίνων ἐστὶ βρύουσα αἵρεσις, ὥστε καὶ εἴπερ αὐτὸς ἡμῖν περὶ τὸ δόγμα τῦτο συμβαίνειν ὑπῆρχεν, ἔτι γεμιὼ καὶ ἑτέρων ἕνεκα, ἐκ πολλῦ τῦ περιόντος, ἐκείνων ἀπεσᾶναι ἐδέησεν ἄν. Ἀλλὰ γὰρ τῇ τοσῇδε διαφωνίᾳ ταύτῃ, ἡ περὶ ἧς ἡ πρόθεσις ἐνταῦθα διαφορὰ, παρέχετο τιὼ ἀρχιὼ. Διὸ δὴ ταύτιω, μετὰ πάσης ἡμῖν, ἢ δέοντε καὶ δυνατὸν, τῆς ἐπιμελείας διασκεψόμεθα.

Ἀλλὰ πρὶν ἢ τῦ πράγματος ἐγγὺς ἰέναι, πρῶτον ἂν εἴη, τὰς τῆς διαμφισβητήσεως διεξεταόσας ἀρχάς. Ὅθεντε, καὶ τίνων ἕνεκα, καὶ ὑφ' ὅτε δὴ προκατάρξαντος, καὶ καθ' ὃν ποτε αὖτη χρόνον ἀνακύψασα φαίνεται; Καὶ τίνας δὲ, τὸ δόγμα τῆς τῦ Ἁγίου Πνεύματος ἐκπορεύσεως ἐκ τῦ ὑιῦ, προμάχυς, τίνας δὲ καὶ ἀντιμάχυς ἔχε; Παρὰ τίνος δὲ, καὶ πότε τὸ Σύμβολον τῇ καὶ ἐκ τῦ Ὑιῦ προσθήκῃ ἐπήυξηται; Ἔπειτα δὲ, καὶ τίνας ἡ τοιάδε ἔρις προόδυς τε καὶ ἐπιδόσεις προσείληφε; καὶ τίσι δὲ Συνέδοις διεξέταται; Οἵας τε συμφορὰς τῇ Ἐκκλησίᾳ ἐπεισιώυεγκε; καὶ ὅσα δὲ ἐντεῦθεν δραματεργηθῆναι σωέβη, τραγικῆς Σκιωῆς ἄξια; τελευταῖον δὲ, καὶ ὅπως ἐξέβη τὰ πράγματα, ἀπ' αὐτῦ τῦ Σχίσματος ἀρξαμένε, μέχρι καὶ τῦ καθ' ἡμᾶς χρόνε, καθ' ὃν περίεσμεν;

Ταῦτα μὲν ἓν ἐκ Συγγραφέων, Γραικῶν τε ἅμα καὶ Λατίνων συλεχθέντα παρειληφότες ἐσμέν· τῶν μὲν, ἃς αὐτοὶ παρὰ σφίσι κλήσαθαι ἐδωήθημεν· τῶν δὲ, καὶ τύτων ἔμπης τῶν πλειόνων, ἃς προιωέγκατο, ὁ Γραικῶν ἁπάντων καὶ Λατίνων, γενναιότατος τῆς διαφορᾶς ταύτης ἀναφανεὶς Συγγραφεὺς, καὶ ἀπαραθέτως μέγιστος, Ἀδὰμ ὁ Ζοιρνικάβιος. (*) Ἐξέδοτο γὰρ ἔτος κατὰ Λατίνων

(*) Ἀδὰμ τῦτον τὸν Ζοιρνικάβιον Πολωνο-Βορᾶσσον ἀνήκοα τὸ γένος ἔναγ, γενηθέντα ἐν Θορενίῳ (Thoren) τῇ πόλει· καὶ τὰ τὸν ἀμφὶ

τίνων μέγα τι φιλοπόνημα· καὶ ἕτερον δ' ἐπὶ τούτῳ, δι' ἧς τιὼ Θεοφίλῳ Ρέτκα τῷ Ἰησουίτῃ βίβλον ἐξήλεγξε· τοσαύτῃ ἀμφότερα τῇ πολυμαθείᾳ πεπυκασμένα, ὡς μηδὲν περὶ τῆς προκειμένης ὕλης παραιτέρω δοκεῖν ὑπολείπεσθαι, ὃ μὴ ῥηθείη· μηδέ τε ὅ,τι τις εἰρῆσθαι ποθήσειεν. Ὅσοι γὰρ περὶ τῆς διαφορᾶς ταύτης, ἐξ ἑκατέρου τῶν μέρους, πρὸ τούτου συνέγραψαν, καίπερ ἄλλοι ἄλλως παρδοκιμηκότες, πάντες ἀλλ' ἔν γε ἀρτιμαθῶν τε καὶ πρωτοπείρων τάξιν ἔχειν δεόντως ῥηθεῖεν ἄν, πρὸς τοῦτον παραβαλλόμενοι. Ἀλλὰ γὰρ, καὶ τοιούτῳπερ ὄντι, ἐν οἷς τὰς διαφορὰς τῶν Πατέρων καὶ τῶν ἱστορικῶν μαρτυρίας αὐτὸς εἰσῆγον, ἐχὶ ῥᾴδιον καὶ ἀνεξετάστως αὐτοὶ πιστεύειν εἰλόμεθα. Ὡς δ' ἐκεῖνος ἐπάγει χρήσεις, ἐν αὐταῖς ταῖς πηγαῖς, ἐν τοῖς Βιβλίοις, φημὶ, (ὅσοις ἐντυχεῖν ἐξεγένετο·) ἐξ ὧν ἀνακαλεῖται ἀνιχνεύσαμεν. Εὑρόντι δ' ὡς ἀνεκαλέσατο, ἅπας ἔχειν ἅπαντα, ἐκέτι θέμις ἦν καὶ περὶ τῶν ἄλλων ὑπενδοιάζειν, ὧν ἐκ ἐτύχομεν. Πῶς γὰρ ἄν καὶ φαίης συμβῆναι, τὸ μηδ' ἐφ' ἑνὸς καὶ μόνου τῶν ἐν χερσὶν ἐνταῦθα Συγγραφέων ἡμᾶς ἀπατῆσαι προαιρεθῆναι, εἰ κατὰ τὸ δοκεῖν τὰς μαρτυρίας πλάττειν προείλετο; Ἀλλὰ καὶ τὸ εἰς ἄκρον ἐμβριθὲς τῆς διδασκαλίας, τό

ἀμφὶ Λεῖῆρον μὲν τὸ πρῶτον θρησκεῦσαι, ἔπειτα δὲ συζητήσαντα μετὰ τῶν συνήθων περὶ τῆς τῆ Ἁγίᾳ Πνεύματος Ἐκπορεύσεως, μηδὲ τοῖς παρ' ἐκείνων λεγομένοις ἐπαρκεσθέντα, τιὼ τῆς ἀληθείας εὕρεσιν διὰ σπουδῆς ποιησάμενον, ἐκπεριελθεῖν μὲν χώρας πολλὰς, ἀνερευνῆσαι δὲ τὰς ἁπανταχόσε ἐπισήμους Βιβλιοθήκας, καὶ ὅ,τι δ' ἂν ἐν αὐταῖς εὕροι, πρὸς ἰῶ ἔχε πρόθεσιν φέρον, παρασημειώσασθαι. Τελευταῖον δὲ ἐπὶ τιὼ ἐλάσσονα Ῥωσσίαν παραγενόμενον, καὶ τὰ τῆς Ἀνατολικῆς τῶν Ῥώσσων Ἐκκλησίας ἐνεργνισάμενον Ἱερὰ, τὰς (ὧν ὧδε ὁ Συγγραφεὺς ὑπεμνήσθη·) πραγματείας Φιλοπονῆσαι, κατὰ τιὼ πρὸ τῆς παρούσης Ἑκατονταετηρίδα τῶν ἀπὸ Χριστῆ χρόνων, ἤδη λήγεσαν. (Ἔτ. 1682.) Αἱ δὲ πραγματεῖσαι ἔπω καὶ νῦν (*) διὰ τύπων δημοσίᾳ προέκυψαν· σώζονται δ' ἐν πολλαῖς τῶν κατὰ Ῥωσσίαν Βιβλιοθηκῶν χειρόγραφοι ἀποκείμεναι.

(*) Οὕτω μὲν ὁ κατὰ τὸ 1772. τιὼ Ἱστορίαν ταύτῃ ἐν Γώθῃ ἐκδὰς· ἐ γὰρ ἔχεν εὐθέως τιὼ τυπωθεῖσαν τῆ Ζοιρνικαβίᾳ Πραγματείαν, ἐ πολλῷ ὕστερον, ἐν δυσὶ τεύχεσιν, ὧν τὸ μὲν 1774. Τὸ δὲ 1775. Regiomonti τετυπογράφηται.

τότε εἰλικρινὲς τ. Ἀνδρὸς, ὅπερ ἐξ αὐτῆς τῆς φράσεως ῥᾳδίως ἂν εἰκάσαις, τ. πρὸς ἐξαπάτην πλάττειν ἐπιχειρεῖν, ὡς ὅτι πορρώτατω τ. τόπον ἀναπείθει γενέσθαι. Πρόσθες δὲ, ὅτι καὶ ἐφ' ἑκάστης μαρτυρίας, ἐδὲ τὴν τ. Βιβλίου ἔκδοσιν αὐτὸς ὤκνησε παραθέσθαι, ὅπου τε δὴ χώρας, καὶ ὅτε χρόνου, τετύπωται. Ἀλλ' ἤδη τὴν χεῖρα πρὸς τὸν πίνακα.

Ἐν πρώτοις διαμαρτάνουσιν, οἱ τῆς προκειμένης Συζητήσεως τὴν καταρχὴν ἐπὶ τ. χρόνου ἀνάγοντες τ. κατὰ Νεζόριον, καὶ ταύτης ἀρχηγὸν γενέσθαι βουλόμενοι Θεοδώρητον, τὸν Σοφώτατον ἐκεῖνον Κύρου Ἐπίσκοπον. Ὡς Βελλαρμῖνος, ἐν τῷ Β'. Βιβλίῳ τῶν περὶ τ. Χριστ., ἐν προοιμίοις τ. τοιοῦδε Ζητήμ. (*) καὶ Θωμᾶς ὁ Ἀκυινάτης, ἐν οἷς περὶ τ. αὐτ. πραγματεύεται (**) καὶ ἄλλοι παρὰ Λατίνοις κοινῇ. Ὅπου γε Θεοδώρητόν τε, καὶ τὸν Δαμασκηνὸν Ἰωάννην, ὁ Ἀκυινάτης, διὰ δὴ τοῦτο καὶ μόνον, Νεζοριανὸς ἀπεκάλεσεν. (***)

Κεκίνηται μὲν ἔν τινι καὶ τὸ τοιόνδε Ζήτημα· μᾶλλον δὲ παρενέρριπταί πως τι πρὸς ἐκεῖνο εὐδόσιμον. Ἐπεὶ δὲ ἐκ τ. διερωτηθέντος μέρους ἐδόκει ἀντίξειν ἁπλότητα, διὰ τοῦτο ἐδ' ἡ Συζήτησις χώραν ἔσχε. Τὸ δὲ γεγονὸς ἔτως ἔχει. Κυρίλλ. τ. Ἀλεξανδρέως, τὸ θρυλλούμενον ἐκεῖνο Γράμμα κατὰ τῆς Νεζορίου Αἱρέσεως ἐκδεδωκότος, ὅπερ ἐπέγραψεν Ἀναθεματισμούς· Ἐν δὲ τῷ Θ'. τούτων γεγραφότος, ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον ἴδιον ἐστὶ τ. υἱοῦ. Θεοδώρητος αὐτῷ τέως ἀντιφερόμενος, Νεζορίῳ δὲ ἐπαμύνων, ἐν ᾧ τὸ Κυρίλλ. Γράμμα ἐκεῖνο ἰῷ ἀνακρίνων, ὡς ἐπὶ τὸ ἐρημότερον ἀφίκετο τ. Θ'. τῶν Ἀναθεματισμῶν, ὑφορώμενος μήποτε τυχὸν Κύριλλος διδάσκει τὸ Πνεῦμα παρὰ

(*) Κεφ. ΚΑ'. Σελ. 349. Τόμ. Α'. τῶν Συγγραμ. τῶν Ἐκδοθ. ἐν Κολονίᾳ τῇ Ἀγριπ. Ἔτει 1620.

(**) Ζητήμ. Ι'. περὶ τῆς προόδου τῶν Θείων Προσώπ. Ἄρθρ. Δ'. τῶν Συγγραμ. τῆς Ἐνετίησιν Ἐκδόσ. Ἔτ. 1750. Τόμ. ΙΔ'. Σελ. 294.

(***) Αὐτ. Σελ. 302.

παρὰ τῦ υἱῦ ἐκπορεύεσθαι, τιὶ δὶ μερῆ ταύτιω πεῦσιν
„ προβάλλετο· „Ἴδιον δὲ τὸ πνεῦμα τῦ υἱῦ, εἰ μὲν ὡς ὁμο-
„ φυὲς, καὶ ἐκ Πατρὸς ἐκπορευόμενον ἔφη, συμφολογήσο-
„ μεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τιὶ φωνιί· Εἰ δὲ ὡς ἐξ
„ υἱῦ, ἢ δι' υἱῦ τιὶ ὕπαρξιν ἔχον, ὡς βλάσφημον τῦτο,
„ καὶ ὡς δυσεβὲς ἀποῤῥίψομεν. (*)

Ταύτας δὴ τὰς τῶν αὐτῦ Ἀναθεματισμῶν Ἀνατρο-
πὰς ἀνασκευάζων Κύριλλος, ὡς ἐπὶ τιὶ ῥηθεῖσαν ἦκεν
ἀντίθεσιν, τιὶ ἑαυτῦ δόξαν ἀνέπλυξεν· ὅτι δηλαδὴ, ἐδόλως
αὐτὸς φρονῶν ὑπῆρχε, κατὰ τιὶ ὑπὸ Θεοδωρήτυ κα-
ταψηφισθεῖσαν ἔννοιαν· κατὰ δὲ τιὶ παρὰ πᾶσιν ἀπο-
δεκτιὶ ἦσαν, ὡς εὐσεβῶς ἔχεσαν. Οὕτω γὰρ ἁπάντων
„ φθέγγεται· „Ἦν γὰρ, καὶ ἔστιν αὐτῦ τὸ Πνεῦμα, κα-
„ θάπερ ἀμέλει καὶ τῦ Πατρός. Καὶ μετὰ βραχέα· Ἐκ-
„ πορεύεται μὲν γὰρ, ὡς ἐκ τῦ Θεῦ καὶ Πατρὸς τὸ Πνεῦ-
„ μα τὸ Ἅγιον, κατὰ τιὶ τῦ Σωτῆρος φωνιί, ἀλλ' ἐκ ἀλ-
„ λότριον ἐστὶ τῦ Υἱῦ. Πάντα γὰρ ἔχει μετὰ τῦ Πα-
„ τρός. (**)

Τέτων τὰ παραπλήσια Κύριλλος γράφει, καὶν τῇ
πρὸς Ἰωάννιν τὸν Ἐπίσκοπον Ἀντιοχείας Ἐπιστολῇ· (†)
πρὸς

(*) Ἐν τῷ Δ'. Τόμῳ Σελ. 718. τῶν Θεοδωρήτυ Συγγραμ. τῆς Παρισ. Ἐκδόσ. 1642. Καὶ ἐν τοῖς Συνοδικ. Τόμ. Γ'. Σελ. 928. τῆς Λαββέα Ἐκδόσεως.

(**) Ἡ Ἀπάντησις αυτη, ἅτ' ἓν ἡ ὑπὲρ τῶν Ἀναθεματισμῶν Ἀπολογία, ἐμφέρεται Ἑλλησὶ καὶ Λατινισὶ, ἐν τοῖς πρακτικοῖς τῆς ἐν Ἐφέσῳ Συνόδυ, Τόμ. Γ'. Καὶ αὐτὰ δὲ ταῦτα τὰ ῥήματα ἐπὶ λέξεως, Σελ. 864. Τῆς Ἐκδόσ. Λαββέα τε καὶ Κοσσαρτίυ, ἐν Παρισ. 1672. Τὰ δ' αὐτὰ, ὡς ἐκ τῆς Κυρίλλυ Ἀπολογίας, ὑπὸ Μάρκυ τῦ Ἐφέσυ ἀπανεχθέντα τε καὶ ἀναπλυχθέντα, ὅρα ἐν τοῖς Πρακτ. τῆς ἐν Φλωρεντ. Συνόδ. Συνελ. ΚΓ', Τόμ. ΙΓ'. τῶν Συνοδικ. Λαββέα τε καὶ Κοσσαρτ. Καὶ ἐν τῇ Ἀρδεῖνε δὲ Συλλογῇ Τόμ. Θ'.

(†) Ἡ δὲ τῦ Κυρίλλυ αὕτη, συνάμα ταῖς λοιπαῖς τῦ αὐτῦ ἐμφέρεται Ἐπιστολαῖς, ἐν τῷ Ε'. Τόμ. Μέρ. Β'. Σελ. 108. τῶν Συγγραμ. αὐτῦ, τῆς Ἐκδοσ. τῆς ἐν Παρισ. Ἔτ. 1638. Καὶ ἐν τοῖς Πρακτ. δὲ τῆς ἐν Ἐφέσ. Συνόδ., Τόμ. Α'. Σελ. 1706. τοῖς ἐκδοθεῖσιν ὑπὸ Ἀρδεΐνε.

πρὸς ὃν κατ' ἐκεῖνο, καὶ τὰς λοιπὰς τῶν Ἀνατολικῶν, διαφερόμενος ἰδίᾳ πρὸς καιρὸν, περὶ τὰ καλὰ Νεστόριον· Ἧς δήπου Ἐπιστολῆς ἀπόσπασμα ἀνεγνώσθη καὶ ἐν τῇ κατὰ Φλωρεντίαν Συνόδῳ (περὶ ἧς κατωτέρω) ἐν Συνεδρίᾳ Ζ'. (*) Ὅπερ, ἐφ' ᾧ σαφέστερον τὰ Κυρίλλου καταγνοῖμεν, οἷς πρὸς τὸν Θεοδωρήτου ἀντίθεσιν ἀπεκρίνατο, ὧδε παραθετέον. „Κατ' ἐδάνα τρόπον σαλεύεσθαι πρός τινων ἀνεχόμεθα τὸν ὁριθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως Σύμβολον, παρὰ τῶν Ἁγίων ἡμῶν Πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρὸς· ἔτεμεν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γῆν παραβῆναι συλλαβὴν, μεμνημένοι τῆς λέγοντος (**), μὴ μετάιρε ὅριᾳ αἰώνια, ἃ ἔθεντο οἱ Πατέρες σου· ἃ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρὸς, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ ἐκ ἀλλότριον τοῦ Υἱοῦ, κατὰ τὸν τῆς θείας λόγον.

Ταύτῃ ἀποδεξάμενοι τὴν ἐπιστολὴν, καὶ τὴν Κυρίλλου διδασκαλίαν ὡς ὀρθόδοξον ἐγνωκότες, αὐτός τε ὁ ῥηθεὶς Ἰωάννης, καὶ οἱ λοιποὶ Ἐπίσκοποι τῶν Ἀνατολικῶν, Κυρίλλῳ μὲν αὐτῷ διημάγησαν, ὅ,τι δὲ ἐκ τῆς ἐκείνου διδασκαλίας σωῄκαν, δι' ὧν πρὸς Ἰωάννην ἐπέστειλαν ἐπεσημήναντο γράψαντες. „Τὰ νῦν (φασὶν) ἐπεσαλμένα, (δηλονότι παρὰ Κυρίλλου) τῇ Εὐαγγελικῇ εὐγενείᾳ καλλιώτερα. Θεὸς γὰρ τέλειος, καὶ ἄνθρωπος τέλειος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν αὐτοῖς ἀναγορεύεται· καὶ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον, ἐκ ἐξ υἱοῦ, ἢ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἴδιον δὲ τοῦ υἱοῦ ὀνομαζόμενον. (***)

Τὸ

(*) Τόμ. ΙΓ'. τῶν Συνοδικ. Σελ. 103. Ἐκδ. Λαβ. καὶ Κοσσαρτ. Καὶ ἐν τῇ Συλλογ. Ἀδριάνε Τόμ. Θ'. Σελ. 31.

(**) Παροιμ. ΚΒ'. 28. καὶ ΚΓ'. 10. Δευτερον. ΙΘ'. 14. Ματθ. Ι'. 20.

(***) Ὅρα τὰ Πρακτ. τῆς ἐν Φλωρεντ. Συνόδ. ἐν Τόμ. ΙΓ', Σελ. 366. τῶν Συνοδικ. Λαββέα. Καὶ ἐν Τόμῳ Θ'. τῶν Συνοδικ. Ἀρδουΐν. Σελ. 298. Τῷ δὲ Ἐπιστολῷ ταύτῃ γέγραφε Θεοδώρητος συγγράμματα τοῖς Ἀνατολικοῖς, πρὸς Ἰωάννην τὸν Ἀντιοχείας, ὡς

Τίς ἄρα ἡ ἀμφισβήτησις, ὁπότε Κύριλλος τὸ εἰρημένον ὑφ' αὐτῷ, κατὰ τὴν αὐτὴν ἀνέπλασεν ἔννοιαν, ἣν καὶ Θεοδώρητος ἐγκρίνων ἐπεδοκίμαζεν; ἦπερ δὲ, ἀδ' ἑφεξῆς ποτέ τις, Κυρίλλῳ μεταξὺ καὶ Θεοδωρήτῳ, ἔρις περὶ τούτου κεκρότηται. Αὐτὸς γὰρ ἔφασκε Θεοδώρητος, ὡς αὐτὸν Κύριλλος τῆς Ἀνατολῆς ἁπάσης ἀπεκάλει Διδάσκαλον, σημεῖον τοῦτο εἰλικρινοῦς εὐνοίας τιθέμενος.

Ἐνίσανται οἱ τῶ Ποντίφικος ἐνταῦθα λέγοντες, ὡς ἐπειδὴ τὰ ὑπὸ Θεοδωρήτου κατὰ τῶν τοῦ Κυρίλλου Ἀναθεματισμῶν γραφέντα, ἐπὶ τῆς Ε'. Οἰκουμενικῆς Συνόδου καθυπεβλήθη τῷ Ἀναθέματι· Ἆρα καὶ τόδε, ὅτι ὡς βλάσφημον καὶ δυσεβὲς ἀπέῤῥιψε, τὸ ἐξ υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεσθαι, οἷα δὴ μέρος ὂν τῶν αὐτῶν Γραμμάτων, συγκατακέκριται.

Ἀλλὰ τῷ παντὶ ὧδε ἠπάτηται. Ὁπλοϊκὰ γάρ τι Γράμμα ὡς αἱρετικὸν κατακρίνεται, ὃ παραυτίκα νοεῖν χρὴ, ὅτι καὶ πάντα, καὶ ἕκαστον τῶν ἐν αὐτῷ περιεχομένων, συγκατακρίνεται. Οἷον ἐν τῷ Ἀρείῳ γράμματι, εὑρήσεις καὶ τὴν ὁμολογίαν τοῦ ἑνὸς καὶ μόνου Θεοῦ, καὶ ἄλλ' ἄττα δὲ ὑγιῶς λεγόμενα· Διὸ καὶ Ἀθανάσιος πραγματείαν συνετάξατο ἰδίαν, ἐν ᾗ καταλέγει, ἅ τε οἱ περὶ τὸν Ἄρειον ὀρθῶς ἔλεγον, καὶ ἃ μή· μήποτε δὲ ἆρα τὴν Ἀρείου δέλτον κατακρίνων, καὶ τὰ ἐν αὐτῇ ὀρθῶς λεγόμενα,

ὡς δῆλον ἐκ τῶν εἰρημένων Μάρκῳ τῷ Ἐφέσου ἐπὶ τῆς φλωρεντινῆς Συνόδου, ἔνθα ἤρηται. Καὶ τοῦτο μέν τινες τῶν περὶ λόγους ἐπ' ἀμφιβόλοις ἔθεντο, ἅτοιγε Θεοδωρήτου αὐτὸν εἶναι θέλοντες· ἀλλὰ Χρυσανθὸς ὁ Λέσβος, ἐν ταῖς ἐπισημειώσεσι, ταῖς περὶ τὰς τῶν Πατέρων ἐπιστολὰς, τὰς τῇ τῶν ἐφεσίων Συνόδῳ προσεπανηκάσας, ὑπ' αὐτὸν δὲ ἐν Λοβανίῳ Ἔτει 1682. ἐκδεδομένας, τὴν τοιάνδε ἀμφιβολίαν ἐπιλυσάμενος, γνησιωτάτην εἶναι Θεοδωρήτου τὴν ἐπιστολὴν ἀπέδειξε, Σελ. 431. Ὁ δὲ Γαρνέριος ἐν τῷ Αὐξητηρίῳ τῶν Θεοδωρήτου Συγγραμμάτων, Σελ. 93. ἀκριβέστερον ἔτι περὶ τῆς αὐτῆς Ἐπιστολῆς ἐπραγματεύσατο, καὶ ταύτην τραγώτατα Θεοδωρήτῳ ἐπεκδικήσας, καὶ Ἕλλησι παρέθετο. Ἐν δὲ Σελ. 603. Λατίνοις μόνον. Ἀναγινώσκεται δ' ἡ αὐτὴ καὶ ἐν τοῖς Πρακτ. τῆς Ε'. Συνόδου, Συνελ. Ε'. Καὶ παρὰ Κοτελερίῳ ἐν τοῖς Ἀπομνημονεύμασι τῆς Ἐκκλησίας τῶν Γραικῶν.

γόμενα, σιὼ τοῖς μὴ ὀρθῶς ἑρμηνεύοις, συγκατακρινεῖς; Λέγεται δὲ τὸ ὅλον γράμμα καταδικάζεσθαι, διὰ τὸ ἐκ παντὸς (ὡς φασὶν) ἐλλείμματος τὸ κακὸν ἀναφύεσθαι· Ἐνίσταται δ' ἓν ὁ λατινίσας Γραικὸς Ἀλλάτιος (*), μηδὲν εἶναι φάσκων ἐπὶ τῆ προαπομνημονευθέντος τῆ Θεοδωρήτου Συγγράμματος, ὅπερ ἂν καταψηφισθείη αἱρέσεως· μόνον ἄρα τοῦτο, τὸ περὶ τῆς τ. Ἁγίου Πνεύματος ἐκπορεύσεως ῥηθὲν, τῆ τῆς Ε'. Συνόδου κατακρίσει ὑπέπεσεν.

Ἀλλ' ἀπαντῶ Α'. ὡς αὐτὴ ἡ Ἀλλατίου παρατήρησις, τῆ προτέρα τῶν Λατίνων ἁπάντων ἐνστάσει ἐστὶν ἀντιβαίνουσα. Ὁ μὲν γὰρ διατείνεται, διὰ ταύτην καὶ μόνην τὴν φωνὴν, τὸ ὅλον γράμμα κατακριθῆναι· Οἱ δὲ φασὶν, ὅτι διὰ τοῦτο καὶ ἡ φωνὴ αὕτη κατακρίσει καθυπεβλήθη, διὰ τὸ κατακριθῆναι τὸ ὅλον σύγγραμμα. Β'. Εἰ δὲ καὶ τὸ Θεοδωρήτου ἐκεῖνο Σύγγραμμα κατ' ὀρθὴν ὅλον τὴν ἔννοιαν ἔχει ἀναπτυχθῆναι, ὡς ἔν καὶ δέον ἐστίν· (Ὁ γὰρ Θεοδώρητος ἐχὶ τῆ δόξη, ἀλλὰ τῷ τῆς ἐκφράσεως τρόπῳ, τοῦ μὲν Κυρίλλου διαφωνεῖν ἐδόκει, τῷ δὲ Νεσορίῳ συντίθεσθαι.) Οὔτε μιὰ τῆς Ε'. Συνόδου Πατέρες, κατὰ νοῦν τὸν τοῦ Νεσορίου τὸ γράμμα ἐξεδέξαντο τὸ ἐκεῖνο. Ἔστι γὰρ ἃ τῷ ὄντι ἐν αὐτῷ ἀμφιβαλλόμενα φέρεται, ὡς δι' ἓν, φέρε, ἐπὶ τοῦ Χριστοῦ τὸ καθ' ὑπόστασιν ἀπέφασκεν ἑνα δικόντως καὶ μονοπρόσωπον· ἃ καὶ δεόντως ἀποκεκήρυκται. Γ'. Τελευταῖον δὲ Θεοδώρητος ὑπὸ Κυρίλλου ἐν κοινωνίᾳ προσδέδεκται. Ὑπὸ δὲ τῆς ἐν Χαλκηδόνι Συνόδου, καὶ τῆ Ἐπισκοπικῆ καθέδρᾳ ἀποκατέστη· ἐφ' ἧς ἀεὶ, καὶ τῆ περὶ τῆς προσδὸς τοῦ Ἁγίου Πνεύματος ἐνέμεινε δόξη, ὡς ἐκ τῶν ἄλλων Συγγραμμάτων αὐτοῦ καταφαίνεται· Οὐδ' ἔστι φάναι, ὡς ὑπό τινος ὕστερον ἐν αἰτίᾳ τὸ τοιοῦτον αὐτῷ προσέτριπται. Περὶ ἃ καὶ κατωτέρω, ἔνθα περὶ τῆς ἐκείνου μαρτυρίας λόγος ἔσται, ὀψόμεθα. Φανερὸν ἄρα, ὅτι κακῶς Θεοδωρήτου ἡ περὶ τῆς τοιᾶσδε ἀμφισβητήσεως ἐπανιὼν ἔχθη ἀρχή· καίτοιγε ἡ τότε μεταξὺ καὶ τοῦ Κυρίλλου ἀναρριπισθεῖσα

(*) Βιβλ. Β'. περὶ τῆς Διλωσεκῶς Συμφων. τῶν Ἐκλησ. Δυτικ. καὶ Ἀνατολ. Κεφ. Β'. Ἀριθμ. Ε'. Σελ. 490. τῆς ἐν Κολων. Ἐκδόσ.

ῥιπισθεῖσα ἔρις, ἥτε ὕστερον διάλυσις καὶ καταλλαγὴ, ἐ μικρὸν (ὡς καθ' αὐτὸ δῆλον) τῇ Λατίνων ὑποθέσει ἐπιλυμαίνεται.

Τῇ ἑβδόμῃ ἤδη παρακλίνοντος αἰῶνος, σπέρματά τινα τῆς τοιᾶσδε διαφορᾶς ὁπωσοῦν ἔδοξε καταβληθῆναι. Μάξιμος γὰρ ὁ Θεῖος Ὁμολογητὴς, ἐν τῇ πρὸς Μαρῖνον τὸν ἐν Κύπρῳ πρεσβύτερον Ἐπιστολῇ (*) πρὸς τοῖς ἄλλοις, φησὶν, ὑπὸ Γραικῶν Λατίνους ἄγεσθαι ὑπ' αἰτίαν, ὡς διδάσκοντας ἐκπορεύεσθαι τὸ Ἅγιον Πνεῦμα ἐκ τοῦ Υἱοῦ. Ἀλλ' ὁ αὐτὸς αὐτόθι ἐξέθετο τὴν Λατίνων διάνοιαν, μηδαμῶς δηλονότι διδασκόντων εἶναι αἰτίαν τῷ Ἁγίῳ Πνεύματος τὸν Υἱόν· ἕνα δὲ καὶ μόνον ὁμολογούντων ἐν τοῖς Θείοις αἴτιον τὸν Πατέρα, καίτοιγε τὸ Πνεῦμα λεγόντων προέρχεσθαι διὰ τοῦ Υἱοῦ.

Φέρεται δὲ τῆς ἐπιστολῆς ταύτης ἀπόσπασμα, καὶ ἐπὶ τῆς κατὰ Φλωρεντίαν Συνόδου προσενεχθὲν, ἐν Συνεδρίᾳ ΚΓ'. ὅπερ ἐνταῦθα παρατίθημι. „Τῶν τοῦ νῦν „Ἁγιωτάτου Πάπα Συνοδικῶν, ἐκ ἐν τοσούτοις ὅσοις γεγράφατε Κεφαλαίοις οἱ τῆς Βασιλίδος ἐπελάβοντο, δυσὶ δὲ „μόνοις· ὧν τὸ μὲν ὑπάρχει περὶ Θεολογίας· ὅτι τε φασὶν, „εἶπεν ἐκπορεύεσθαι καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον· „τὸ δὲ ἄλλο περὶ τῆς Θείας σαρκώσεως, ὅτιπερ γέγραφε „δίχα τὸν Κύριον εἶναι τῆς προπατορικῆς ἁμαρτίας, ὡς „ἄνθρωπον. Καὶ εἰς μὲν τὸ πρῶτον συμφώνως παρήγαγον „χρήσεις Ῥωμαίων Πατέρων· ἔτι μὴν καὶ Κυρίλλε Ἀλεξαν„δρείας, ἐκ τῆς πονηθείσης αὐτῷ Ἱερᾶς Πραγματείας εἰς „τὸν Εὐαγγελιστὴν Ἅγιον Ἰωάννην. Ἐξ ὧν ἐκ αἰτίαν τὸν „Υἱὸν ποιοῦντας τοῦ Πνεύματος, σφᾶς αὐτοὺς ἀπέδειξαν· „μίαν γὰρ ἴσασιν Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν· „τοῦ μὲν κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν. „Ἀλλ' ἵνα καὶ δι' αὐτοῦ προϊέναι δηλώσωσι· καὶ ταύτῃ τὸ „σωφὲς τῆς ἐσίας καὶ ἀπαράλακτον παραστήσωσιν. (**)

Τὰ

(*) Ἥτις κεῖται ἐν τοῖς Συγγράμμασι τοῦ Ἱεροῦ Μαξίμου, Τόμ. Β'. Σελ. 69. τῆς ἐν Παρισ. Ἐκδόσ. Ἔτ. 1675.

(**) Ἐν τοῖς Ἀρχαίν. Συνεδικ. Τόμ. Θ'. Σελ. 306. Καὶ ἐν τοῖς Λαββαίοις, Τόμ. ΙΓ'. τῆς τῶν Συνόδων Συλλογῆς.

Τὰ δὲ δὴ τῷ Μαξίμῳ ταῦτα, ὡσαύτως παρέθετότῳ καὶ ἔθετο, καὶ Ἀνασάσιος ὁ Βιβλιοθηκάριος, Λατῖνος ἔτος, περὶ τὸ ἀπὸ Χριστοῦ ϡοο. Ἔτος περιὼν τῷ βίῳ· καθ' ὃν δηλονότι χρόνον, τὸ Λατινικὸν δόγμα κατισχυον ἐπεδίδου, ὡς ἔπειτα δηλωθήσεται. Τὰ δέτοι τότε τοιάδε: „Παρὰ ταῦτα διερμηνεύοντες ἐσμὲν, ἐκ τῆς Ἐπιστολῆς τοῦ αὐτοῦ Ἱερᾶ Μαξίμῳ, τῆς πρὸς Μαρῖνον τὸν Πρεσβύτερον, τὰ περὶ τῆς τοῦ Ἁγίου Πνεύματος ἐκπορεύσεως. Ἔνθα μάτην ἡμᾶς αἰτιᾶσθαι παραδηλοῖ τοὺς Γραικοὺς, ὡς μηδαμῶς αἰτίαν ἢ ἀρχὴν τὸν Υἱὸν τοῦ Ἁγίου Πνεύματος λέγοντας, καθάπερ ὑπειλήφασιν, ἀλλ' ὡς τὸ σύμφυτον τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐσίας ἥκιστα ἀγνοοῦντας· Ὅτι καθάπερ ἐκ τοῦ Πατρὸς πρόεισιν, ἔτως αὐτὸ προϊέναι ὁμολογοῦμεν ἐκ τοῦ Υἱοῦ· Ὡς πέμψιν δηλονότι τινὰ πρόοδον ἐκλαμβάνοντες· Εὐσεβῶς ἔτω διερμηνεύων, καὶ τοὺς ἑκατέρας τῆς γλώσσης εἰδήμονας πρὸς εἰρηνικὴν παιδαγωγῶν· Ἐν οἷς δηλ: διδάσκει, ἡμᾶς τε δὴ καὶ Γραικούς· κατά τι μὲν προϊέναι, κατά τι δὲ μὴ προϊέναι ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον. (*)

Οὐκ ἄρα ἀδ' ἐκ τῶν τοῦ Ἱερᾶ Μαξίμου χρόνων, τινὰ ἀρχὴν τῆς διαφωνίας ταύτης λημτέον ἐστίν· Εἰ γὰρ καὶ τοιαύτην περὶ ἑαυτῶν ὑπόνοιαν παρέχον τότε Λατῖνοι, τόγε μηδ' ἀπερίσκεπτον αὐτοῖς μόνον, αἴτιον κατέστη τῆς τοιᾶσδε ἐκφράσεως. Δόξαν δὲ μακρῷ διαφέρουσαν τῆς τῶν μετ' αὐτὸν ἔχον, ἵν' ὁ Μάξιμος ἀναπτύξας, πᾶσαν ἀπὸ τῶν Γραικῶν ἀφεῖλεν ὑπόνοιαν. Ὅπερ ἔν ἔκδηλον καὶ ἐξ αὐτῆς τῆς ἐκβάσεως. Οὐδεμία γὰρ περὶ τότε κατ' ἐκεῖνο τοῦ χρόνου ἔρις ἀνέκυψεν.

Ἀλλ' ἀ τοσοῦτο σημειωτέον καλῶς, ὅτι αὖτη τυχὸν ἡ ἀπερίσκεπτος ἔκφρασις, τῶ καινοτομηθέντος ὕστερον αὐτοῖς

(*) Ἐν Ἐπιστ. πρὸς Ἰωάν. τὸν Διάκ. Τόμ. Ε'. Συνοδ. Λαββ. Σελ. 1771. Καὶ ἐν τοῖς Ἰακ. Σιρμόνδ. Τόμ. Γ'. Σελ. 471. Ἐν παρισ. 1696. Ἐν οἷς αἱ Συλλογ. τῶν Ἀγκυρ. τῆ Βιβλιοθ. πρὸς Ἰωάν. τὸν Διάκ. τετύπωνται. Καὶ ἐν Τόμ. ΙΒ'. τῆς Βιβλιοθ. τῶν Πατέρ. τῶν ἐν Λουγάνῳ.

τοῖς Δόγματος, οἱοντὶ σπέρμα προκαταβέβληται. Ἐνίοι γὰρ παρ' αὐτοῖς, τὶω τῆς Προόδε (ἢ Ἐκπορεύσεως) φωνὶω, ἀντὶ τῆς Πέμψεως ἐξειληφότων, κατὰ δὲ τὶω σημασίαν ταύτὶω, προϊσίαν, (ἢ ἐκπορεύεσθαι) τὸ Ἅγιον Πνεῦμα ἐκ τῦ υἱῦ εἰρηκότων· ἄλλοι ὕσερον τῆς ἑαυτῶν Ἐκκλησίας τὶω δόξαν ὑπειλήφασιν εἶναι, ὅτι ἀπ' αἰῶνος τὸ Ἅγιον Πνεῦμα ἐκπορεύεται ἐκ τῦ Υἱῦ. Τετέσιν, ὅτι ἐκ τῦ Υἱῦ τὶω ἰδίαν λαβὸν ἔχει ὕπαρξιν. Ταύτῃ δέτοι, ὡς παρὰ τῶν Γραικῶν αὐτὸ τῦτο ἔγνωσαν ἀποφάσκεσθαι, ἐπεθρόησάν τε δὴ ἔτοι, καὶ τῆς τοσαύτης διαφωνίας τὰς Θεμελίας κατέβαλον.

Ἀληθὴς τοίνυν ἡ Ἀδὰμ τῦ Zοιρνικαβίε ἐςὶ παρατήρησις, ὡς ἄρα περὶ τὶω Η'. Ἑκατονταετηρίδα λήγουσαν, καὶ τὶω Θ'. ἤδη ἀρχομένὶω ἡ διαφωνία αὕτη κατήρξατο. Οὔκων Λατίνων μέσον τε καὶ Γραικῶν· μεταξὺ δὲ μόνων αὐτῶν Λατίνων. Ὅπερ ἐκ τῶν τὰ κατ' ἐκείνας τὰς χρόνας τῇ Ἱσορίᾳ παραδεδωκότων, ἕτω σωάγεται· Πρῶτον γὰρ παρὰ μόνοις Λατίνοις τόδε τὸ ζήτημα κινηθῆναι, μαρτυρᾶσιν Ἄδων ὁ Βιένης Ἐπίσκοπος (*), καὶ Ἀϊμώνιος (**), καὶ ὁ τὰ Φράγκων χρονικὰ συγγραψάμενος, ἀπὸ Ἔτες 741. ἕως ἐπὶ τὸ 814. (***), καὶ ὁ τὰ κατὰ Κάρολον τὸν Μέγαν βιογραφήσας, (†) καίτις δὲ Κοινοβιάτης Ἐλογισμιώσιος, ἐν τῇ βιογραφίᾳ τῦ αὐτῦ Καρόλε τῦ Μεγάλε, (††) καὶ Ἐγινάρδος ἐν τοῖς χρονικοῖς (†††). καὶ ἄλλοι κοινῇ· Οἵ δὴ πάντες ἐπιμαρτυρᾶσι, μεγάλιω τὸν τότε χρόνον, ἐν Ἀκυϊσγράνῳ τῇ Πόλει, Λατίνων Σιώδον συσιῶσαι, καὶ μεθ' ὅσης δριμύτητος ἐν αὐτῇ, Διαλέξεις περὶ τῆς τῦ Ἁγίε Πνεύματος Ἐκπορεύσεως συγκροτηθῆναι. Ἅμα δὲ, καὶ τῆς διαμφισβητήσεως ἀφορμὶω δοθῆναι

(*) Ἐν τῷ Χρονικῷ Ἔτ. 809.

(**) Βιβλ. Δ'. περὶ τῶν Πεπραγμένων τοῖς Φράγκοις, Κεφ. 97.

(***) Τόμ. Β'. τῆς Ἱσορ. τῶν Φράγκ. Συγγραφ. ἐν Παρισ. Ἔτ. 1636. παρὰ Ἀνδρέᾳ (de Chesne) ἐκδεδομένων, Σελ. 46.

(†) Ἐν τῷ αὐτῷ Τόμῳ Σελ. 74.

(††) Αὐτ. Σελ. 84.

(†††) Αὐτ. Σιλ. 255.

δοθεῖσαν φασὶν, ὅτι τις τῶν ἐν Ἱεροσολύμοις Μοναζόντων, τὄνομα Ἰωάννης, τὸ τοιόνδε κινήσειε Ζήτημα. Ἐγένετο δὲ ἀκμάσας ὁ πολὺ πρὸ ἐκείνε, ἐδὲ πάνυ πόῤῥω τῶν Ἱεροσολύμων ποιέμενος τὰς διατριβὰς, ὁ περιώνυμος Ἰωάννης ἐκεῖνος ὁ Δαμασκιωός· ἐδ' ἔξιν ὅστις ἄλλος παρ' αὐτὸν ὑπὸ τῷ τοιῶδε ὀνόματι, κατ' ἐκεῖνο τῆς χώρας, εὗρηται Συγγραφεύς. Ἐπεὶ τοίνυν ὁ Ἰωάννης ὅτος, πολλαχῆ τηλαυγῶς ἐκδιδάσκων ἐςὶ τὸ Πνεῦμα ἐκ μόνε ἐκπορεύεδαι τὸ Πατρὸς, εἰκὸς ἐςὶ τῶν αὐτῆ συγγραμμάτων χερσὶ Λατίνων ἀφικομένων, ἐνίες ἐξ αὐτῶν (τὲς τλιῶ ἐκπόρευσιν δηλονότι, τλιῶ ἀντὶ τῆς πέμψεως παρὰ τῶν οἰκείων νοεμένλι, μηδαμῶς σιωιέντας, σαφέστερον δὲ, ἀντὶ τῆς αἰωνίε Προόδε ἐκδεχομένες) Τλιῶ Ἰωάννε διδασκαλίαν ἀντιβάνεσαν τῇ ἰδίᾳ κατειληφένᾳ· Ἄλλες δὲ, ὡς ὀρθόδοξον αὐτιῶ ἐπικρῖναί τε καὶ προσκυρῶσαι· κἀντεῦθεν ἐς διαμάχλι τλιῶ πρὸς ἀλλήλες ἐλθεῖν. Καὶ αὕτη γὲν ἡ μεταξὺ Λατίνων αὐτῶν ἕτω διεγερθεῖσα ἔρις, ἡ πρώτη ἅσα τυγχάνει τῆς διαμφισβητήσεως ταύτης ἀρχή· Εἰ γὰρ καὶ ἡ περὶ τῆ Δαμασκιωῆ Ἰωάννε, εἰκασία τις ἐςί· (καίτοιγε, ὡ γένοι εἰκασιῶν εἰπεῖν, μάλισα πιθανωτάτη·) Οὐδὲν ἀλλ' ἦν ἤτλον, ἐξ ὧν οἱ προαπομνημονεθέντες Συγγραφεῖς φασὶν, ἀπάσης ἔξω κείμενον ἐςὶν ἀμφιβολίας, ὅτι Ἰωάννης ὁ Μοναχὸς ἐκεῖνος, ὁ κινήσας τὸ Ζήτημα (ὅστις ποτὲ τέως καὶ εἴη·) Οὐ πόῤῥω τῶν κατ' ἐκεῖνο χρόνων ὑπῆρξε γενόμενος. Καὶ ἐκ τῆ μεγάλιω δὲ συσλῶσαν τλιῶ συγκροτηθεῖσαν ἐκείνιω Σύνοδον, εὕδηλον ὅτι τῆς διαφωνίας πρῶται αὗται ἀνέφυσαν ἀπαρχαί. Ὅ δὴ τῆτο τέως καταφαίνεται, καὶ ἐκ τῶν ῥημάτων, ἃ εἶπον οἱ ἀπὸ τῆς ῥηθείσης Συνόδε πρὸς Πάπαν Λέοντα τὸν Γ'. διαπρεσβευσάμενοι· Οὕτω γὰρ ἔλεγον (*) „Ζήτησις περὶ τῆ τῆ „Ἁγίε Πνεύματος ἐκπορεύσεως ἀρτίως ἀνέκυψε· (Καὶ „πάλιν)

(*) Ὁ ὁλοχερὴς Λόγος τῶν διαπρεσβευσαμένων Λεγάτων· ἢ μᾶλλον ἡ Καρόλε τῆ Μεγάλε Ἐπιτολὴ πρὸς τὸν Πάπαν Λέοντα τὸν Γ'. ἐξ ἧς τὰ παρατεθέντα ἐληφθη ῥήματα, κεῖται ἐν Τόμ. Ζ'. τῶν Συνόδ. ςήλη 1199. παρὰ Φιλίπ. Λαββέϊ· καὶ ἐν Τόμ. Δ'. τῆς Συλλογῆς τῶν Συνόδ. Ἀγδεΐνε Σελ. 973.

πάλιν) Οὐδαμῶς κατέπαυσεν, ὡς πάλαι ἀνακριθεῖσα· ἀλλ' ὡς οἷα ἐν τοῖς καιροῖς τούτοις λανθάνουσα, αὐτίκα ἡμῖν ἐξανέδυ. (Καὶ αὖθις) ὅτι ἐπὶ πολὺ ἡ τοιαύτη Ζήτησις ἀνεξέταστος ἔκειτο παρὰ τῶν Ζητητῶν, ὁ Πανθενὴς εὐδόκησε Θεὸς, ἐπ' αὐτῷ τὰς τῶν ποιμένων διαναῤῥῆσαι καρδίας, ἵνα τῷ ἐκ ῥᾳθυμίας ἀποσείσαντες νάρκην, τῷ τῆς Ἱερᾶς ἐξασκήσεως βραχίονι ἀνορύξαι δυνηθῶσι θησαυρὸν τὸν ἐράνιον. Ἃ δὴ ῥήματα καλῶς σημειωτέον, ὡς ἐπὶ τὰς ἐφεξῆς ὑπενεχθησομένας παρατηρήσεις ἐ μικρὸν τεινοντα.

Τῆς τοίνυν ἀμφισβητήσεως τῷ ἀρχῷ ἔχεσι, τῷ ἀληθῆ, ζητητέον λοιπὸν, τίς ὁ πρῶτος τολμήσας τῷ Συμβόλῳ προσθεῖναι τῷ φωνῷ καὶ ἐκ τοῦ Υἱοῦ. Ἀλλὰ πρὸ τούτου, ἐξετάσαι ἀρέσκει διὰ βραχέων, ὁποία τις ἰῶν ἄρα τὸ τῷωικαῦτα ἡ τῆς Λατινικῆς Ἐκκλησίας δόξα, περὶ τοῦ προκειμένου δόγματος; Ἐρῶσι πάντως, καὶ ἤπερ τοῦτο οἱ νεώτεροι τῶν Λατίνων, καὶ ἤδη φασὶν, ὡς ἡ Δυτικὴ Ἐκκλησία διὰ παντὸς ὑπῆρχε πισεύουσα, ὅτι τὸ Ἅγιον Πνεῦμα ἐκπορεύεται ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ. Τοῦτο δὲ ψευδὲς ὄν, τοιοῖσδε λόγοις αὐτοὶ ἀποδείκνυμεν. Α'. ἐκ τῆς τοῦ Ἱερᾶ Μαξίμου Ἐπιστολῆς εἴδομεν ἀνωτέρω, ὅτι οἱ τῶν Λατίνων ἀρχαιότεροι, τοῦ τοιούτου δόγματος παρὰ τῶν Ἀνατολικῶν αὐτοῖς ἀντιπροτεθέντος, ἐκ ἄλλως τῷ ἀντίθεσιν ἐπελύσαντο, εἰμὴ τῷ φωνῷ ἀναπτύξαντες τῆς ἐκπορεύσεως, ἀντὶ τῆς πέμψεως τῆς χρονικῆς. Β'. Οἱ ἐξ' Ἀκυισγράνου Πρεσβευταὶ, φασὶν αὐτός τε καὶ τοὺς αὐτῶν, ἤδη πρῶτον ἐπιχειρεῖν τὸν Οὐράνιον θησαυρὸν ἀνορύξαι· τοτέσι, ταύτῃ τῷ ἑαυτῶν διδασκαλίαν, τῷ περὶ τῆς Ἐκπορεύσεως. Οὐκοῦν ὁ θησαυρὸς ἦτος πρὸ ἐκείνου αὐτοὺς ἐλάνθανεν. Γ'. Τί δὲ ἄλλως αὐτοῖς Λατίνοις ἔδει καὶ τῆς Συνόδου, καθ' ἣν πρὸς ἀλλήλους, (ὁ γὰρ ἂν πρὸς Ἕλληνας φαῖεν·) προσδιαλεχθεῖεν; Εἰ μὴ ὅτι, τοῦ Ζητήματος ἀναφυέντος, ἐχὶ πάντας τὸ αὐτὸ φρονοῦντας γενέσθαι ἀνεπέφηνεν. Δ'. Αἰμόνιος ὁ ἀνωτέρω μνημονευθεὶς, ἔνθα εἴρηται, φησὶν ὅτι ἐπὶ τῆς Συνόδου ἐκείνης

ἐδὼν

ἐδεν διώρισαν, διὰ τὸ τῶν πραγμάτων, ἥπερ ἐδόκει, μέγεθος. Οὐδετέρῳ ἄρα τῶν μερῶν, ἐδέτερον ἐπεθάρχησεν. Ἀμφω δὲ τὰ μέρη εἰλικρινῶς Λατῖνοι ἐτύγχανον. Εἰ. οἱ κατ' ἐκεῖνο παρὰ Λατίνοις διαφέροντες Ἄνδρες οὔτε λόγοις καὶ ἀξιώμασι, τῷ προσφάτῳ Λατινικῷ δόγματι, ὡς ἄντικρυς καινοτομίᾳ ἀντηνέχθησαν. Ἦκμαζε γὰρ τότε Ἀλβῖνος Ἀλκεῖνος Ἄγγλος Ἀνὴρ, ὃν Κάρολος ὁ μέγας ὁ Φράγκων Βασιλεὺς, διὰ τὸ ἐπίσημον τῆς περιέσης αὐτῷ ἐν λόγοις δυνάμεως, ἐπὶ Γαλλίας μεταπεμψάμενος, ἑαυτῷ τε ἡρετίσατο παιδευτὴν καὶ διδάσκαλον, παρ' ἐκείνῳ μαθητεύσας, καὶ Ἀκαδημίαν δὲ ἱδρῦσαι ἐπέτρεψεν. Αὐτὸς ἓν τοῖς κατὰ Λέγδενον Ἀδελφοῖς ἐπιστέλλων, (*) τοιάδε φησίν. „Τὰς νεωτέρας, Ἀγαπητοὶ Ἀδελφοὶ, τῆς Ἱσπανικῆς ἐξαπάτης φατρίας, μεθ' ὅσης ὑμῖν οἷόντε, φυλάττεσθε τῆς προσοχῆς. Τοῖς τῶν Ἁγίων Πατέρων ἴχνεσιν ἐν τῇ πίστει ἀκολουθεῖτε· καὶ ἐν ὁμονοίᾳ Ἁγιωτάτῃ, τῇ Καθολικῇ Ἐκκλησίᾳ σωώπλεσθε. Γέγραπται γὰρ: Οὐχ ὑπερβήσῃ ὅρια πατέρων σε. Καὶ τῷ τῆς Καθολικῆς δὲ πίστεως Συμβόλῳ ἐμπαρεισαγαγεῖν μὴ θελήσητε. Καθ' αὐτὸ δὲ δῆλον τὸ περὶ ἧς φθέγγεται. Οὐδεμία γὰρ ἥκεσαν ἐν τῷ Συμβόλῳ ποτὲ γενομένη προθήκη ἑτέρα (μετὰ τὸν ὅρον τῆς ἐν Ἐφέσῳ Συνόδου) παρὰ ταύτην, τὴν καὶ ἐκ τοῦ Υἱοῦ· Παρεκλὸς δὲ τούτων εἴδομεν φθάσαντες, καὶ ὅτι περὶ ἑδενὸς ἄλλου, ἤτοι δόγματος, ἢ προθέματος οἱ Λατῖνοι διηνέχθησαν τηλικαῦτα, ἡνίκα καὶ ὁ Συγγραφεὺς ἔτος περιὼν τῷ βίῳ ἐτύγχανεν.

Ἐρρίκος ὁ Κανίσιος, ἐν αἷς τῇ Ἐπιστολῇ ταύτῃ τοῦ Ἀλκεΐνου προσέθετο Σημειώσεσι, τὸ μὲν περὶ ἐκείνης αὐτὸν τῆς προθήκης λέγειν, ὁμολογεῖ καὶ αὐτός· Ἑπόμενον δὲ τῷ Λέοντος τοῦ Γ'. ὑποδείγματι, ὅτως ἁπλῶς κατὰ τῆς προθήκης γεγραφέναι, φησίν· ἥκισα δὲ κατ' αὐτοῦ τούτου τοῦ δόγματος.

(*) Κατὰ δ' ἡ Ἐπιστολὴ αὕτη, ἀριθμῷ 69. Ἐν τοῖς αὐτοῖς Συγγράμμασι, τῆς Παρισιακ. Ἐκδόσ. τῆς Ἔτα 1617. Ἐν Στήλῃ 1587.

Ἀλλ' ἁμαρτάνει ὁ καλὸς Κανίσιος· καὶ γὰρ Λέων μὲν ὁ Γ'. τῆς προθήκης κατεψηφίζετο, ἐν Ἔτει 809. Ἀλβῖνος δὲ τῷ ζιῶ ἐπαύετο, ἐν Ἔτει 804. Πενταετίαν δηλονότι πρὸ τῆς ἐν Ἀκυϊσγράνῳ Συνόδε, καὶ πρὸ τῆς τῶ Λέοντος καταψηφίσεως, περὶ ἣ μετὰ μικρὸν κατωτέρω εἰρήσεται. Τότε δὲ μάρτυρες Συγγραφεῖς ἀρχαῖοι· Οἷον ὅ,τε Ἀνώνυμος, ὁ τὰ κατὰ Ἀλβῖνον βιογραφήσας, καὶ πρὸ τῶν μνημονευθέντων τότε πονημάτων, τύποις ἐκδοθείς· Καὶ Ὀδοράννος Μοναχὸς, ἐν τῷ χρονικῷ· Καὶ ἡ τῆς Τερονλωσίας χρονογραφίας Ἐπιτομή. Καίτις δὲ Κανονικὸς Σηνονλώσιος, Ἀνώνυμος καὶ ἕτος. Οἵ δὴ πάντες, πρὸ τῶν Ἀλβίνε πονημάτων προτετάχαται (*). Ὅτι δὲ καὶ αὐτῆ τῆ δόγματος Ἀλβῖνος καθάπλετας, ἐκ τῶν ἐπενεχθέντων ἐκείνε ῥημάτων καθίσαται πρόδηλον.

Ὁ δ' αὐτὸς χρόνος, καὶ Σοφὸν ἄλις, (ὅσα γε φᾶναι κατὰ τὰς βαρβαρότητι ἐνιχημένες καιρὰς ἐκείνες·) θεολόγον ἰῶεγκε Παυλῖνον τὸν Ἀκυληίας Πατριάρχλιν. Ὅς δὴ καὶ ἕτος, ἐπειδὴ σιωῖδε τὸ δόγμα διαπείρεθαι τῆτο, ὑπ' οἰῶν δὲ, καὶ αὐτὸ τὸ Σύμβολον τῇ προθήκῃ ἐπαύξεθαι, ἀνεβάλετο εὐκαίρως τῷ κακῷ ἀντεπεξιέναι· Σιώδον γὰρ συγκροτήσας ἐν Φόρῳ Ἰελίῳ, Ἰταλίδι πόλει, ἐν Ἔτει 791. σιωδικῶς τλὺ καινοτομίαν κατέκρινεν. Ἡ δὲ Σιώδος, (καίπερ αἴχισα παρεφθαρμένη, ὡς ἐφεξῆς εἰρήσεται·) Ἐν ἁπάσαις ταῖς τῶν Σιώδων ἐμφέρεται Συλλογαῖς (**). Ἐκεῖ δὲ Παυλῖνος πρόσγε τοῖς ἄλλοις, ἔχει

(*) Ἐν ἐκάνῳ δηλονότι τῷ Ἐξεμπλαρίῳ νοητέον, ὃ ἐν χερσὶν ὑπῆρχε τῷ Συγγραφεῖ. Ἐν ἄλλοις γὰρ Βιβλίοις ἅπερ αὐτὸς μετῆλθον, τῆς αὐτῆς ἔσιν ἐκδόσεως, ἐκ ἐμφέρονται· ἐδὲ πυρίως τοῖς Ἀλβίνε πονήμασιν ἐπανήκασιν. Ἀλλ' ἐκείνων οἱ μὲν ἰδίᾳ ἐν μέρει, οἱ δὲ ἐν ταῖς τῶν Ἱστορικῶν Συλλογαῖς ἐκτετύπωνται. Ὡς ἐν τοῖς Πιθαίε χρονικοῖς· Καὶ ἐν τῇ Ἱστορ. τῶν Φράγκ. Καὶ παρὰ τῷ Duchesne Ἱστορ. τῶν Φράγκ. Συγγρ. Τόμ. Β'.

(**) Παρ. Χάρ. ἐν τῷ Γ'. Τόμ. τῶν Συνοδικ. Σεβηρίνε τῆ Βινίε Μέρ. Α'. Τμήμ. Ἕτερ. Σελ. 133. Καὶ ἐν Ζ'. Τόμ. τῶν Συνοδ. Λαββέα καὶ Κοσσαρτίε, Σελ. 991. Καὶ ἐν τῇ Ἀρδεΐνε Συλλογ. τῶν Συνόδ. Τόμ. Δ'. Σελ. 849.

ἔχει καὶ τάδε: „Διὰ τὰς ποικίλας τῶν ἐξ αἱρέσεως κα- κοδοξίας, καὶ τὰς διαφόρους ἁπλουστέρων τινῶν ὑπονοίας, ἑτέραν σωτάτειν ἢ διδάσκειν πίστιν, ἐδόλως σωτίθεμαι, παρὰ τὴν ὑπὸ τῶν Ἁγίων Πατέρων παραδοθεῖσαν, ἣν ἅπας ὁ παρελθὼν εἰλικρινῶς ἀπεδέξατο χρόνος. Οἶδα γὰρ, ὅτι οὕτισι τῶν Σινοδικῶν δέλτων, (τὸν τῆς ἐν Ἐφέ- σῳ Συνόδε ὅρον νοεῖ, περὶ τ. μὴ δεῖν παραχαράτειν ὅλως ἀλλοιοῦντας τὸ Σύμβολον·) ὥρισαι, πρὸς ἔλεγχον τῶν νεωτέρων καὶ πολυχιδῶν Αἱρέσεων, καὶ μάλισα, διὰ τὴν δολερὰν τε καὶ πεπλασμένην Νεσορίε, ἢ Εὐτυχῆς, Ἀν- δρῶν λοιμῶν τε καὶ ψευδολόγων, ἐκ ἂν ἔποιμι πίστιν, ἀλλὰ μᾶλλον ἀπιστίαν· μηδενὶ ἐξεῖναι πίστεως ἑτέρας Σύμ- βολον διδάσκειν, ἢ σωτισθέναι. Ἀλλ' ἡμῶν τε, καὶ παν- τὸς πιστ. τῆς ψυχῆς ἀπείη, τὸ, ἄλλως τε, καὶ ἄλλως ἢ ἐκεῖνοι ἐδίδαξαν, Σύμβολον, ἢ πίστιν σωτισθέναι, ἢ ἐκδι- δάσκειν. Καταγέμιν τὸν νᾶν τὸν ἐκείνων, ὁπόσα τυχὸν παρὰ τὸ ἐπίτομον τῆς βραχυλογίας, ἧτλον ἢ δέον ὑπὸ τῶν ἁπλουστέρων καὶ ἀπαιδεύτων κατανοεῖται, ἐκεῖνα ἐκ- τίθεσθαι δεῖν καὶ διδάσκεσθαι ὡρισάμεθα. Αὐτὶν δὲ (τὴν πίστιν) καὶ αὐτὸ τὸ τ. Συμβόλε ὖφος κατέχειν ἐνετειλά- μεθα (ἀπαράτρωτον.) . . . . Καὶ μετ' ὀλίγα δὲ αὖ- θις . . . Ἀλλὰ γὰρ ἐ τ. τοῦτο ἐσὶν, ἐν τῷ τῆς πίστεως λό- γῳ προσιθέναι, ἢ ἀφαιρεῖν, τὰ ὑπὸ τῶν Ἁγίων Πατέρων καλῶς τε καὶ ὑγιῶς κηρυχθέντα, τὸ κατὰ νᾶν τὸν ἐκεί- νων ὀρθῶς φρονεῖν, καὶ τὴν αὐτοῖς περιθσαν μεγαλόνοιαν ἀναπληρᾶν· Ἀλλὰ προσιθέναι, ἢ ἀφαιρεῖν ἐξὶ, τὸ δο- λίως κατὰ τῆς ἱερᾶς καὶ Ἁγίας ἐκείνων ἐννοίας, ἄλλως ἢ κατ' ἐκείνος, ἐν ἐπιπλάτῳ τε καὶ ὑπέλῳ προχείματι, ἑτεροδοξεῖν, καὶ Φράσει σωεχραμμένῃ δόγμα διάφορον σωτισθέναι· καὶ διὰ τ. τ., δυσεβεῖ τόματι, μετὰ κόμ- πε ληρεῖν μᾶλλον, ἢ διδάσκειν, διατείνεθαι.

Ὁρᾶς ἔν ὅση παραφυλακῇ χρῆται, ἐφ' ᾧ μηδὲν τῷ Συμβόλῳ προσεθεῖναι. Καὶ τὴν μὲν τ. Συμβόλε ἔκθε- σιν ἐδαμῶς ἀπαγορεύει, τόγε μὴν ὖφος τὸ ἐκείνε, διδά- σκειν κατέχεθαι δεῖν. Ἀναμφιβόλως δὲ ὁ λόγος αὐτῷ

περὶ ἐκείνης τῆς παρεισφρησάσης Λατινικῆς προσθήκης· ὅτι καὶ τὸ ζήτημα τὸ περὶ τῆς τοῦ Ἁγίου Πνεύματος ἐκπορεύσεως, ἐν τοῖς ἐπ' ἐκείνου συνεκύρησε χρόνοις, καὶ ἐδέτις ἀνεφάνη ἑτέρα προσθήκη, ὡς εἴδομεν. Καὶ τοίνυν Παυλῖνος ἐν τούτοις, κατὰ τῶν αὐθαδῶς τινὶ κατάφασιν τοῦ ζητουμένου ἀσπαζομένων μηδ' ἐν τῷ Συμβόλῳ ἐμπαρεισάγειν αὐτὶ αἰδεμένων, ἔφερετο· Ἡ δὲ τῆς Συνόδου ταύτης τοσαύτη προφυλακὴ, τοῖς ὑπεναντίοις ἀνεπάρη οἵα τις ἄκανθα. Τί ἔν αὐτοῖ; διὰ τῆς συνήθους σφίσι ῥᾳδιουργίας, ἣν ἁπάντων μᾶλλον ἀνθρώπων ὤφθησαν ἐπασκήσαντες, καθάπερ ἐν οἰκείῳ τόπῳ εἰσόμεθα, ἐγκατέσπειραν τῷ Παυλίνῳ λόγῳ τὰ αὐτοῖς ἀρέσκοντα, καὶ ἐν πολεμίᾳ προσάτιν τοῦτον ἀνέπλασαν. Αὐτόθι καὶ γὰρ παρακατιὼν Παυλῖνος, ὥσπερ ἐπιληθεὶς ἑαυτοῦ, δι' ἐπαίνων ἄγει τὸν τινὶ φωνὶ καὶ ἐν τῷ Υἱῷ τῷ Συμβόλῳ ἐμπαραπλέξαντας· Ἔνθα καὶ τὸ Σύμβολον ὁλοχερῶς μετὰ τῆς προσθήκης ἀναγινώσκεται. Ἀλλὰ γὰρ μόνες ἐξαπατῆσαι ἔχον, τὰς τινὶ ῥίνα μὴ ἀπομύττοντας. Οὐ γὰρ ἔτως ἂν ἐφθέγξατο Παυλῖνος, εἴπερ ἐπὶ τοῦ αὐτοῦ λόγου τὸ τῆς προσθήκης δοκιμάσειν ἔμελλον. Ἀνακαλεῖ γὰρ τὸν τῶν Ἐφεσίων ὅρον, τὸν περὶ τοῦ μηδὲν χρῆναι τῷ Συμβόλῳ ἐπικαινοτομεῖν. Δριμέως τε ἀπαγορεύει τὸ προσιθάναι, ἢ ἀφαιρεῖν. Ἐπιτρέπων δὲ τινὶ τοῦ Συμβόλου ἀνάπλυξιν, (ἐκτὸς τοῦ Ὕφους δηλονότι·) αὐτὸ τὸ Ὕφος ἐθέλει ἀπαράτρωτον διασώζεσθαι.

Πῶς ἆρα τινὶ προσθήκιν δοκιμάζειν ἠδυνάτο; δι' αὐτῆς γὰρ τὸ ὕφος ἤδη παρατιτρώσκεται. Ἀλλὰ καὶ τί τὸ ἐπεῖγον ἰῶ, λόγον ἀναβαλέσθαι, περὶ τοῦ δεῖν ἀκέραιον τηρεῖσθαι τὸ Σύμβολον; Εἶπει γὰρ ἂν πολὺ πρότερον, ὅτι ἐχ ἔτω δέον τὸν Ἐφεσίων ὅρον νοεῖν, ὡς μηδὲ τὰ ἀληθοῦντα ἐξεῖναι τῷ Συμβόλῳ προσίθεσθαι· ὃν δὴ τρόπον ἁπάντων οἱ νῦν Λατῖνοι εἰώθασιν. Οὕτω γὰρ ἂν καὶ πρὸς τὰ ἐφεξῆς προωδοποίησεν εἰρησόμενα. Νῦν δὲ Παυλῖνος ἐνταῦθα, πρὸς ὃ ἀπόδων ἐτύγχανεν, αὐτὸς ἑαυτῷ τινὶ γέφυραν περιέτρεψεν. Ἐλέγχει γὰρ ἑαυτὸν καὶ ἄκων

ἔτω

ἔτω ψαλλόμενον, μὴ χρῖσμα φάσκων τὸς Πατέρας ὑπαιτιᾶσθαι, τὸς τῷ φωνῷ καὶ ἐκ τ. Υἱ. τῷ Συμβόλῳ προσπλάσαντας. Ἀλλὰ τίς ὁ τῆς Ἀπολογίας λόγος; Ἀμέλειοι, ἐπειδή τις ἀχρεῖος, τὰ ἀνωτέρω προσεχθέντα ἀνέγνω ῥήματα, σωεῖδε δὲ τῇ οἰκείᾳ δόξῃ αὐτὰ ἀντιβαίνοντα, ὅπερ ἂν αὐτῷ λέγειν προσήκοι, τῷ Παυλίνῳ φέρων ἐνέβαλε σόματι, κἀκεῖνον ἑαυτᾷ σήσας ἀντιμαχόμενον, ἀμνήμονά τε ἀπέδειξε καὶ ἐπιλήσμονα, ὡς ἄρα ὢν μετὰ ὑπερβαλλούσης σφοδρότητος προαπεφλώατο αὐτίκα ἐπιλαθόμενον, καὶ τότων τ' ἀναντία ἀποφθεγξάμενον. Τελευταῖον δὲ πλάτῃσι Παυλῖνον εἰρηκέναι, ὡς ἤδη τινὲς Πατέρες, ἐκ οἶδ' οἵτινες· τῷ Συμβόλῳ ἐκεῖνο πάλαι πρσέθεντο φθάσαντες. Ἀλλ' οἱ ἐξ Ἀκυϊσγράνῳ Λεγάτοι, μετὰ ενιαυτὸς εἴκοσι, ἀπὸ τῆς ἐν Φόρῳ-Ἰουλίῳ ταύτης Σινόδε, ἐν ᾗ Παυλῖνος προεδρεύων ἐτύγχανεν· αἰτέμενοι παρὰ Λέοντος τ. Γ'. ἵνα τῷ Συμβόλῳ κελεύσῃ προσεθεῖναι ἐκεῖνο, ἐκ ἔτυχον τῆς αἰτήσεως. Αὐτὸς γὰρ ὁ Λέων ἀπομνημονεύσας τὸν ἐν Ἐφέσῳ ὅρον, τῷ τοιαύτῳ ἀπείρηκε προθήκῳ εἰς αἰῶνα τὸν ἅπαντα, ὡς ἐφεξῆς ὀψόμεθα. Ἐντεῦθεν ἓν, ὃ διέλιπον καὶ ἄλλοι παρὰ Λατίνοις, οἱ τῇ καινοτόμῳ διδασκαλίᾳ ἀντιφερόμενοι· Ἀλλὰ τότων τινὰς μὲν ὕσερον παρασήσομεν, ὧδε δὲ κατὰ τῷ τάξιν τῶν πεπραγμένων καθεξῆς χωρῆσομεν.

Ὅπως μὲν ἓν τὰ τ. καινῆ δόγματος σπέρματα πρῶτον, ἔπειτα δὲ καὶ αὐτὸ δὴ τὸ δόγμα, τὸς Λατίνους ἀλλήλοις συμῤῥῆξεν, εἴρηται. Ἤδη δὲ ῥητέον, καὶ περὶ τῆς ἐν τῷ Συμβόλῳ προθήκης τ. αὐτ. δόγματος. Τοιγαρῆν ἐν Ἔτει 809. Παρὰ τῆς ἐν Ἀκυϊσγράνῳ Σινόδε, περὶ ἧς ἀνωτέρω ἐλέγετο· ἀποσαλέντες Λεγάτοι ἐς Ῥώμλιν, πρὸς Πάπαν Λέοντα τὸν Γ'. ἀφίκοντο, Βερνάρδος Ἐπίσκοπος Βορματίας, καὶ Ἰεσαΐ, ἄλλος Ἐπίσκοπος Ἀμβιανλιώσιος· καὶ Ἀδαλχάρδος Ἀββᾶς Κορβιλιώσιος· ὑπῆρχον δὲ ἔτοι ἐκ τῆς Φατρίας τῶν ἡμῖν ἀντιφερομένων· καλῶνται δὲ Ἀποσολάτορες τ. Κυρίε Καρόλε τ. Αὐτοκράτορες. Ἐξ ὧν δῆλον, ὅτι Κάρολος ὁ Μέγας, τῷ καινῷ

νῷ δόγματι ἐκείνῳ πιστῶν ἰῶ. Παραγενόμενοι τοίνυν, λόγον ἀνεζήσαντο πρῶτον, ἐν ᾧ ἀγωνίζονται καλασκευάσαι, ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ. Ἐκ μαρτυριῶν μόνοις γε, τῶν μὲν διαστρόφων, τῶν δὲ παρεφθαρμένων, ὡς προϊόσης τῆσδε τῆς πραγματείας ἐφεξῆς ἀποδείξομεν. Ὁ γὲν Πάπας, ὑπὸ τῶν ἐπιχειρημάτων τούτων ἐξαπατηθεὶς, (Ἔτι γὰρ ἐξ ἐκείνου δηλονότι, ἁμαρτάνειν οἱ Πάπαι ἠδύναντο·) συνέθετο τῷ δόγματι. Ἔπειτα προσλαλιὰ συγκροτεῖται περὶ τῆς ἐν τῷ Συμβόλῳ παρεισενεχθείσης προθήκης τοῦ καινοῦ δόγματος· Ὅπερ οἱ μὲν Λεγάτοι, ἐμπαρεισενεχθῆναι δεῖν διατείνονται· Ὁ δὲ Πάπας, ἀπόφησιν. Καὶ ἡ μὲν τῶν Λεγάτων πρὸς τὸν Πάπαν διένεξις αὕτη, ἄλις ἐκλυσὶς γέγονεν, ὁ δέτοι Πάπας ἐδόλως συνέθετο.

Μᾶλλον δὲ τῶν Λεγάτων εἰρηκότων, ὡς ἔστιν ὅπου τὸ Σύμβολον παράτισιν ἠύξηται, καὶ μετὰ τῆς ἐπαυξήσεως δημοσίᾳ ἄδεται· Ὁ Πάπας, τοῦτο μηδαμῶς αὐτοῦ ἐρωτηθέντος γενέσθαι, καὶ τοῦθ' ὅλως τινὶ προθήκῃ ἀπὸ τοῦ Συμβόλου ἐξοβελισέαν εἶναι, ἀπεκρίνατο. Καὶ ᾧδε μὲν ἡ προσλαλιὰ πέρας ἔσχεν. Ἡ δὲ Διάλεξις ἐκείνη συνεγράφη ὑπὸ Σμαράγδου, (*) παρεσιάζοντος ἐν αὐτῇ. Φέρεται δὲ καὶ παρὰ τῷ Βαρωνίῳ, ἐν Ἔτει 809. (**) Οὐδ' ἄλις ἔσχεν ὁ Πάπας Λέων, ἀπαγορεύσας τινὶ τοιάνδε προθήκῃ ἐκ τόματος· ἀλλὰ καὶ προφυλάττων εἰς τὸ διϊσχεῖς

(*) Σμάραγδος Ἀββᾶς Βιρδυνήνσιος, ἤνθει κατὰ τὸν Θ'. αἰῶνα, Ἔτει Χριστοῦ 810. καὶ ἐν αὐτῇ τῇ Συνόδῳ παρέσῃ, καὶ τὰ κατ' αὐτὴν διαπραχθέντα συγγραφῇ παρέδωκεν. Ὅρα Βαρώνιον Χρονικ. Τόμ. Θ'. Σελ. 602. καὶ Ἰάκωβον Σιρμόνδ. περὶ τῶν Γαλλικ. Συνόδ. Τόμ. Β'. Σελ. 256. καὶ Βέσσιον Διαλέξ. Γ'. περὶ τῶν Τριῶν Συμβόλων, §. 28. Τόμ. ς'. τῶν Συγγραμ. Σελ. 528.

(**) Ἐν τοῖς Χρονικοῖς Ἀριθμ. 53-63. Τόμ. Θ'. Σελ. 403. καὶ κατὰ Σεβηρῖνον Βίνιον, Τόμ. Γ'. τῶν Συνοδ. ἀπὸ Σελ. 449. Ἔτι δὲ καὶ ἐν τοῖς Χρονικ. τῆς τῶν Φράγκων Ἐκκλησ. Τόμ Ζ'. Σελ. 25. τῶν ὑπὸ Καρόλα (Le Cointe) ἐκδοθέντων. Καὶ ἐν τοῖς Συνοδ. Ἀρδεΐνε, Τόμ. Δ'. καὶ Τόμ. Ζ'. τῶν Συνοδ. Λαββέϊ, Σελ. 1199.

κὲς τὸ ἀκέραιον τὸ Συμβόλε, διατὲς ἀργυρέας Πίνακας ἐκέλευσε κατασκευασθῆναι, ὧν ἐν μὲν θατέρῳ Ἑλλησι, ἐν θατέρῳ δὲ Λατινισὶ τὸ Σύμβολον ἐνεχάραξεν, ἐπιπροθεὶς καὶ ἐπιγραφὴν, δι' ἧς λόγον ἀπεδίδε τὸ οἰκείε βελεύματος. Ἐνεπέγραψε γὰρ τοῖς Πίναξι: τάδε Λέων ἐθέμην, δι' ἀγάπην τε καὶ προφυλακὴν τῆς Ὀρθοδόξε Πίστεως. Μνείαν δὲ τῶν τοιότων πινάκων εἰσὶ ποιέμενοι Συγγραφεῖς Λατῖνοι τῶν παλαιοτέρων, Ἀνασάσιος ὁ Βιβλιοθηκάριος, ἐν βίῳ τὸ μνημονευθέντος Λέοντος. (*) Πέτρος Ἀβαηλάρδος· (**) Πέτρος Λομβάρδος· (***) Πέτρος δὲ ὁ Δαμιανὸς, (****) φησὶ τὸς εἰρημένες πίνακας ἔσγε καὶ ἐπ' αὐτῆ καθορᾶθαι, ὅς ἐπὶ τὸ ΙΑ'. Αἰῶνος ἀκμάζων σιωέγραφεν. Ἐμνήθη δὲ τῶν αὐτῶν καὶ Φώτιος, ἐν τῇ πρὸς τὸν Μητροπολίτιω Ἀκυληίας Ἐπιστολῇ. (†) Ἐμνήθησαν δὲ καὶ οἱ Γραικοὶ, ἐπὶ τῆς Σιωόδε τῆς Φλωρεντινῆς. Οὐδ' ἔξαρνοι γίνονται οἱ Νεώτεροι τῶν Λατίνων, Βαρώνιος Ἐτ. 809. Βελλαρμῖνος. (††) Σεβηρῖνος Βίνιος. (†††) Νικόλαος Κιχώυσκης Ἰησεῖτης Πολωνός. (††††) Καὶ ἵνα σιωελὼν εἴπω, ἀποφάσκοντι εἰς τόδε ἐνέτυχον ἐνὶ

(*) Ἐν τοῖς Βίοις τῶν Ρώμης Ποντιφίκων, τοῖς ὑπὸ Ἀνασασίε τε Βιβλιοθηκ. συγγεγραμμένοις, καὶ ὑπὸ Ἰωάν. Βιγνολίε ἐν Ῥώμῃ ἐκδεδομένοις, 1752. §. 84. Σελ. 297. Καὶ Μ. Α. Μαρατορ. ἐν τοῖς Συγγραφ. τῶν Ἰταλικ. Πραγμ. Τόμ. Γ'. ἀπὸ Σελ. 1.

(**) Βιβλ. Β'. τῆς εἰς τὸ Θεολογ. Εἰσαγωγ. Κεφ. ΙΔ'. τῶν Συγγραμ. τῆς Ἐκδόσ. τῶν Παρισ. 1616. Σελ. 1089. καὶ ἐν ταῖς Ἐδμ. (Martene) Ἀνεκδότ. θέσεσι, Τόμ. Ε'.

(***) Ἐν τῷ Α'. Βιβλ. τῶν Ἀποφάνσεων, Κεφ. ΙΑ'. τῆς ἐν Κολων. Ἐκδόσ. Ἔτα 1576.

(****) Ἐν Πονηματίῳ ΛΗ'. τῷ περὶ τῆς Ἐκπορεύσ. Κεφ. Β'. Τόμ. Γ'. τῆς ἐν Παρισ. Ἐκδόσ. 1743. Σελ. 329.

(†) Ταύτιω τιμῶ Φωτίε Ἐπιστολ. ἐξέδοτο Ἑλλιω. καὶ Λατιν. Φραγκίσκος Κομβεφίσ. ἐν τῷ Ἑβδόμῳ Αὐξητηρίῳ τῆς Βιβλιοθ. τῶν Γραικῶν Πατέρ Τόμ. Α'. Σελ. 527.

(††) Βιβλ. Β'. περὶ τὸ Χριστὸ, Κεφ. ΚΖ'.

(†††) Ἐν τῷ Γ'. Τόμ. τῶν Συνοδικ.

(††††) Ἐν τῷ κατ' αὐτὸν Βήματι, Σελ. 321.

οὐ μηδενί. Ὁ δὲ πρῶτον ἀνενεχθεὶς ὧδε Ἀναστάσιος, ἔτω βεβαίαν ποιεῖται τὴν περὶ αὐτῶν Ἱστορίαν, ὡς καὶ τὸν ταθμὸν τῶν Πινάκων αὐτῶν ἐκφέρειν αὐτόσε, Σελ. 298. Ἔλκειν γὰρ αὐτὸς, φησὶ, λίτρας 94. καὶ Οὐγκίας Ἀργυρίᾳ 6. Ἀπηώρηντο δ' οἱ Πίνακες ἔτοι οὐ τῷ Ναῷ τῆ Ἁγίᾳ Πέτρᾳ, ἀνώπιον τῆς τῶν λειψάνων τῆ Ἁγίᾳ Παύλᾳ τραπέζης, ὥστινες τῶν ἀνενεχθέντων Συγγραφέων διεξίασιν. Ἀναμφισβήτητος ἄρα ἐστὶν ἡ Ἱστορία αὕτη, καὶ Λατίνων αὐτῶν ἑκόντων ὁμολογέντων. Ἀλλὰ μικρὸν ὦδε σιῶμεν δέον, καὶ ἀκῆσαι, τί δήποτε πρὸς τῆτο ἐκείνων τινὲς ἀποκρίνονται.

Βαρώνιος ἄνθρα ἀνωτέρω, πεποιηκόταν τόδε φησὶ Λέοντα, ἀμωμόμενον τὲς ἐπιχειρεῖν τι θρασυνομένες, ἄνευ ἀδείας τῆς παρὰ τῆς καθέδρας τῆς Ἀποστολικῆς. Ἀλλὰ μάταιος ἐστί. Πρὸς γὰρ τὲς ἐξ Ἀκυϊσγράνε Λεγάτες διαλεγόμενος ὁ Πάπας, μόνιν αἰτίαν προβάλλεται, ἧς ἕνεκα τῷ προθήκῃ ἀπαγορεύει, τὸ Ἐφεσίων θέσπισμα. Περὶ δὲ συγκαταθέσεως τῆς Ἀποστολικῆς Καθέδρας, ἐδὲν ἐδὲ γρύ. Μᾶλλον δὲ καὶ τεναντίον, ἔπερ ὁ Βαρώνιος, περὶ τὸ τέλος τῆς ῥηθείσης προσδιαλέξεως ὁ Πάπας ἐπάγει: » εἰ γὰρ διηρωτήθη πρὶν ἔτως ἄδεθαι, τὸ μὴ τῷ προθήκῃ » παρεισενεχθῆναι πάντως ἀπεκρινάμην ἄν. Ὥστε καὶ εἰ πρὸ τῆ προδεῖναι ἠτέντο τῷ συγκατάνευσιν, ἐδὲ ἂν ἤτεν ὑπὸ τῆ Πάπα ἡ προθήκη αὐτοῖς ἀπηγόρευτο. Εἶτα πρόδηλον ὁ Λέων αὐτὸς, διὰ τῆς ῥηθείσης Ἐπιγραφῆς, πρόδηλον, φημὶ, τῷ αἰτίαν ἔσησεν, ὡς τῆτο ἄρα διαπεπραγμένος εἴη πρὸς Φυλακῇ τῆς ὀρθοδόξε πίσεως καὶ ἀσφάλειαν. Τῷάλλως τοίνυν αἰτίαν ἄλλῃ ἀναπλάσας φαίνεται ἡμῖν ὁ Βαρώνιος.

Βελλαρμῖνος δὲ ἐπὶ τῆ προσενεχθέντος χωρίε, ἀναπλάττει τι ἕτερον. Βεληθῆναι γάρ, φησὶ, Λέοντα, τῷ ἐν Κωνσταντινεπόλει Συμβόλῳ τὸ γέρας ἐνδιασώσασθαι, να μὴ νομίσωσιν οἱ Γραικοὶ, ὅτι διὰ τῆς προθήκης, καινῆ τινος οἷον γενομένε Συμβόλε, τὸ παλαιὸν ἐκεῖνο, τὸ ἄνευ τῆς προθήκης, καθήργηται καὶ ἠθέτηται. Ἀλλὰ καὶ

καὶ αὐτὸς ἄτοπος, ἐκ τῶν προσεχθέντων λόγων ἐλέγχεται ὤν· Τέως δ' ὁ βουλόμενος ἀναγνώτω τοῦτο προσαποδοθεῖσαν Διάλεξιν· Ταύτην γὰρ, ὡς δικαιοτέραν ἦσαν, ὧδε παραθέσθαι ἐκρίναμεν.

Νικόλαος δὲ ὁ Κιχώυσκης, σωιδὼν τὰς προτέρας τῶν ὁμοφρονούντων αὐτῷ ἀπαντήσεις, λήρους ἄντικρυς ὄσας, ἑτέραν αὐτὸς προσεπιπλάσασθαι ἠγωνίσατο. Καλὰ δικαίαν τινὰ πλοίαν λέγων τοῦτο ποιῆσαι Λέοντα, ὡς ἂν μὴ, ὃν τρόπον οἱ Γάλλοι τοῖς Γραικοῖς συζητοῦντες, καὶ τῷ οἰκείῳ ζηλοῦντες δόγματι, τῷ καὶ ἐκ τοῦ Υἱοῦ φωνῷ, τῷ Συμβόλῳ προσέθηκαν· τὸν αὐτὸν ἀνάπαλιν οἱ Γραικοὶ, καλὰ ζῆλον ὁμοίως τοῦ σφῶν αὐτῶν δόγματος, τῷ φωνῷ προσάψωνται τῷ ἐκ μόνου. Ἀλλὰ ταῦτα ἔτι καὶ μᾶλλον, ἢ τὰ πρὸ τούτων, ἐσὶ καταγέλαστα. Καὶ γὰρ, καὶ τῷ ἦσαν Ἰσορίαν ἔτος ἔοικεν ἀγνοεῖν, καὶ Ἰσορίαν μὴ ἦσαν πρὸς τὸ δοκεῖν ἀναπλάττειν. Οὐ γὰρ τὸ τοιοῦτον πρὸς Γραικοὺς διωνέχθησαν οἱ Λατῖνοι, ἔπω τῆς Φήμης ἤδη ἐπὶ τοὺς Γραικοὺς διαπλάσης. Παρεκλὸς δὲ τοῦτο, καὶ οἱ πολλάκις μνημονευθέντες Λεγάτοι, ἐν τοῖς ἄλλοις, οἷς ἀντιφερόμενοι πρὸς Λέοντα πρέβαλλοντο λόγοις, καὶ τόνδε ὑπὲρ τῆς προσθήκης παρῆγον, ὅτι τὸ Σύμβολον ἤδη μετὰ τῆς προσθήκης ὑπ' ἐνίων προσήδετο. Οὐδεμίαν δὲ ὅλως μνείαν ἐποιήσαντο περὶ Γραικῶν· [ἔτ' αὐτοὶ, ἔθ' ὁ Πάπας.] Τελευταῖον δὲ ἅπασα ἐκείνη ἡ τῶν Λεγάτων μετὰ τοῦ Λέοντος πρᾶξις, τηλαυγέσατα ἀπελέγχει τὰ Νικολάου, καὶ Βελλαρμίνου, καὶ Βαρωνίου ταῦτα Σοφίσματα.

Ὅσον δὲ ἡ Ἰσορία αὕτη τῇ Λατίνων ὑποθέσει προσίσταται, κἂν ἐκ τούτων καλάθηλον εἴη πρὸς ἅπερ αὐτοὶ καταφεύγουσιν. Ἑώρων μὲν γὰρ τὸν Πάπαν, τοσαύτην ἀνειληφότα ἀσθένειαν, ὥσε προσθήκης ἀπηλαγμένον ἅπασης τὸ Σύμβολον διασώζεσθαι· καὶ μὴν ἔπειτα, τῇ τε προσθήκῃ παρεισρυῆναι, καὶ ὑπὸ ἄλλων Πάπων προσεπικυρωθῆναι. Σωεώρων δ' ἀντεῦθεν, καὶ τὸ τῆς προσθήκης κακῶς διαπραχθὲν, καὶ τὴν αὐθεντίαν τῷ Πάπᾳ

ἔτω

ἔτω διακλονιζομένῳ, οἵαν μάλιστα νῦν αὐτῷ τῇ τραχήλῃ ἀπήρτησαν, ὅτι δῆθεν, ἐν οἷς ἀποφαίνοιτο, ἐδ' ἂν ἐθέλοι ἁμαρτῆσαι δυνήσεται. Τοῦτο γὰρ σιωπῶρακότες τινὲς Λατίνων, (οἷον οἱ προκαταλεχθέντες·) ἐπὶ τὰ σιωπηθέντα αὐτοῖς σοφίσματα προσκατέφυγον· δι' ὧν ἔμπης ἐδὲν ἀπώναντο, εἰμὴ ὅτι, δημοσίᾳ τὰς σφῶν ἀτυχίας καλεθριάμβευσαν, καὶ τιὰ ἰδίαν αὐτῶν ὑπόθεσιν προδεδώκασιν.

Καὶκεῖνο δὲ εἰδέναι ὡς λίαν ἄξιον. Ὅτι τὰ Πρακτικὰ τῆς ἐν Ἀκυϊσγράνῳ Συνόδε ἐκείνης πάντη ἀπώλετο. Μόνε τε τίτλε τέτε, μόνε φημὶ τε ὀνόματος, ὑπολειφθέντος ἄνευ τε πράγματος· Σινόδος ἡ ἐν Ἀκυϊσγράνῳ, περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθείσης φωνῆς, καὶ ἐκ τε Ὑιὲ τελεθεῖσα ἐν Ἔτει 809. ἐπὶ Λέοντος Πάπα τε Γ'. τοσῶτον, καὶ πλέον ἐδέν. Ἀλλὰ τῆς Συνόδε ἐκείνης, ὡς μεγάλης τινὸς γενομένης, οἱ Συγγραφεῖς ἐπεμνήθησαν· τῷ ὄντι δὲ περὶ μεγάλε τινὸς αἱ συζητήσεις ἐκεῖ συγκεκρότιντο. Πῶς ἔν ἔτως ἀρθρω ἀφανισθῆναι ἔχει, ὡς, παρεκλὸς τε τίτλε, μηδὲ κεραίαν ἐγκαταλειφθῆναι τὸ σινόλον; ἧπε τῆς τῶν καινοτόμων ἀκολασίας ὧδε ἐστὶν ἐποσφρήναθαι. Ἤτοι γὰρ αὐτοὶ, οἱ ἐν τῇ Συνόδῳ τε καινε δόγματος προϊξάμενοι, τῇ μὲν εὐφυΐᾳ καὶ δεξιότητι τῶν ἀντιφρονέντων ὀφθέντες ἥττονες, τῇ δὲ δυνάμει καὶ ἐξουσίᾳ (προσεπιχαριζομένε μάλιστα αὐτοῖς καὶ τε Βασιλέως Καρόλε·) ὑπερφέροντες, τὰ πρακτικὰ τῆς Συνόδε αὐτίκα τότε λήθης βυθοῖς σιωσκάλυψαν· ἢ γὰρ μετ' ὀλὺ ἄλλοι, ἀνοήτῳ ζήλῳ παραφερόμενοι, τῦτο ἐποίησαν, ὁρῶντες ἔνια τῶν ἐν ταῖς ἐκεῖ προσδιαλέξεσι προτεθέντων, τῇ σφῶν αὐτῶν δόξῃ τὰ μέγιστα προσλυμαίνεθαι. Πάντως δὲ, εἰ τὰ πρακτικὰ ἐκεῖνα καθ' ἡμᾶς διεσώζετο, πλεῖστα ἂν ἐξ αὐτῶν περὶ τῆς τε δόγματος καινοτομίας, καὶ περὶ τε βάρες τῶν ἑκατέρωθεν ἐπιχειρημάτων, καὶ μὲν δὴ, καὶ περὶ πολλῶν ἄλλων, τῶν τῇ προκειμένῃ ζάσει προσανηκόντων, παρατηρηθῆναι ἔσχε καὶ συμπεραίνεθαι. Ὅ ποτε καὶ ἔτως, ἔκλε τε

τῶν

τῶν Λεγάτων λόγε, καὶ δὴ καὶ ἐκ τῆς τότων μετὰ τὸ Πάπα προσδιαλέξεως, ὀκ ὀλίγα πάρεσι παρατηρεῖν. Ἀμέλειτοι, ὃ προεῖδον οἱ Λεγάτοι ἐκεῖνοι (ἐν πανεργίᾳ καίτοι διαπραττόμενοι τὰ τῆς πρεσβείας, ἀλλ' ἥπερ ἡμιβάρβαροι τυγχάνοντες, καὶ λαλεῖν ἀπερίσκεπτοι·) ἐχὶ προεῖδον, φημὶ, ὅτι τινὰ τῶν αὐτοῖς εἰρημένων, τῇ ὑποθέσει τῇ αὐτῶν λυμανεῖσθαι ἔμελλεν. Εἶπον γὰρ, ὡς ἡ ζήτησις αὕτη ἀρτίως προέκυψεν· Ὅτι θησαυρὸς οἷος ἐλάνθανε· καὶ τὰ λοιπά. Ὅθεν ἀσφαλέστατον κατέλιπον ἡμῖν τεκμήριον τῆς καινοτομίας τὸ δόγματος, καὶ ὅτι πρὸ ἐκείνε αὐτὸ, καὶ παρὰ Λατίνοις, ἀνήκεσον ἰῶ· καὶ ὅτι τὰ ἀρχαιότερα τῶ κατ' ἐκεῖνο χρόνε Συγγράμματα, ἐν οἷσπερ σωεχῶς προτείνεται ἡ τῆ Ἁγίε πνεύματος Ἐκπόρευσις καὶ ἐκ τῆ Υἱῆ, ὅλως παρέφθαρται. τῆθ' ὃ μάλισα προσεμπεδοῖ, καὶ ἡ τῆ Λέοντος, περὶ τῆ μηδὲν ὅλως προσιθέναι δεῖν, προφυλακή τε καὶ ἀπαγόρευσις. Ἃ δὴ καλῶς παρασημειωτέα, καὶ ἐπαναμνησέας ὁσάκις, αἱ παρὰ Λατίνων ὑπὲρ ἑαυτῶν ἐπαγόμεναι ἐκ τῶν Ἀρχαίων μαρτυρίαι, ἀνεξετάζονται.

Σαφὲς τοίνυν ἡμῖν κατέση, ὅτι τὸ Λατίνων δόγμα, ἄχρι τῆς ἐν Ἀκυϊσγράνῳ Συνόδε, αὐτοῖς Λατίνοις ξένον ἰῶ, καὶ τότε πρῶτον ὑπὸ ζητήσει γενόμενον· (ἀναφερομένης κατὰ τὸ αὐτὸ τῆ χρόνε καὶ τῆς ὑπὸ Παυλίνε συγκροτηθείσης Συνόδε, ἥτις πρὸ ἐνιαυτῶν ἤδη ἐκ ὀλίγων τετέλεσο·) καὶ ὅτι τέως, τῆ Λέοντος μάλισα ἐξαπατηθέντος, μείζονος ἔτι πίσεως τὸ τοιόνδε δόγμα παρὰ τῷ χύδιν ὄχλῳ ἠξίωται. Ἀλλὰ τὸ τῆς προθήκης ἀνενεκλέον ἔτι ἐπὶ χρόνον τὸν ἔπειτα, καίτοιγε ὅτε αὐτὴ εἰς τὸ Σύμβολον εἰσερρύη, καὶ τίνος ἐξάρξαντος, τῶν πάντη ἀβεβαίων ἐσίν. Ἀλλ' ἀκεσώμεθα, τί δήποτε κοινῇ οἱ Λατῖνοι ὑποβρενθύονται.

Ἀντώνιος ὁ Φλωρεντίας Ἀρχιεπίσκοπος (*) τὶν προθήκιν ταύτιν παρνεισαχθῖσαι φησὶ τῷ Συμβόλῳ, ἐχὶ παρ'

(*) Ἐν τῇ Ἱσορίᾳ, ἢ ἐν τῷ πονήματι τῶν αὐτῆ χρονικῶν. Μέρ. Γ', Τίτλ. ΚΒ'. Κεφ. ΙΓ'. §. ιγ'. τῆς ἐν Λεγδίν. Ἐκδόσ. 1512.

παρ' ἄλλε, ἀλλ' ἤτοι παρὰ τῦ Πάπα, ἢ παρὰ Σινόδε τινός· Θωμᾶς δὲ ὁ ἀπὸ τῦ Ἰησῦ (*) παρὰ τῦ Πάπα, φησὶν, ἐν μεγάλῃ τινὶ Σινόδῳ. Οὕπω δὲ δῆλον εἶναι, παρ' ὅτε δὴ Πάπα, καὶ παρά τίνος Σινόδε. Ὁ δὲ Ῥόδε Ἀνδρέας, ὁ ἐν Φερράρίᾳ ὑπὲρ Λατίνων διαλεγόμενος ἐν τῇ Σινόδῳ, διέξεισι τὰ παραπλήσια. (**)

Ἀλλ' ἀνθρώπων ἁπάντων ματαιότατοι εἰσίν. Διατὶ γὰρ ἐχὶ τὸν Πάπαν, ἐχὶ τινὶ Σινόδον τινὶ μεγάλιν ἐκείνιν, ἀπαγγεῖλαι ἔχουσιν ἐξ ὀνόματος; Ἄντε γὰρ Πάπας, (ἧ μεῖζον ἐδὲν παρ' αὐτοῖς.) ἄντε Σινόδος μεγάλη τῦτο εἰργάσατο, ἵνατὶ πάντα ἀνώνυμα; Τί δ' ὅτι ἔθ' ὁ τόπος, ἔθ' ὁ χρόνος γινώσκεται; Σκοταῖον τόδε σκοτίων ἀνθρώπων τὸ φάντασμα. Τῆς μὲν γὰρ ἐν Ἀκυϊσγράνῳ Σινόδε, ὅτι τυχὸν αὐτοῖς ἐ προσίσατο, ἢ ἐδὲ πάνυτι αὐτοῖς σινετέλει, περίεσι γῆν τἔνομα. Ἡ δὲ μεγάλη αὕτη σινάμα τῷ Πάπα Σινόδος, ἣν ὡς θυρεὸν ἑαυτοῖς προσαναπλάττουσιν, ἔθ' ὀνομαθῖναι ἔχει. Ἢ τίνος χάριν, ἐχί τινα τελάχιστον παρήγαγον ἀρχαιότερον Συγγραφέα, (καὶ γὰρ ἔτοι τῶν νεωτέρων εἰσίν·) Ἐξ ἧ, περὶ τῆς μεγάλης ἐκείνης, καίπερ ἀνωνύμε Σινόδε κατέμαθον; Ὁρᾶς ψιλὲς ὀνείρες. Παρὰ ταῦτα δὲ, ὁ μνημονευθεὶς Ἀνδρέας, ἔτι αὐθαδέστερον ψεύδεται, ἐπὶ τῆς, καλὰ Φλωρεντίαν, ἢ Φερράρίαν, Σινόδε, Ζ'. Σινελεύσεως. Φησὶ γὰρ, ὅτι τὸ Σύμβολον μετὰ τῆς προθήκης, ἐν τῇ Ῥωμαϊκῇ προσήδετο Ἐκκλησίᾳ, ἐξ ἔτι τῶν τὲ Ἱερὲ Μαξίμε χρόνων· καὶ ὅτι περὶ τότε ὁ Ἱερὸς Μάξιμος ἀπολογηθῆναι πρὸς Γραικὲς ἐνεχήσατο. Ἀλλὰ Λέων ὁ Γ', ἀλλ' οἱ τῦ Λέοντος Πίνακες, τὸ Ἀνδρέε σόμα ἐμφατίσουσιν. Ἐφ' οἷς, ἐδὲ ἄδεσθαι τὸ Σύμβολον, ἀναγινώσκεσθαι δὲ κατὰ τινὶ

(*) Ἐν τῇ κατ' αὐτὸν Ἐπιστροφῇ τῶν Ἐθνικῶν. Μέρ. Α'. Κεφ. ε'. Τίτλ. Γ'. Ὁ δὲ Θωμᾶς ἦτος ὁ ἀπὸ Ἰησῦ, Καρμηλίτης ἰῶ Ἰσπανὸς, Προεσὼς ἐν Κατιλίᾳ· τελευτήσας Ἔτ. 1627. Περὶ ἧ μέτιδι Ἰοηχήρε (Cetebvten) Λεξικὸν ἐν τῇ Λίξει Ἰησῦ.

(**) Ὅρα τὰ τῆς ἐν Φλωρεντ. Συνόδ. Πρακτ. Συνελ. Ζ'. Σελ. 427. Τόμ. Δ'. Σεβηρίνε Βινίκ.

τῷ Ῥωμαίων Ἐκκλησίαν συνήθες ἦν, ὡς αὐτὸς μαρτυρεῖ ὁ Λέων, ἐν τῇ μνημονευθείσῃ προσδιαλέξει, πρὸς τοὺς ἐξ Ἀκυϊτανίας Λεγατεύσαντας. Ἀλλ' ὁ Ἀνδρέας ᾤετο παραπλησίως οἱ αὐτῷ ἐσομένους τοὺς χρόνους ἅπαντας. Ὁ δὲ καὶ τῷ Ἱερῷ προσανήκει Μαξίμῳ, ληρεῖ καὶ τοῦτο ὁ Ῥόδιος· ἐ γὰρ τινικαῦτα περὶ τοῦ τῇ προσθήκῃ ἐπαυξηθέντος Συμβόλου ἡ αἰτία, περὶ δὲ τοῦ δόγματος ἡ ὑπονοία, παρὰ Γραικοῖς οἱ Λατῖνοι ἐγένοντο· Ἥτε τοῦ Μαξίμου ἀπολογία, ὑπὲρ ἡμῶν ἵσταται καὶ αὐτή, ὡς δῆλον ἐγένετο.

Ἔστιν ἀλλ' ἔν καὶ ταύτης θρασυτέρατις ἄλλη ἀναίδεια. Μανουὴλ γὰρ ὁ Καλέκας, καὶ Ἰωσὴφ ὁ Μεθώνης, Γραικοὶ μὲν αὐτοί, ἀλλ' ἐπὶ τοὺς Λατίνων παρεμβολὰς ἀποκλίναντες, καὶ τοῦ ἐκείνων δόγματος προφάντες. Ἔτι δὲ Γενεβράρδος, (Λατῖνος ἔτος) Δάμασον, φασὶ, τὸν Πάπαν, ἔτι ἀπὸ τοῦ Δ'. αἰῶνος, σὺθεῖναι τῷ Συμβόλῳ τὸν φωνὶν, καὶ ἐκ τοῦ Υἱοῦ· Τοῦτο δὲ μάρτυρα, Καλέκας μὲν, (*) Σκυλίτζην ἐκ οἷου ὄντινα παράγει· Ἰωσὴφ δὲ, (**) Γεώργιον τὸν Ἀριστινόν· Ὁ δὲ Γενεβράρδος, (***) τὸν Ἀριστη-

(*) Μανουὴλ ὁ Καλέκας Βιβλ. Δ' συνετάξατο, κατὰ τῶν κακοδοξιῶν τῶν Γραικῶν, περὶ τῆς Ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, ἑλληνιστί· Ἃ Λατινιστὶ μόνον ὑπὸ Ἀμβροσίου τοῦ Καμαλδολλινσίου ἑρμηνευθέντα ἐξέδωκεν ἐκ τοῦ Κώδικος τοῦ Βαβαρικοῦ, Πέτρος ὁ Στεβάρτιος μετὰ Σημειώσεων, ἐν Ἰγγολσαδ. Ἔτ. 1616. 4. Ἐμφέρεται δὲ τὰ τοιαῦτα Βιβλία, καὶ ἐν τῇ Μεγίστῃ Βιβλιοθ. τῶν Πατέρων ἐν Λυγδ. Τόμ. κς'. Σελ. 383. Τὸ δὲ ὧδε ἐπενεχθὲν παρὰ τοῦ Συγγραφέως χωρίον, κεῖται αὐτ. Βιβλ. Δ'. Σελ. 446.

(**) Ἰωσὴφ ὁ Μεθώνης Ἀπολογίαν συνέγραψεν ὑπὲρ τῆς Φλωρεντ. Συνόδου καλὰ Μάρκου τοῦ Ἐφεσίου, ἥτις ἐ μόνον ἐν τοῖς Πρακτ. τῆς ἐν Φλωρ. Συνόδ. ὑποσυνήπται, ἀλλὰ καὶ Γραικολατινιστὶ ἐκδέδοται, Τόμ. ΙΓ'. τῶν Συνοδ. Λαββέκ, καὶ Τόμ. Θ'. Ἀρδουΐν. Ἐνταῦθα ἓν εὐθὺς ἀπὸ τῆς Β'. Συνόδου, ὑπὸ τοῦ Πάπα Δαμάσου, τῷ Συμβόλῳ προστεθῆναι τὸν καὶ ἐκ τοῦ Υἱοῦ φησι, Σελ. 556. Ἐκ τῆς Συλλογ. τῶν Ἀρδουΐν. Συνοδ. Τόμ. Θ'.

(***) Βιβλ. Γ'. περὶ Τριάδ. Σελ. 205. τῆς Παρισιακ. Ἐκδόσ. Ἔτ. 1569.

Ἀριστωνὸν Ἀλέξιον. Ἀλλ' ὁ περὶ τινὼ εἰς τόδε παραδοθεῖσαν Ἱστορίαν λῆρος ἔτος, οἷα τις πάχνη βολαῖς Ἠλίᾳ ἐκτήκεταί τε καὶ οἴχεται. Πῶς γὰρ περὶ τινὼ Η'. μόνον Ἑκατονταετηρίδα, ἡ περὶ τότε τέως ἔρις ἀνακεκίνηται; Τί δ' ἦν τὸ ἀναγκάσαν τὸν Ἱερὸν Μάξιμον ἐπιχειρῆσαι τὰς περὶ Λατίνες ὑποψίας ἀποσκεδάσασθαι; Καὶ ἵνα τί δὴ, οἱ ἐξ Ἀκυϊσγράνε Λεγάτοι, τὸ περὶ τῆ Δόγματος τότε ζήτημα νεαρὸν ἀπεκάλεν; Διατὶ δὲ καὶ τῷ Πάπᾳ πείθειν πειρώμενοι τινὼ προθήκιν ἐπιτρέψαι, ἐχὶ καὶ τὸν ταύτης Ἀρχηγὸν παρήγαγον Δάμασον; Ἀμέλειτοι, ἔτως ἀβλεπῶν ἰὼ Λέων ὁ Γ'. ὡς τινὼ προθήκιν ἀγνοεῖν, ἣν πρὸ αὐτῆ Φθάσας ἐπεποιήκει ὁ Προκάτοχος· Τελευταῖον δὲ, καὶ τί κατήπειγε περὶ τῆς τῆ Συμβόλε συζητεῖν προθήκης, εἰ πρὸ τετρακοσίων ἤδη χρόνων ἡ προθήκη προεισενλύκλο; Εἰς τί δὲ, καὶ ἡ τῆ Λέοντος σωτέτευκε ἀπαγόρευσις; Τίς δ' ἄρα καὶ ἡ τῶν Πινάκων λυσιτέλεια; Διατὶ δὲ, καὶ ἑδνές ἄλλοι ἐκ τῶν λοιπῶν Λατίνων τῆ τοιότε μάρτυρες ἀπομνημονεύονται, ὅτι μὴ εἶστε καὶ μόνος παρὰ δύο Γραικύλλων, καὶ παρ' ἑνὸς νεωτέρε Λατίνε, καὶ ἔτος ὑπὸ διαφέροντι τῷ ὀνόματι; Ἀγωνιζέσθωσαν δὴ, καὶ ἰδρῶτι περιῤῥεέσθωσαν, ὅσῳ δ' ἂν καὶ βέλοιντο· ἐκ ἂν ἐδ' αὐτὲς μόνες σωτρίψαιεν τὲς τῆ Λέοντος Πίνακας· Ταύτητοι καὶ ὁ Ἰησεῖτης Πετάβιος (*) τὲς τὸ τοιῆτο διατεινομένες, ὡς ψευδολογῆντας, ἀπήλεγξεν. (**)

Ὥσπερ ἓν πάλαι οἱ καλὰ τῆς ἐν Χαλκηδόνι Φερόμενοι Συνόδε, παρὰ τὸ μηδένα παρισᾶν βέβαιον ἡγεμόνα τῆς δόξης

(*) Βιβλ. Ζ'. περὶ Τριάδος, Κεφ. Β'. §. 1. 2.

(**) Ἔτι δ' εἰσί τινες, οἱ τινὼ ἐν τῷ Συμβόλῳ φωνὴν, καὶ ἐκ τῆ Υἱῆ, πρῶτον ὑπὸ τῶν Ἱσπανῶν, ἐν τῇ κατὰ Τολῆτον τρίτῃ Συνόδῳ, Ἔτει 589. Προτεθεῖναι· Ἔπειτα παρὰ τῶν Γάλλων ἐν Συνόδῳ τυχὸν τῇ Γεντιλιακῇ, Ἔτει 767. Τινὼ αὐτινὼ ἐπιτελεθῆναι διατείνοντας. Ἥτις δὴ δόξα, ὡς ὑπὸ τῆ Συγγραφέως ὧδε παραλειφθεῖσα, ἐν τοῖς ἄλλων Συγγράμμασι ζητητέα· μάλιστα δὲ παρὰ Γεωργίῳ Βαλχίῳ, ἐν τῇ Ἱστορίᾳ τῆ Ζητήματος, τῆ περὶ τῆς ἐκπορεύσεως τῆ Ἁγίε Πνεύματος, τῇ ἐκδοθείσῃ ἐν Ἰένῃ 1751, Κεφ. Α'. §. Ε'. καὶ ς'.

δόξης αὐτοῖς γενόμενον, Ἀκέφαλοι (οἷα δὴ κεφαλῆς ἀμοιρῆντες) ἤκεσαν· Οὕτω δὴ καὶ περὶ τοῦτο Λατῖνοι, (καὶν ἄλλως ἐπὶ μόνῃ τῇ ὁρατῇ κεφαλῇ ἐκείνῃ τὰ μέγιστα προσεπικομπάζεσιν·) Ἀκέφαλοι εἰσὶν ὀνομάζεσθαι δίκαιοι. Ἐξευρεῖν γὰρ τὸν Ἀρχηγὸν τῆς προσθήκης ἔχ οἷοντε. Καί τοιγε ἐκ τούτε, ὅπως αὐτοῖς ἔχε τὸ πρᾶγμα, ῥᾴδιον εἰσβαλεῖν. ἦπε γὰρ ἡ τῶν Ἐπισκόπων ἀπαιδευσία τε καὶ νωθεία πρὸ πάντων ὑπῆρξε παραίτιος. Ἔπειτα δὲ, καὶ ἡ Καρόλε δυνάμις, ἓ τῇ εὐνοίᾳ παρεισέδυσαν, οἱ τοῦ τε δόγματος, καὶ τῆς προσθήκης ὑπεραμυνόντες. Ἐν δὲ τῷ Καρόλε Παλατίῳ, τὸ Σύμβολον τλὼ καῦτα μετὰ τῆς Προσθήκης ᾀδόμενον ἰῶ, ὡς μαρτυρεῖσιν οἱ ἐξ Ἀκυϊσγράνε Λεγάτοι, ἐν τῇ εἰρημένῃ προσδιαλέξει. Καίτοι δὲ Λέων, ἀπανταχόθεν τλὼ προσθήκλω, καὶ ἐξ αὐτοῦ δὲ τοῦ παλατίε τοῦ Καρόλε ἀποβλητέαν εἶναι ἐκέλδυσεν, ὡς δῆλον ἐκ τῆς αὐτῆς Διαλέξεως· ἐδὲν ἀλλ' ἓν τὸ ἐκείνε οἶμαι ἰσχύσαι βέλημα, ἔτε ἐν τῇ Αὐλῇ, ἔτε παρὰ τοῖς Αὐλικοῖς Ἐπισκόποις, τοῖς τὰς ἐν ὑπεροχῇ δυνάμεως διαθωπεύσασι. Τυχὸν δὲ, καὶ οἷον ἐκεῖνο ἰῶ, ἐπανιόντες οἱ Λεγάτοι ἐπίτηδες σιωπεκάλυψαν, ὡς δὴ τοσοῦτον περὶ τλὼ τοῦ Συμβόλε προσθήκλω σπεδάσαντες. Ἐντεῦθεν ἓν αὖτη, ἀνά τε Γερμανίαν, καὶ Γαλλίαν, ἕρπειν ἤρξατο· ἐδὲ δυχερὲς ἰῶ ἔπειτα, καὶ ἐπ' Ἰταλίας αὐτῆς ἐπιχωριάσαι, νωχελδομένων τῶν Ἐπισκόπων, καὶ ῥεγχόντων ὕπλιον.

Ἀλλὰ γὰρ ἐπ' ὠιαυτὲς τινὰς ἐ διέλιπον παρὰ Λατίνοις, οἱ καὶ τῷ Δόγματι, καὶ τῇ προσθήκῃ, ἀντιφερόμενοι. Παρίσησι δὲ τότε μάρτυρας Ἀδὰμ ὁ Ζοιρνικάβιος Ἄυμωνα Ἐπίσκοπον Ἀλβερσαδλώσιον, τὸν παρ' Ἀλκεΐνῳ μαθητδσαντα· Καὶ Ῥαβάνον Μαῦρον, καὶ Σμάραγδον, οἵ γεγόνασι κατ' ἐκεῖνο συγγράφοντες. Οὗτοι γὰρ, ἐν τοῖς παρ' ἐκείνῳ προβαλλομένοις χωρίοις, περὶ τῆς τὸ Ἁγίε Πνεύματος ἀναφέροντες ἐκπορεύσεως, τῷ μὲν Πατρὶ ταύτλω ἀνάγεσι, περὶ δὲ τὸ Υἱὸ σιγῶσι. Διατὶ δ' ἂν σιγῶσι· κατ' ἐκεῖνο μάλισα τὸ χρόνε, καθ' ὃν περὶ τότε, θρῆν ἐγείρεσαν ἁπανταχῆ ἑῶρων, καὶ ζέε-

σαν τιὼ τοιάνδε Συζήτησιν; εἰμὴ ὅτι τὸ καινὸν τετὶ δόγμα, ἤτοι αὐτοὶ ἐδαμῶς ἀπεδέχοντο, ἢ γᾶν περὶ τῆς ἐκείνε ἀληθείας ἐτύγχανον ἀδοιάζοντες. Μετὰ δὲ τὸ 820. Ἔτος, Θεοδᾶλφος Ἐπίσκοπος Αὐρηλιανλώσιος, Συλλογισμαῖα τινὰ ἐξέδοτο, περὶ τῆς ἐκπορδύσεως τᾶ Ἁγίε Πνδύματος ἐκ τᾶ Υἱᾶ. (*) Ἀνέθετο δὲ τιὼ Βίβλον Λοδοίκω τῶ Γαλλίας τε καὶ Γερμανίας Αὐτοκράτορι. Ἐν τέτῳ δὲ αὐτὸς ἡμῖν ἐπιμαρτυρεῖ, μήπω δή ἔς γ' ἐπ' ἐκεῖνο τὲς Λατίνες ἅπαντας τῷ τοιῶδε ἐφυπνῶσαι δόγματι, γενέθαι δὲ καὶ ἐκ ὀλίγε τὲς ἀντιλέγοντας. Ὁ μὲν ἓν Κιχώυσκης Νικόλαος, ἐφ' ᾧ τὸ τοιόνδε βέλος ἐκκλῖναι, τὸν Θεοδᾶλφον, φησὶ, κατὰ Φωτίε τᾶ Κωνσαντινεπόλεως Πατριάρχε ἐκδεδωκέναι τὸ Σύγγραμμα. Λέγει δὲ τᾶτο πρόϊκα, καὶ ἁπλῶς ἐκ βελήσεως, καὶ ἀὶ τὸ αὐτῷ τε, καὶ τοῖς ὁμόφροσιν αὐτῷ, σιώπθες. Οὐδὲ προσέχειν, ὅτε ἔτως ἔλεγε, τοῖς χρόνοις καθ' ἓς τὰ πράγματα διεπράτλετο. Θεοδᾶλφος μὲν γὰρ ἐτελδύτα, ἐν Ἔτει 840. Φώτιος δὲ, ἔπω πρὶν τᾶ Ἔτες 864. τὰ Λατίνων δόγματα δημοσίᾳ ἐλέγχειν ἤρξατο. Ἔτεσι δηλαδὴ, μετὰ τιὼ Θεοδάλφε τελδυτιὼ, τέτλαρσι πρὸς τοῖς ἔικοσι· Ἐπὶ τοῖς αὐτοῖς δὲ περιλῶ χρόνοις, καὶ Ἀνασάσιος ὁ Βιβλιοθηκάριος, ὅς, καθ' ὃν νᾶν ἐκ τῆς τᾶ Ἱερᾶ Μαξίμε Ἐπιςολῆς διδαχθεὶς, πισδῶν λῶ τὸ Ἅγιον Πνεῦμα ἐκ τᾶ Υἱᾶ ἐκπορδεθαι, φθάσαντες ἤδη σιωείδομεν· τιὼ φωνιὼ δηλονότι τῆς ἐκπορδύσεως, εἰς δήλωσιν ἐκδεχόμενος τῆς πέμψεως τῆς χρονικῆς· καὶ διαῤῥήδιν ἀποφάσκων τὸν Υἱὸν αἰτίαν, ἢ ἀρχιὼ εἶναι τᾶ Ἁγίε Πνδύματος.

Ὥσπερ δὲ ὁ ἀδαὴς ὄχλος τιὼ τῶν δοξασμάτων ἀλήθειαν, ἐκ τῆς τῶν πρεσβδόντων περιφανείας κρίνει τὰ πλεῖσα, περὶ λῶ τέθηπεν· ἐξαιρέτως δὲ οἱ μοχθηροὶ τῶν κολάκων, οἳ καὶ καθ' ἑαυτὰς τῆς ἐν τῇ ἰδίᾳ ψυχῇ κρίσεως, ταῖς δοξασίαις

(*) Τιὼ Βίβλον ταύτιν, καὶ τὰ λοιπὰ τάτε τᾶ Συγγραφέως πονημάτια, ἐξέδωκεν Ἰάκωβ. ὁ Σιρμόνδ. ἐν Παρισ. 1646. 1. Ἐμφέροντα δὲ τὰ αὐτὰ καὶν τῇ Μεγίςῃ Βιβλιοθ. τῶν Παλαιῶν Πατέρ· τιὼ ἐν Λεγδ. Τόμ. ΙΔ'. καὶ ἐν τοῖς Σιρμόνδε Συγγράμ. Τόμ. Β'.

δοξασίαις τῶν οὐ δυναμένων προσιδεῖν. Οὕτω καὶ τὸ δόγμα τόδε προσάτας εὑρὸν τῶν δυναμένων διαφερόντων, μᾶλλον δὴ καὶ μᾶλλον διαθρυλεῖσθαι καθ' ἡμέραν, καὶ προσεπικυρεῖσθαι ἤρξατο.

Ἦν μὲν γὰρ οὐ τῷ τότε χρόνῳ Νικόλαος ὁ Πάπας, τῶν τε δόγματος, καὶ τῆς προθήκης ὑπέρμαχος. Οὕτως οὐ βραχεῖ τὸ Λεόντειον ἐκεῖνο θέσπισμα ἀπεμαράνθη τε καὶ ἐξέλιπεν! Ἀλλ' ἐκ τίνος ἄρα προφάσεως τοιοῦτος ἀνεφάνη ἐκεῖνος, ἀκέσαι ἄξιον. Ἔτος 864. τὸ Βουλγάρων ἔθνος τῷ εἰς Χριστὸν πίστιν μεμυσταγώγηται, ξυνέτινος παρ' αὐτοῖς ἐπιδημήσαντος, καὶ κηρύττειν ἀναβαλομένου τὸ ἱερὸν μάθημα· Ὅς δὴ ἵνα τυχὸν, καὶ τὸ ἐκ τῆς ἐξουσίας βάρος τῆς ἰδίοις κηρύγμασι παρὰ τῷ πλήθει μηχανήσηται, καθυπεκρίνατο τὸν Ἱερέα, καίτοι μὴ τοῦτο ὤν. Ὅπερ οἱ Βούλγαροι κατειληφότες, ἀγνῶμον ἔθνος, καὶ μᾶλλον εἰπεῖν βάρβαρον, καὶ ζήλῳ χρώμενον ἀνοήτῳ, ἀντὶ τῆς ἄκρας εὐποιΐας, ὕβρει τὸν ἄνθρωπον μεγίστῃ ἠμείψαντο. Τὰς γὰρ ῥίνας τῷ δυσιώῳ τεμόντες, ἐξήλασαν. Μέγα δηλονότι τὸ ἀνοσιούργημα ἡγησάμενοι, εἴτις Λαϊκὸς ὢν τινὶ τάξιν, ἔπειτα τὸν Χριστὸν κηρύττειν τολμήσειεν. Ὁ τοίνυν τῶν Βουλγάρων Βασιλεὺς, ὡς τὸν Ῥώμης Πάπαν ἀπέστειλε πρεσβευτὰς τοὺς δεησομένους, ὅπως ἄντινας τῶν ἰδίων Κληρικῶν διαπέμψηται, οἵ τοὺς ὑπηκόους αὐτῷ τινὶ εἰς Χριστὸν εὐσέβειαν ἐκδιδάξαιεν. Κατανεύσας ἦν Νικόλαος, καὶ παραχρῆμα διαπέμπει Ἐπισκόπους, Ἄνδρας δηλονότι, τοὺς ἐκ τῶν αὐτῶν ἀλφίτων σιτιζομένους αὐτῷ· Οὗτοι γὰρ δὴ, τὸ Σύμβολον παρεφθορὸς τῇ προθήκῃ ἐς Βουλγαρίαν εἰσηνέγκαν. Διέῤῥωσε δ' ἡ τοῦ πράγματος φήμη πρὸς τοὺς οὐ Κωνσταντινουπόλει τὸ Κράτος τηνικαῦτα διέποντας, Μιχαὴλ καὶ Βασίλειον. Οἵ καὶ τῷ Βουλγάρων Ἀνακτι εὐθὺς ἐπιστείλαντες παρῄνεσαν, μηδαμῶς ὑπέχειν τὰ ὦτα τοῖς τοῦ Πάπα λεγάτοις, ἅτε δὴ καινόντι δόγμα ἐκεῖνο, καὶ παρεφθαρμένον παραδιδοῦσι τὸ τῆς Πίστεως Σύμβολον. Ὁ δ' ὡς ἐδέξατο παρὰ τῶν Αὐτοκρατόρων Ἐπιστολὰς, πρὸς τὸν Πάπαν διαπορθμεύει

Νικόλαον· Ὁ δὲ Πάπας, οἷον τρωθεὶς τὴν καρδίαν, ἀναθορὼν, πρὸς Ἰγκμαρον γράφει τὸν Ῥεμησίων Ἀρχιεπίσκοπον, Ἄνδρα ἐπὶ σοφίᾳ τότε θρυλλούμενον· καὶ πρὸς ὑπεραπισιν ὑπερεθίζει τῶν δόγματος. Καθάπερ δὲ Ἡρώδης πάλαι καὶ Πιλάτος, ὅπως ἂν, μετὰ τὰς πρὸς ἀλλήλας συγχύσεις ἔρεις, ἐπὶ διαλλαγὰς σεβαστέρας σωέλθωσιν, ἐπὶ τὸν κατὰ τῶν Χριστῶν ἐμπαιγμον σωέπνευσαν· Οὕτω καὶ Νικόλαος τὴν διαπυρπολῶσαν αὐτὸν ἐπὶ τῇ Ῥοτάλδε τῶν Ἐπισκόπε ὑποθέσει ἀπέχθειαν ἐν προσποιήσει ἀποκρύψας, (*) Ἰγκμαρον ἑαυτῷ συζεῦξαι, ἐπὶ διαπορθήσει τῆς Ἐκκλησίας, πᾶσαν ἔθετο καὶ παντοίαν σπουδὴν, καὶ πρὸς αὐτὸ δὲ τοῦτο, καὶ ἄλλως τῶν ἐν Ἐκκλησίᾳ προεδρευόντων παρώρυωε. Δῆλα δὴ ταῦτα πάντα, ἐκ τῆς Νικολάε πρὸς τὸν ῥηθέντα Ἰγκμαρον Ἐπιστολῆς. (**) Τὰ δὲ περὶ τῆς Βελγάρων Ἐπιστροφῆς, καὶ τῶν Ἀποστόλε ἐκείνε, ὃν κακῶς διέθεντο, φανερὰ δὴ καὶ ταῦτα ἐκ τῶν τῶν αὐτῶν Νικολάε, πρὸς τὰς Βελγάρων ἐρωτήσεις Ἀποκρίσεων. Ὅπερ ἓν Σύγγραμμα καὶ αὐτὸ μετὰ τὰς Ἐπιστολὰς, αὐτόθι σωέκκειται. (†)

Ἐντεῦθεν τοιγαροῦν ἤδη τὸ δόγμα ἐκεῖνο, μεγάλας εἰκὸς παρὰ Λατίνοις εἰληφέναι τὰς ἐπιδόσεις· Οὕτω περιφανῶς δηλονότι προσάτε πρὸς αὐτὸ ἐπιστρέχοντος. Μάλιστα

(*) Ὡς δῆλον ἔκτε τῶν Βίε, καὶ ἐκ τῶν Ἐπιστολῶν τῶν Νικολάε· καὶ μάλιστα ἐκ τῶν ΚΘ'. ΛΖ'. Μ'. Μς'. τῶν ἐν τοῖς Τόμοις τῶν Συνοδικ. περὶ ὧν μετὰ βραχὺ μνεία γενήσεται.

(**) Ἥτις ἀριθμεῖται Ο'. ἐν Τόμ. Γ'. τῶν Συνοδ. Σεβηρίνε Βινίε, Σελ. 767. καὶ Τόμ. Η'. τῶν Συνοδικ. Λαββέε, Σελ. 468. καὶ Τόμ. Ε'. τῶν Συνοδ. Ἀρδεΐνε. Σελ. 307. Ταύτῃ δὲ τὴν Ἐπιστολὴν Ἰγκμαρος δεξάμενος, ἔγραψε πρὸς Ὄδωνα Ἐπίσκοπον Βελλοβακίωσιον, καὶ πρὸς ἄλλας τῆς Γαλλίας Ἐπισκόπες, ἵνα πρὸς τὰς Γραικῶν ἀντιθέσεις, τὰς ὑπὸ Νικολάε τῶ Πάπα εἰς Γαλλίαν ἀποσταλείσας, ἀποκριθῶσιν. Ἥτις Ἐπιστολὴ κεῖται ἐν Τόμ. Β'. Σελ. 809. τῶν Ἰγκμάρε πονημάτων, τῶν ὑπὸ Ἰακὼβ Σιρμόνδε ἐκδοθέντων ἐν Παρισ. 1645.

(†) Ἐν ἅπασι τοῖς ἀνωτέρω Τόμοις τῶν Συνοδικῶν.

λισα δὲ αὐτὸ ἀρέσκειν ἤρξατο τοῖς ἐκ Δύσεως, ἐπειδὰν πρῶτον οἱ ἐξ Ἀνατολῶν ἀκέσαντες αὐτὸ κατέκριναν. Ἐνῆσαν γὰρ ἤδη τότε πρόσφατοι δυσμενειῶν, μονονεχὶ ἄλλως ἐμφύτων, ἀ ἐκατέροις πρὸς ἄλληλα τοῖς ἔθνεσιν ἐκείνοις, αἰτίαι· Πῇ μὲν, διὰ τὸ τὶ Ἰταλίαν, προτροπῇ Λέοντος τ. Γ', ἢ γὲν τῇ τότε πάντως σωεπινδύσει, ἐ πολὺ πρώην τ. ἀ Κωνσαντινοπόλει Κράτες ἀποσᾶσαν, Καρόλῳ τῷ Μάγνῳ σωαφθεῖσαι· Ὅς παρὰ τοῦτο, καὶ Αὐτοκράτωρ Ῥωμαίων πρὸς τῶν Ἰταλῶν ἀνηγόρευται. Πῇ δὲ, καὶ διὰ τὰ διεγερθέντα ἐπὶ Ἰγνατίῳ καὶ Φωτίῳ κύματα. Οἷσπερ ἑαυτὸν ἐγκαταμίξας ὁ Πάπας, ὡς διαφόρως τὶ ἑαυτῷ Αὐθεντίαν παρὰ Γραικοῖς ἔχουσαν ἑώρα, νῦν μὲν ἀποδεκλίνει, νῦν δ' ἀπόβλητον· τελευταῖον δὲ καὶ πάντη ἀπελαμένῳ, πλήρης ὀργῆς, καὶ τῇ Καρόλε δὲ προσασία πίσιως, πρὸς τὸν καλὰ Γραικῶν, ὡς ὑβριζῶν ἄρα τῆς Λατινικῆς Ἐκκλησίας, καὶ αὐτὸν δὲ ἐπὶ αἱρέσει διαβαλόντων τε καὶ ἐλεγχόντων, αὐτός τε διανέσῃ, καὶ τὲς ἄλλες παρώξιωσεν· Ἀλλ' ἵνα δὴ σαφέστερον καλασαίη τὸ πρᾶγμα, κατ' ἐπιτομὴν ἐνταῦθα, τὶ τῶν μεταξὺ Ἰγνατίε τε καὶ Φωτίε διαδικασιῶν ὑφήγησιν, ὑποθῶμεν. Ἐξ ἧς δῆλον ἔσαι, καὶ ὅσον ἀπειροκάλως τε καὶ ψυχρῶς, Λατινόφρονές τινες Ἀρχηγὸν τ. καθ' ἡμᾶς Δόγματος ποιῆνται τὸν Φώτιον, καὶ ἡμᾶς Φωτιανὲς ἀνομάζεσιν. Ὁπότε τὰ καλὰ Φώτιον, ὅσον Οὐρανὸς ἄπεσι γαίης, τῆς παρέσης διαφωνίας ἀπέχει, ξένα ταύτης ὄντα παντάπασι καὶ ἀλλότρια. Καίτοιγε Φώτιος, δριμέως περί τε τ. καινοτομηθέντος δόγματος καὶ τ. Συμβόλε, Λατίνες ἐπέπληξε· καὶ μετ' αὐτὸ ἔτι τ. Πάπα Ἰωάννε τ. Η'. συμμαχίαν σήσας, καλεπολέμησεν. Ἵνα δὲ ὑπονοίας ἀπάσης ἑαυτὲς ἀπαλλάξωμεν, τὶ διήγησιν ἐνταῦθα ληψόμεθα, ὅσαγε πρὸς τὶ παρεῖσαν τ. λόγε ἀνήκει πρόθεσιν, ἐκ τῶν Λέοντος τ. Ἀλλατίε· Ὅς Γραικὸς ὢν παιδείας τρόφιμος, ἀλλὰ λατινοφρονήσας, διεξοδικόντι Σύγγραμμα, χαριζόμενος τῷ Πάπᾳ ἐξέδοτο, περὶ τῆς διωνεκῆς Συμφωνίας τῶν Ἐκκλησιῶν τῆς Ἀνατολικῆς καὶ τῆς Δυτικῆς. Ἐκ τ. τοιέ-

τε τοίνυν Συγγράμματος Βιβλ. Β'. Κεφ. Δ'. καὶ Ε'. ταῦτα ἐξελεξάμεθα.

Ἰγνάτιος ἐκ Μοναχῆ Πατριάρχης Κωνσταντινεπόλεως, Βάρδαν τὸν Καίσαρα, τὴν ἰδίαν ἀπολύσαντα γυναῖκα, ἑτέρᾳ δὲ συ ἀθεμίτοις συγγενικοῖς γάμοις (ὡς οἱ μὲν φάσκουσιν, οἱ δ' ἀποφάσκουσιν, ὅπερ ἐδὲν διαφέρει ἐπὶ τῆ προκειμένῃ ἡμῖν) συμφθειρόμενον, ἐπιτιμήσας τε, καὶ τῶν ἱερῶν ἀπείρξας, ὑπερόριος ἐξ αὐτῆ ἀπηλάθη. Φώτιος δὲ, Ἀνὴρ συ λόγοις περιβοητος, ἀντικατέστη. Ἐντεῦθεν ἔρις ἤρθη μεγάλη, τῶν μὲν ὑπὲρ Φωτίε, τῶν δὲ ὑπὲρ Ἰγνατίε ἱσαμένων. Σωόδος ἔν ἀθροίζεται, συ ἧ καὶ οἱ τῆ Πάπα Νικολάε Λεγάτοι, Ροδοάλδος τε καὶ Ζαχαρίας, παρήτιω· ἐφ' ἧς, διὰ πολλῶν ἠγώνισαι Φώτιος καθασκθάσαι, Ἰγνάτιον μὴ νομίμως, μηδὲ κατ' ἐκλογὴν ἐλθόθεραν, ὑπὸ δὲ τῶν συ ὑπεροχῆ δυνάμεώς τε καὶ ἐξεσίας καθισαμένων, ἐπὶ τὴν Ἐπισκοπὴν ἀρθῶαι. Καὶ δὴ εἰς ἔργον ἄγεται, καὶ αὐτῶν ἐχ ἧτον τῶν τῆ Πάπα Λεγάτων ὁμονοησάντων, ἡ Ἰγνατίε καθαίρεσις. Ὅπερ ὡς ἔγνω Νικόλαος ὁ Πάπας, συέση, καὶ τὲς Λεγάτες ἑαυτῆ ἐπανιόντας ἀπὸ τῆς Σωόδε, τῷ Ἀναθέματι καθυπέβαλεν.

Ἐν δὴ τέτοις (ὅ παρέλιπεν Ἀλλάτιος·) ὁ τῶν Βελγάρων Ἀναξ ἐπιστέιλας τῷ Πάπα, ἠτεῖτο καληχητὰς, ὡς προείρηται· πρὸς ὃ καὶ καλανδίσας ὁ Πάπας Ἐπισκόπες ἀπέσαλκεν εἰς Βελγαρίαν· ἕς καὶ διηνυκότας ἤδη αὐτόθι τὴν Λεγατείαν, εἰς τὴν Κωνσταντίνε ἐκέλθοσον ἀπελθεῖν, ὑπὲρ τῆς Ἰγνατίε ὑποθέσεως. Οἱ δὲ, διὰ τὸ συ Βελγαρίᾳ, τὸ περὶ τῆς ἐκπορθόσεως τῆ Ἁγίε Πνεύματος καὶ ἐκ τῆ Υἱῆ κεκηρυχέναι, ἐκ ἀσμένως παρὰ τοῖς συ τῇ πόλει καθυπεδέχθησαν· ἐζητήθησαν δὲ, ἵν' εἴτι παρ' αὐτοῖς ἐθέλοιεν διαπράξαθαι, ἔγγραφον πρότερον τὴν πίσιν παράχοιεν τὴν ἑαυτῶν. Καὶ τόδε μὲν, Γραικῶν τε μέσον καὶ Λατίνων, τῆς διαμφισβητήσεως ἐγένετο οἷον προοίμιον. Καὶ γάρτοι, καὶ οἱ Αὐτοκράτορες αὐτοὶ τὸ καινὸν δόγμα καλεμωμήσαντο· καὶ τὸν Βελγάρων

Ἀνακλα-

Ἀνακλα ἐκεῖνο ἀπέτρεπον, ὡς ἀνωτέρω κατείδομεν· καὶ μὴν δὴ καὶ Φώτιος, καλὰ τὸ αὐτὸ ἀνεβάλλετο διαμάχεσθαι. Ταῦτα γὲν Νικόλαος ὁ Πάπας ἐνωτισθεὶς, ἐχ ὅπως Φώτιον, ἀλλὰ καὶ Μιχαὴλ λοιδορῶν μετήει τὸν Αὐτοκράτορα. Καὶ δὴ, καὶ τῷ Κρατεῖντι ἐπιστείλας, (*) ἐντείλασθαι καὶ ἐθρασώατο τιὼ ἰδίαν ἐκεῖνον Ἐπιστολιὼ (τιὼ πρὸς τὸν Βελγάρων Ἀνακλα οἶμαι, περὶ τὸ μὴ δεῖν Λατίνοις προσέχειν·) δημοσίαις παραδῶναι φλοξίν· Ὡς εἴγε τάτε παραμελήσειεν, ἕτοιμος αὐτὸς εἶναι διαγγέλλων, διὰ τελετῆς πανδήμε, ἐν Ῥώμῃ τῶτο ποιήσεσθαι. Ἀλλ' ὅσον δὴ καὶ προπετδσάμενος ὑπερώγκωται τηνικαῦτα, τῇ Καρόλε δηλονότι ἐπερειδόμενος ἀντιλήψει, ἐδὲν ἀλλ' ἦν παρὰ Γραικοῖς σιωτελέσαι κατὰ Φωτίε ὁ Νικόλαος ἴχυσε· Φώτιος δὲ, καὶ ἀναθέματι ἐπὶ πλέον τὸν Νικόλαον καθυπέβαλεν.

Μετὰ δὴ ταῦτα Μιχαὴλ ὁ Αὐτοκράτωρ διὰ συνομωσίας ἀναιρεῖται, ἀντ' αὐτῦ δὲ ἀναγορδύεται Βασίλειος ὁ Μακεδών, ὁ καὶ τῆς τῶν Σιωμωτῶν Φατρίας ἀρχηγὸς γεγονώς· Οὗτος δὲ Φώτιον αὖθις ἀπελαύνει τὸ Θρόνε, διὰ τὸ, ὡς Πατραλοίαν δηλονότι, μηδαμῶς ἐκείνῳ ἐπιτρέψαι τῶν Μυςηρίων μεταχεῖν. ἢ Λέων διέξεισιν ὁ Γραμματικὸς, ἐν τῷ Βίῳ αὐτῦ τὸ Βασιλείε. (**) Μεταπεμψάμενος δὲ παρὰ τὸ Πάπα Ἀεγάτες (Πάπας δὲ ἤδη, τὸ Νικολάε τετελδτηκότος, Ἀδριανὸς ὁ Β'. ἰὼ·) σιωεκρότησε Σιώοδον, καὶ τὸ Φωτίε ἐν ταύτῃ καλεψηφίσατο. Καλεῖται δ' ἡ Σιώοδος αὕτη ἡ τῶν ἐν Κωνσαντινοπόλει Δ'. παρὰ δὲ Λατίνων, καὶ Οἰκεμενικὴ ἐπιλέγεται. Καὶ διεδέξατο τοίνιω αὖθις Ἰγνάτιος Φώτιον. Ἀλλ' ἐκ ζώντων

(*) Αὕτη ἡ Νικολάε Ἐπιστολὴ, κεῖται ἐν ταῖς ἐκείνε Ἐπισ. ἀριθμεμένη Γ'. ἐν τῷ Γ'. Τόμ. τῶν Συνοδ. Σεβηρίνε Βινίε. καὶ ἐν τῇ Ἀρδεΐν. Συλλογ. τῶν Συνόδ. Τόμ. Ε'. Σελ. 196. Ἔνθα καὶ Ἑλληνιςὶ πρόκειται, ἐπὶ τῆς Η'. τῶν ἐν Κωνσαντινοπόλει Συνόδων, Πραξ. Ζ'. Σελ. 1067.

(**) Κεῖται δ' ἐν τῇ Λέοντος τὲ Γραμματικὲ χρονογραφίᾳ, τῇ περιεχέσῃ τὰς Βίας τῶν ὕςερον Αὐτοκρατόρων, καὶ ἐκδοθείσῃ Ἑλληνιςὶ καὶ Λατινιςὶ, μετὰ Σημειώσεων Κομβεφισίε, ἐν Παρισ. 1655. Σελ. 471.

τῆ Ἰγνατίᾳ γενομένῃ, προσβιβάζεται δεύτερον Φώτιος, καὶ αὐτῆ ἐπιδοκήσαντος Βασιλείᾳ τῆ Αὐτοκράτορος, τῆ καὶ πρὸς Ἰωάννιν τὸν Η'. περὶ τότε γράψαντος, τὸν Ἀδριανῆ Διάδοχον· Ὃς Λεγάτες πέμψας ἐπὶ τὴν Σιώδον, τὴν ἐν Κωνσταντινουπόλει τότε πάλιν συναθροισθεῖσαν, τῷ τῆ Φωτίᾳ προβιβασμῷ συνεπένευσε. Καὶ ἡ μὲν τῶν καθ' Φώτιον καὶ Ἰγνάτιον Ἱστορία ἐν Ἐπιτόμῳ αὕτη.

Ἐξ ἧς δῆλον, ὅτι εἰς πέρας ἀηδίας οἱ πλεῖστοι τῶν Λατίνων ἥκοντες εἰσὶν, οἱ Φώτιον τῆς διαφορᾶς ταύτης ἀρχηγὸν γενέσθαι, καὶ δι' αὐτὴν δὲ καὶ κριθῶσαι, καὶ καθαγιασθῶσαι αὐτὸν διϊσχυριζόμενοι. Ὁ γὰρ Φώτιος προεβιβάσθη τε καὶ ἀπεβιβάσθη δι' ἑτέρας, τὰς ἐκλεθείσας αἰτίας· καὶ, ἤτοι δικαίως, ἢ ἀδίκως, ἐ τοῦτο νῦν ζητῶμεν. Ἀλλ' ἡ θορυβώδης ἐκείνη, Πρᾶξις ἐκπερισσίας ἡμᾶς διδάσκει, ἥτις ποτὲ, ἡ τῆ περὶ τῆ καινῆ δόγματος Λατίνων δόξα, ἥτις δὲ καὶ ἡ Γραικῶν, τίνι καῦται ἐτύγχανον. Τρία δὲ παρατηρήσεως ἐσὶν ἄξια. Τὸ μὲν Α', ὅτι Φώτιος, ὡς ἐπὶ καινῷ τότε δόγματι τότῳ Λατίνες ἀπήλεγξε, καὶ σφοδρὰν περὶ τότε Ἐπιστολὴν ἐγκύκλιον, ἐν Ἔτει 866. (πρός τε τὲς Πατριάρχας, καὶ τὲς ἄλλες Ἐπισκόπες), γράψας ἐπέστειλεν. (*) Ἠνίκα δὲ μελὰ τὴν ἄθροισιν τῆς μεγάλης Συνόδε καθηρεῖτο, ἐφ' ᾧ ψιλῷ ῥηματίῳ οἶ, αἵρεσίς τις αὐτῷ προσεπέπλεκτο· ἐκεῖνο δὲ μόνον εἰς μῶμον Φωτίῳ ἐτρέπετο, ὅτι ἐκ Λαϊκῆ ἐπὶ τὸν Κωνσταντινουπόλεως θρόνον ἁρπαγὴν ἀνέπλη, καὶ ταῦτα Ἰγνατίᾳ ἔτι ἐν ζῶσι διάγοντος. Τὸ δὲ Β, ὅτι καὶ Συνόδος ἑτέρα, περιόντος ἔτι τῷ βίῳ Ἰωάννε Η'. τῆ Πάπα ὑφ' ἧ Φώτιος τῷ θρόνῳ ἀποκατέστη, ἐν τῇ Βασιλίδι τῶν πόλεων συναθροισθεῖσα, τὸ προσῖθεσθαί τι τῷ Συμβόλῳ ἀπείρη-

(*) Ἥτις Β'. ἀριθμᾶται τῶν Φωτίε Ἐπιστολῶν, τῶν ἀπὸ τῆ Βοδλειανῆ Κώδικος ἀπογεγραμμένων, καὶ μετὰ τῆς Λατινικῆς Μεταφράσεως, καὶ τῶν Σημειωμάτων Ῥιχάρδε Μοντακκτίε ἐκδοθέντων, ἐν Λονδίνῳ 1651. τὴν δὲ Ἐπιστολὴν ταύτην, ἐξ ἑρμηνείας Φεδερίκε Μετίε, Λατινιστὶ παρέθετο Καίσαρ Βαρώνιος ἐν τοῖς Χρονικ. Ἔτ. 863. Ἐν Τόμ. Ι'. Ἀριθμ. 33.

ἀπείρηκαν. Περὶ ἧς δὲ προθήκης ὁ λόγος, ἐδεὶς ἀγνοεῖ· Συνελεγλύθεισαν δ' ἐπὶ τῆς Σιώδε ἐκείνης Πατέρες τὸν ἀριθμὸν τρεῖς ἐπὶ τοῖς τριακοσίοις καὶ ὀγδοήκοντα. Καὶ μέγα δὲ ἐκεῖ οἱ τῶ Πάπα Λεγάτοι ἀνέκραξαν, μηδόλως "
ἐξεῖναι τὸ Σύμβολον ἀλλοιεῖν. Καὶ Βαρώνιος μὲν· καὶ ἄλλοι τῶν ἐκείνῳ παρεπομένων, τλιὼ Σιώδου ταύτιω ὑπὸ Φωτίε πεπλάδθαι φασί· (*) μάταιοι δ' εἰσίν. Ἦ γὰρ ἔτω ῥάδιον Σιώδου ἀναπλαδθῶαι, καὶ ταῦτα πρὸς Ἀνδρὸς τῶ καθ' ἡμᾶς τὸν χρόνον γνομένε, καθ' ὃν πλαδεῖσα ἡ Σιώδος λέγεται; Εἶτα μνείαν τῆς Σιώδε ταύτης ποιεῖται καὶ Ἰωάννης Η'. ὁ Πάπας ἐν τῇ πρὸς Φώτιον Ἐπιστολῇ· (**) καὶ ἐν ἑτέρα ἐφεξῆς τῇ πρὸς τὲς Αὐτοκράτορας. Ὁ δ' αὐτὸς καὶ τὲς ἰδίες Λεγάτες ἐξ ὀνόματος ἀναφέρει, τὲς ἐπ' ἐκείνιω ἀποσαλέντας τλιὼ Σιώδου, ἐν Ἐπιστολῇ ΣΓ'. (***) Ἀλλὰ καὶ Ἰωσὴφ ὁ Βρυέννιος, Κωνσαντινοπολίτης τλιὼ πατρίδα, καθὰ τὸ 1420. συγγράφων διέξεισιν, ὅτι καὶ ἐπ' αὐτῆ ἐν τοῖς Γραμματοφυλακείοις αἱ τῶν Λεγάτων ὑπογραφαὶ διεσώζοντο. (†) Ἐπὶ τέτοις δὲ καὶ Ζωναρᾶς, καὶ Βαλσαμὼν, καὶ Ματθαῖος ὁ Βλάσαρις, ὁ σωτάξας τὸν Νομοκανόνα, ἐν τοῖς αὐτῆ εἰς τὲς Σιωδικὲς Κανόνας ὑπομνήμασιν· Ἔσιν ἓς ἐκ τῶν ταύτης τῆς Σιώδε Κανόνων εἰσλέγκαν. (††) Τελδταῖον δὲ, ἵνα τὲς

(*) Περὶ τῶν Συγγραφέων τῶν Βαρωνίῳ παρεπομένων, καὶ περὶ αὐτῆ Βαρωνίε, ὅρα Ἰωάν. Γεώργ. Βάλχιον, ἐν τῇ Ἱσορίᾳ τῆς διαφορᾶς περὶ τῆς ἐκπορεύσ. τῆ Ἁγ. Πνεύμ. Σελ. 40. ἐν ταῖς Σημειώσεσι.

(**) Ἥτις τῶν ἐκείνε Ἐπισολῶν ἀριθμᾶται ΣΝ'. ἐν Τόμ. Θ'. τῶν Συνοδ. Λαββέα, Σελ. 179. καὶ Ἀριθμ. ιεΕ'. ἐν Τόμ. ε'. Μέρ. Α'. Σελ. 73. τῶν Συνοδικ. Ἀρδκίνε.

(***) Τετέσι κατὰ τλιὼ Λαββέα τῶν Συνοδικῶν Ἐκδοσιν· καὶ γὰρ παρὰ Ἀρδκίνῳ, ἡ τῶν τοιάτων Ἐπισολῶν μεθήρμοσαι τάξις· καὶ παρὰ τέτῳ ἡ Ἐπισολὴ αὕτη ἀριθμᾶται ιεΖ'. ἐν Τόμ. ε'. τῶν Συνοδ. Σελ. 78.

(†) Παρὰ Λέοντι τῷ Ἀλλατίῳ, Βιβλ. Β'. περὶ τῆς Διηνεκῆς Συμφων. τῶν Ἐκκλησ. Ἀνατολ. καὶ Δυτ. Κεφ. Ε'. Ἀρ. 3. — Μέτιδε τὸν Ἰωσὴφ Βρυεν. Λόγον Η'. περὶ τῆς Ἁγίας Τριάδ. ἐν τῷ Α'. Τόμ. τῆς ἐν Λειψίᾳ Ἐκδόσ. Ἔτει αψξη', Σελ. 139.

(††) Οὗς ὅρα παρὰ Γυιλέλμ. Βεβερεγίῳ ἐν ταῖς τῶν Κανόν. Πανδέκλαις· Ἔνθα τὸ ὅλον Σύνταγμα τῶν Ματθ. τῆ Βλασάρ. Κανόν. Ἑλλιωισὶ καὶ Λατινισὶ τετύπωται, Τόμ. Β', ἀπὸ Σελ. 1.

τὰς ἄλλας παρέλθωμεν, (*) καὶ αὐτὸς Γρατιανὸς ἀνακαλεῖ τινα Κανόνα τῆς Συνόδε ταύτης. (**) Τὸ δὲ Γ', παρατηρητέον, ὅτι καὶ Ἰωάννης αὐτὸς ὁ Η'. ἀνωτιθεὶς ὡς οἱ Γραικοὶ ἀ ὑπονοίᾳ εἶχον, καὶ ἀ αἰτίᾳ τυχὸν ἐποιῆντο αὐτὸν, τῷ καινῷ ἕνεκα δόγματος ἐκείνε, καὶ τῆς προσθήκης· Ἐφ' ᾧ τὸ ἔγκλημα τόδε ἑαυτῷ ἀποτρίψαθαι, Ἐπιστολὴν πρὸς Φώτιον γράψας, καὶ ποτνιώμενος ἀδίκως ἐπὶ τούτοις ἀτιμᾶθαι, καὶ παρὰ τῶν ἐπιβασκαινόντων αὐτῷ διαβάλλεθαι, πρὸς τοῖς ἄλλοις καὶ ταῦτα φησί: Καὶ πάλιν ἓν παραδηλῶμεν τῇ Αἰδεσιμότητίσε, ἵνα περὶ τῷ ἄρθρε τότε, δι' ὃ σωρεύθη τὰ σκάνδαλα μέσον τῶν Ἐκκλησιῶν τῷ Θεῷ, ἔχῃς πληροφορίαν εἰς ἡμᾶς, ὅτι ἀ μόνον ἀ λέγομεν τοῦτο, ἀλλὰ καὶ τὸς πρῶτον θαῤῥήσαντας τῇ ἑαυτῶν ἀπονοίᾳ, παραβάτας τῶν Θείων λόγων κρίνομεν, καὶ μεταποιητὰς τῆς θεολογίας τῷ Δεσπότε Χριστῷ καὶ τῶν Ἀποστόλων, καὶ τῶν λοιπῶν Πατέρων, οἳ σωελθόντες σωοδικῶς παρέδωκαν τὸ Ἅγιον Σύμβολον· καὶ μελὰ τῷ Ἰέδα τάτλομεν, κτ. Ἐπὶ τῆς αὐτῆς δὲ Ἐπιστολῆς ὁ Ἰωάννης ἔτι φησὶν, ὅτι καὶ διὰ σπεδῆς αὐτὸς ποιεῖται, ὡς ἂν καὶ τὰς λοιπὰς ἐπισκόπας αὐτῷ καλαπείσῃ ἕτω φρονεῖν.

(*) Οὓς ἀναφέρει Ἀδὰμ Ζοιρνικάβιος, ἐν τῇ Α'. τῶν Πραγματειῶν, τῶν ἔτι ἀνεκδότων. — Σημείωσαι ἀλλ' ἴν, ὅτι καθ' ἡμᾶς τὸ Ζοιρνικαβίκ πόνημα φωτὸς ἀπήλαυσε, τυπωθὲν Regiomonti· Ἔτ. 1774. καὶ 1775. ὡς καὶ ἀνωτ. ἐπεσημιωάμεθα.

(**) Ἐν τῇ συμφωνίᾳ τῶν διαφωνέντων Κανόνων, ἤτοι τῷ αὐτῷ ψηφίσματι, Μέρ. Β'. ὑποθ. Ζ'. Ζητήμ. Α'. Κεφ. ΜΕ'. Σελ. 490. Τόμ. Α'. τῷ Σώματος τῷ Κανονικῷ Δικαιώματος. Παρὰ Ἐννίῳ Βοεμέρῳ Ἐκδ. Χάλ. Μαγδεβεργ. 1747.

Διαφόρας δὲ κρίσεις Γραικῶν τε καὶ Λατίνων περὶ τῆς Συνόδε ταύτης συνελέξατο Μαρτῖνος Ἄγκιος, περὶ Γραικῶν τῶν τὰ Βυζαντινὰ Συγγραψάντων, Μέρ. Α'. Κεφ. ΙΗ'. Σελ. 379. κξ. Ὁλόκληρα δὲ τὰ πρακλικὰ τῆς Συνόδε ταύτης Ἑλλωιστὶ καὶ Λατινιστὶ ἐξέδωκεν ἐκ Κώδικος Βατικανῷ, Ἰωάν. Ἀρδεῖνος, Τόμ. ε'. Συνοδ. Σελ. 214. κξ. Τὰ δέτοι τότων Ἀποσπάσματα, ἐξ Ἰωάν. Βέκκε Λόγῳ περὶ εἰρλώνης τῆς Ἐκκλησ. ἐξεδόθη ἐπιμελείᾳ Γυϊλέλμ. Βεβερεγίε, ἐν ταῖς Πανδέκ. Τόμ. Β'. ἀπὸ Σελ. 273.

φρονεῖν· ἐξ ἧς καὶ ὁ μικρὰν αὐτῷ ἐμπίπλειν δυχέρειαν. (*)

Ὁ μὲν ἓν Βαρώνιος ἐν Ἔτει 879. παρὰ Φωτίῳ, ἢ ἄλλῳ τινὸς Γραικῷ, καὶ ταύτλιν φησὶ τλὺ Ἐπισολλὺ ἐπιπλαθλῶαι· λόγοι δ' αὐτῷ εἰς τλὺ τότε δεῖξιν, δύο οἱ ἐφεξῆς. 1. Ὅτι Φώτιος αὐτὸς, ἐν τῇ αὐτῇ πρὸς τὸν Ἀκυληΐας Μητροπολίτλω Ἐπισολῇ, ἐν ᾗ καλάτε τῇ Δόγματος διαλέγεται καὶ τῆς προθήκης, ἐδὲ μίαν τῆς Ἐπισολῆς ταύτης μνείαν ποιεῖται. 2. Ὅτι Ἰωάννης ὁ Διάκονος, πρὸς αὐτὸν τῆτον Ἰωάννλν τὸν Η'. γράφων, τὰς Γραικὰς ὑπαιτιᾶται, ὡς τλὶ καὶ ἐκ τῆ Ὑιῆ φονλὶ, ἐκ τῶν τῆ Ἁγ. Γρηγορίε τῆ Διαλόγε Βιβλίων ἀποξέσαντας. Ἐξ ἧ δῆλον, φησὶ, γίνεθαι, μηδαμῶς Ἰωάννλν τὸν Πάπαν κατ' ἐκείνε τῆ Δόγματος ἀντενεχθλῶαι. Ἀλλ' ἀπαντῶμεν ῥαδίως πρὸς ἑκάτερα. Πρὸς μὲν τὸ Α'. ὅτι πολλὰ ἐδωάτο συμβλῶαι, δι' ἃ Φώτιος ἐπιξέλων Ἰωάννῃ, ἐδαμῶς ἐμνήθη τῆς πρὸς τὸν Ἀκυληΐας Ἐπισολῆς· Ἀπόχρη δὲ τῆτο φᾶναι καὶ μόνον, ὡς ἐκ ἀνένδεκτον λῶ, εἰς Ἀκυληΐαν Φθάσαι Φώτιον τλὺ ἐπισολλὺ διαπέμψαι, πρὶν ἢ τλὸ ὑπὸ Ἰωάννε ἀντικομίσηται. Πρὸς δὲ τὸ Β', πιθανώτερον φαμὲν εἶναι, μὴ γεγραφέναι ἐκεῖνα τὸν Διάκονον Ἰωάννλν, ἵνα δέ τινα τῶν ψλδογράφων παρενθέθαι αὐτά. Πρὸς γὰρ αὐτὸν τῆτον Ἰωάννλν τὸν Διάκονον γράφων Ἀναξάσιος ὁ Βιβλιοθηκάριος, τὸ ἐξ Ὑιῆ ἐκεῖνο, ἐκ τῶν τῆ Ἱερῆ Μαξίμε ῥημάτων, καλὰ τλὺ ἡμετέραν ἔννοιαν διηρμλύθεν· Ὥσε δοκεῖν ὁμοφρονεῖν ἐκείνῳ καὶ τὸν Διάκονον. Εἶχε δ' ἔτι καὶ ἔτως ὁ Διάκονος γράφειν (καίτοι ψλδῶς.) Ἀλλὰ μὴ ἆρα ἔπεται παρὰ τῆτο, ὅτι καὶ Ἰωάννης ὁ Πάπας ἐκείνῳ τὰ αὐτὰ σωεδόξαζε; Τελλταῖον, ὁ τῆς μνημονλθείσης Σωόδε ὅρος, ἐν ᾗ καὶ οἱ τῆ Πάπα

(*) Κεῖται δ' ἡ Ἐπισ. αὕτη, ἐν ταῖς Ἰωάν. τ. Η'. ἀριθμ. 320. ἐν τῷ Θ'. Τόμ. τῶν Συνοδ. Λαββέα καὶ Κοσσαρτίε, Σελ. 235. Ἑλληνισὶ δὲ καὶ Λατινισὶ, ἐν ταῖς Γυϊμέλμ. Βεβεργίε παυδέκλωις, Τόμ. Β'. Σελ. 306. καὶ ἐν ταῖς Συλλογ. τῶν Ἀρδκίν. Συνόδ. Τόμ. ε'. Μέρ. Α'. Σελ. 342. καὶ Σελ. 118. μόνον Λατινισί.

Πάπα Ἰωάννε τῦ Η'. Λεγάτοι, παρῆσαν τε, καὶ συγκαλέθαντο, πολλῷ τηλαυγέστερον τὴν Ἰωάννε ἀποδείκνυσι δόξαν, ἢ ὥστε ταύτῃ τῇ τῦ Βαρωνιανῦ Σοφισματίᾳ ἀχλύϊ, ἀμαυρωθῆναι αὐτὴν δύναθαι.

Φανερὸν τοίνυν, τὰς μὲν Γραικὰς τὸ τὴνικαῦτα πάντας, τότε δόγμα ἐκεῖνο, καὶ τὴν προθήκην ἐκθύμως ἀποσυγῆσαι· Τὰς δὲ Λατίνας ἅπαντας μηδαμῶς, μήτε τὴν προθήκην, μήτε τὸ δόγμα αὐτὸ ἐπικυρώσαθαι. Ἀλλὰ τὰς μὲν, καὶ τυχὸν τὰς πλείονας παραῤῥυῆναι· πολλὰς μέντοι γε προσέτι, καὶ τῦ ὑγιεστέρε τότε φρονήματος ἔχεθαι. Ἐν οἷς ἡγεμονεῦντα εἶδομεν Ἰωάννην τὸν Η'., τὸν τοῖς Λατίνοις, τοῖς τὰς ἰδίας Πάπας ἀποθεῦσι, φοβερὸν ἀεὶ, ὡς εἰκὸς ἐσόμενον.

Ἐνταῦθα δὲ, ὡς ἐκ παρόδε σημειῶν ἄξιον, τὸ ἐφεξῆς. Τὸν Πάπαν τῦτον Ἰωάννην, ἀρχαία τις φήμη ἐκ οἷδ' ὁπόθεν διαῤῥῦσασα, Θήλειαν γενέθαι παρέδωκεν. ἧπερ δὲ τῦτο ἀναφέρεσι Μαρτῖνος τε ὁ πολωνὸς· Παλαιὸς μὲν, παχὺς δέτις Ἱστορίας ἀναγραφεύς· καὶ Πλάτινας εἰς τὸν Ἰωάννε βίον· καὶ Σιγεβέρτος· καὶ ἄλλοι. Παντοίως δ' ἐτράπησαν παῖδες Λατίνων, τὴν Ἱστορίαν ταύτην ἀνασκευάσοντες. (*) Τελευταῖον δὲ Λέων ὁ Ἀλλάτιος βιβλίον ἴδιον ἐξέδοτο, περὶ Ἰωάννης τῆς Παπίσσης· ἐν ᾧ δεῖξαι ἀγωνίζεται, τὸ αἰσχρὸν τετὶ ὄνομα ἐκ τότε Ἰωάννῃ ἐπιπλαθῆναι, ὅτι Φωτίε αὐτὸς ἀνέχετο φανῆναι ἦσαν, καὶ πρὸς τὰ ὑπὲρ ἐκείνε ἀπέκλινε, καὶ διὰ τῦτο θήλεια προσωνομάσθη. Φέρεται γὰρ Φώτιον, καθὰ καὶ τὸν τότε ἀντίζηλον Ἰγνάτιον, εὐνέχες ἀμφοτέρες γενέθαι· Ἀλλ' ὅ, τι δ' ἂν καὶ εἴη τὸ περὶ τότε, ἐκεῖνο μέντοι ὁμολογεῖ Ἀλλάτιος, φιλίως πρὸς ἀλλήλες εὖ μάλα διατεθεῖθαι Ἰωάννην καὶ Φώτιον.

Καὶ

(*) Ὅ, τι δοξασέον περὶ τὴν ὅλην ταύτην Ἱστορίαν Ἰωάννης τῆς Παπίσσης, ὅρα Λαυρέντιον Μοχέμιον, ἐν τῇ Εἰσαγωγῇ τῆς Ἐκκλησ. Ἱστορ. ἐν Ἑλμσαδ. 1755. Σελ. 326. Ἔνθα καὶ πολλὰς Συγγραφὰς, ἐξ ἑκατέρα τῦ μέρες ἀσάγεται.

Καὶ ἐπὶ τὸν αὐτὸν ἔν χρόνον ὁ Ἀκυληίας Μητροπολίτης, εἴτ' ἔν Πατριάρχης, τῶν Ἰταλῶν Ἐπισκόπων τυγχάνων, ἐ μόνον τλιῦ προθήκλιω καὶ τὸ δόγμα ἐκεῖνο ἀπήλεγξεν, ἀλλὰ καὶ τὸ δεινὸν καθ' ἡμέραν σιωρῶν ἐπακμάζον, ἐπέσειλε Φωτίῳ παρακαλῶν τε καὶ παροτρυύων, ὡς ἂν τῇ καθ' ἑαυτὸν προχρησάμενος ἐξουσίᾳ, τῷ κακῷ ἀντεπεξέλθῃ τῷ καλασκήψαντι. Καὶ ἡ μὲν ἐκείνε Ἐπιστολὴ ἐχ ὑφέσηκε· Φανερὰ δὲ ὅμως γίνεται ἐκ τῆς Φωτίε πρὸς αὐτὸν ἀπαντήσεως. (*) Καὶ ἐδὲ Βαρώνιος, τοιῦτον γενέσθαι τὸν Μητροπολίτλιν ἐκεῖνον ἀποφησι. Διὰ γὰρ τῦτο, καὶ Σχισματικὸν ἀποκαλεῖ, ὠ Ἔτει 883. Ἀριθμ. Ε'.

Χωρήσωμεν ἔν καὶ προσωτέρω, ἕως ἔ μηδὲν ἐπέκεινα ἐπὶ τῆς δύσεως κατάλοιπον φαίνοιτο. Ἐν ἔτει τοίνυν 906. Σέργιος ὁ Πάπας Λεγάτες ἔπεμπεν εἰς Κωνσαντινόπολιν, τλιὺ τετραγαμίαν ἐπικυρώσοντας Λέοντος τ. Αὐτοκράτορος, ἣν τότω ἀπηγόρδε Νικόλαος ὁ Κωνσαντινοπόλεως, ὁ ἴδιος αὐτῦ Ἐπίσκοπος. Οἱ δὲ, ἅτε δὴ Φρονηματίαι τινὲς καὶ ἀκρόχολοι, λίαν ἀλαζονικῶς, καὶ ὡς ἄντικρυς δικασὴ ἐκεῖσε διαπρατλόμενοι, (ὡς αὐτὸς Νικόλαος χετλιάζων ἔγραφε πρὸς Ἀναστάσιον Πάπαν, τὸν τῦ Σεργίε διάδοχον). (**) Καὶ διὰ τῦτο τυχὸν, ἐδὲ ὑπὸ τῶν πολιτῶν καὶ τῦ Κλήρε εὐμενῶς τε καὶ Φιλοφρόνως ὑποδεχθάντες, ἀφορμλὶ Σεργίῳ τῦ παροξυνθλῖναι παρέχον, τλιὺ τῶν Γραικῶν μάλιστα διαφωνίαν πρὸς τὸ οἰκεῖον δόγμα προσαναγγείλαντες. Ἐνθεντοι καὶ Σέργιος, καθάπερ πρότερον ὁ Πάπας Νικόλαος, τὲς ὐ Γαλλίᾳ

(*) Ἦν Λατινιστὶ ἐκ μεταφράσεως Φεδερίκε Μετίε. ἀναφέρει Βαρώνιος ἐν τοῖς χρονικοῖς, ἐν Ἔτει 883. Ἀριθμ. Ε'. Ἑλλωνιστὶ δὲ πρῶτος Φραγκίσκος ὁ Κομβεφίσιος ἐξέδωκε, καὶ Σημειώσεσι διεσάφησεν, ἐν τῷ Ἐσχάτῳ Αὐξητηρίῳ τῆς Βιβλιοθ. τῶν Γραικ. Πατέρων, Τόμ. Α'. Σελ. 527.

(**) Τόμ. Θ'. τ. Συνοδ. Λαββέκ, Σελ. 1264. ἐν τῷ προσαρτήματι· Κεῖνται δὲ Ἐπιστολαὶ δύο Νικολ. τ. Πατριάρ. περὶ τῆς ὑποθέσ. ταύτης Λατινιστὶ παρὰ Βαρων. Ἔτ. 912. Ἀριθμ. ε'. καὶ Ἔτ. 916.

λία Ἐπισκόπες, λόγες ἀναμαςθῦσαν ἐπώτρυνε πρὸς ἐμπέδωσιν τῆ αὐτῆ δόγματος. Σαφὲς δὲ τῆτο ἐκ τῆς Τρωσλεϊανῆς Συνόδε, Κεφ. Δ', τῆς ἀνέτες 909. συςάσης, Ἐριβέρτ τῆ Ἀρχιεπισκόπε Ῥεμησίας ἀυτῇ προεδρεύοντος. (*)

Σώζεται δὲ παρὰ τᾷ Πλατίνᾳ, καὶ ἄλλοις· μᾶλλον δὲ καὶ παρ' αὐτῷ τῷ σφοδροτάτῳ τῶν Πάπων προασπις ῇ Βαρωνίῳ, περὶ τῆ Σεργίε τέτε, καὶ ἄλλων κατ' ἐκεῖνο γενομένων μιαρωτάτων Πάπων, ἐπίσημος Ἱστορία, ἀναμφιλέκτως ἔχεσα. Ὁ γὰρ Σέργιος ἕτος, τῷ ὀνόματι Γ', Χριστοφόρον τὸν Πάπαν δεσμοῖς περιέβαλε, καὶ ἐν Φρεαρᾷ καθέτηξέτε καὶ καθετρύχωσεν. Ἔπειτα δὲ καὶ Μοναςηρίε αὐτὸς ἐγκαθείρξας, ἐπὶ τὸ Παπᾶτον αὐτὸς ἑαυτὸν φέρων εἰσώθησεν. Ὃ καὶ πρότερον ἤδη, αὐτὸς ἐκεῖνος ὁ Χριστοφόρος, τὸν Πάπαν Λέοντα τὸν Ε'. εἰργάσατο. Ὡσαύτως δὲ καὶ Φορμόσον Πάπαν ὁ διαδεξάμενος Στέφανος Ζ'. ἤδη καὶ τελευτήσαντα, διὰ παλαιὰς δυσμενείας τε καὶ ἀπεχθείας, ἐς τοσῆτον ἠμώατο, ὥςε καὶ τὸν ἐκείνε νεκρὸν τῆ τύμβε ἐξορυχθέντα, ἐπὶ τῆς Ἐπισκοπικῆς ἐνιδρυθῆναι καθέδρας κελεῦσαι, καὶ τῆς Παπείας καλαργηθέντα, τῶν ἱερῶν ἀποφυμνωθῆναι ἀμφίων. Τῶν τε δακτύλων αὐτῷ ἀποτμηθέντων, οἷς πρὸς εὐλογίαν σύνηθες αὐτοῖς χηματίζεσθαι, εἰς Θύβριν τὸν ποταμὸν ἀποῤῥιφῆναι. Καὶ ἄλλα δ' ἐπὶ τέτοις παρὰ τῶν εἰρημένων Συγγραφέων Ἱστόρηται, ὡς λίαν θαυμάσια. Ὥςε καὶ αὐτὸν Βαρώνιον, ἐπὶ τῆ ἀναγραφῆ τῶν κατ' ἐκείνες τὰς χρόνες ἐλθόντων, κρύψαι μὴ δυνηθῆναι, ἀλλ' ἐποδυρόμενον ἐπιβοήσασθαι: Φεῦ! ἥτις τότε ἡ ὄψις τῆς Ῥωμαϊκῆς Ἐκκλησίας! ὡς μιαρωτάτη καὶ πάνευχρος! Καιμὶ, ὑπὸ τῇ τοιᾷδε ὄψει, ὦ καλὲ Βαρώνιε, τὸ ὑμέτερον τετὶ δόγμα ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐνηδρύθη, καὶ ἤλθησε, καὶ τέως

(*) Περὶ τῆς Συνόδε ταύτης μετιτέον τὰς τῶν Συνόδ. Συλλογ. τῶν τε Βασιλικῶν Τόμ. ΚΔ'. Σελ. 716. καὶ Φιλίπ. Λαβ. Τόμ. Θ'. Σελ. 520. κξ. καὶ Ἰωάν. Ἀρδεκίνε Τόμ. ε'. Σελ. 503. καὶ τὰς λοιπὰς Συγγραφᾶς, ὅρα ἐν τῇ τὲ πλανῆ Φραγκ. Βαλχίε, Hiſtorie der Kirchen-Verſammlungen, Σελ. 589.

τέως ἅπασαν καλαλαβὸν τλὺ πρὸς δυόμενον Ἥλιον, τῆς Ἀνατολῆς ἀπέστησεν.

Καίτοι δὲ περὶ τὰς χρόνους ἐκείνους ἔπω τοσαύτη ἦν, ὅση νῦν μεταξὺ Γραικῶν καὶ Λατίνων ἐστὶν ἡ διαφωνία, καί τινα ἔτι ἑνώσεως ὑπεφαίνετο ἴχνη, τοῦτ' ἀλλ' ἦν ἐχὶ δι' ἄλλο σωιέβαινεν, ἢ ὅτι διὰ τὸ μῆκος τ. διαστήματος, καὶ τὸ πάνιον τῆς ἐπιμιξίας, μήπω δὴ παρὰ Λατίνοις ἐπισηριχθὲν ἐκεῖνο τὸ καινὸν δόγμα, ἠγνοεῖτο μὲν καλὰ τὸ ὐντελὲς παρὰ τοῖς Γραικοῖς, παρημέλητο δὲ καὶ ἡ ἐκείνε ἔρευνα, ἐπινυσταζόντων τῶν ἐπισκόπων, καὶ πρὸς μηδὲν ἐπιστρεφομένων, ὅ,τι μὴ σφίσιν ἀνῆκον ὡς ἴδιον. Ἀμαυρὰ δ' ἦν καὶ τὰ τῆς ὑπόσεως ἴχνη ἐκείνης· Οὐδ' ἄλλως, εἰμὴ διάτινα ὐπεπισκήπτεσαν ἀνάγκιν θαμινὰ φαινόμενα· Οἷον ὅτι, Λέων ὁ Αὐτοκράτωρ, παρὰ τ. ἰδίε Ἐπισκόπε τέτραγαμεῖν μὴ ἐπιτραπεὶς, ἀνέτρεχεν ἐπὶ τλὺ τ. Ῥώμης ἀντίληψιν. Ἢ ὅτι, Θεοφύλακτος ὁ τ. Αὐτοκράτορος ὑιὸς, ἐπὶ τλὺ Πατριαρχείαν παρεισωθέμενος, τῆς ἡλικίας μὴ παραχωρέσης, τλὺ ὑπὸ τ. Πάπα προσκύρωσιν ἐζητεῖτο· Καὶ τοιαῦτα ἕτερα. Οἱ γὰρ ὐ δυνάμει, ταῖς ἑαυτῶν ἐπιθυμίαις δελόυλες, τί θαυμασὸν εἰ τῆς εὐθύτητος παρεκφέρονται, καὶ πάσης ἕτοιμοι εἰσὶν ἐπιδράτεσθαι προσασίας, εἰ μόνον τὸ τ. δικαίε διασώζοιεν ἐπικάλυμμα, καὶ φύκος τοῖς ὀφθαλμοῖς τ. χύδιν ὄχλε ἐμβάλοιεν; Ἐπειδὴ τοίνυν ἐπ' αὐτλὺ τ. Λατινικ. Σχίσματος τλὺ ἀκμλὺ γενέθαι δοκ. (ὅσον ἀνήκει δηλ: πρὸς τὸ δόγμα τόδε· καὶ γὰρ καὶ ἄλλα ὑπὲρ ἀριθμὸν μικρὰ ἄτοπα ἐπισωρεύθλωται ἃ διέλιπεν ἄχρι τότε·) ἵνα δὴ μᾶλλον τὰ εἰς τόδε εἰρημένα ᾖ εὐμνημόνευτα, κατ' ἐπιτομλὺ αὐτὰ βραχυτάτλυ σωάψωμεν.

Ἡ περὶ τῆς Ἐκπορεύσεως τ. Ἁγίου Πνεύματος διαφωνία, ψευδῶς ἀπὸ τῶν Νεωρίε χρόνων λαμβάνεται· Ψευδῶς δὲ, καὶ ἀπὸ τῶν καθ' ἕς περιλῶ ὁ Ἱερὸς Μάξιμος. Τλὺ δ' ἀρχλὺ ἔχε, περὶ τλὺ Η'. τῶν ἀπὸ Χριτ. ἑκατονταετηρίδων λήγεσαν, καὶ τλὺ Θ'. ἤδη ἀρχομένλυ, ἐξ ἀφορμῆς τ. Ἱεροσολυμίτε Μοναχ. Ἰωάννε, ὅς τὸ

ζήτημα τόδε κινῆσαι λέγεται. Ἀρξαμένων τότε δηλαδὴ πρὸς ἀλλήλους συζητεῖν τῶν Λατίνων, καὶ εἰς τ' ἀναντία ἀπομεριθέντων· καὶ τῶν μὲν προϊσαμένων τὸ δόγματος, τῶν δὲ ἀντιφερομένων. Ἐκ μὲν ἓν τῶν ἀνθικαθισαμένων τῷ δόγματι ἐπίσημοι γεγόνασιν Ἀλβῖνός τε Ἀλκεῖνος, καὶ Παυλῖνος ὁ Ἀκυληΐας. Συγκροτηθείσης ἔπειτα δὲ, τῆς ἐν Ἀκυϊτανράνῳ Συνόδου, ἡ ζήτησις αὕτη κεκίνηται μὲν ἐν αὐτῇ, ἐδὲν δὲ διώρισαι. Μεθ' ἕτερον δ' ἐντεῦθεν οἱ ὑπὸ Καρόλου ἀπεσταλμένοι πρὸς τὸν Πάπαν Λέοντα τὸν Γ. ἦκασι Λεγάτοι. Ὁ δὲ Πάπας, καίτοι τι μὲν ἐξαπατηθεὶς, τῷ δόγματι ἐκείνῳ συνήνεσε, τιλὶ δέτοι τῷ δόγματος προσθήκιλι ἐν τῷ Συμβόλῳ καίεκρινε· καὶ πρόσγε μείζονα προφυλακιλὶ εἰσέπεισα, τὰς θρυλλεμένας πίνακας ἐκείνας, ἀπαραίρωτα ἐν αὐτοῖς τῷ Συμβόλῳ γραφέντος, ἔσησαν. Ὅθεν δῆλον, τὰ μέγιστα ἐξαμαρτάνειν, τὰς τιλὶ ἐν τῷ Συμβόλῳ προσθήκιλι διατεινομένας, ἀρχαιοτέρων εἶναι τῷ Γ. Λέοντος. (*) Προῆκλαι δ' ἐφεξῆς τὸ δόγμα παρὰ

(*) Ἐν ᾧ αἱ πρῶται τῷδε τῇ Βιβλίᾳ Σελίδες ὑπὸ τῷ πιεζῆρι τῷ τύπῳ ἔτι ὑπῆρχον, ἤκουσι ἐν χερσὶ Βιβλιάριον, ᾧ ἐπιγραφή: Γεωργίῳ Κυπρίῳ, Πατριάρχῃ Κωνσταντινοπόλεως, βίος· ἐκ Λαγδανο-Βαπτιβικῆ Κώδικος νῦν πρῶτον, ὑπὸ Βερνάρδε M. de Rubeis, Ἐνετίησιν 1753. τυπωθείς· μετὰ καὶ δύο Διατριβῶν Ἱστορικο-Δογματικῶν· Ὧν, ἡ μὲν Α'. περὶ τῶν κυριωτέρων Γεωργίῳ τῷ Κυπρίῳ πράξεων· καὶ περὶ τῆς Ἐκπορεύσεως τῷ Ἁγίῳ Πνεύματος, ἐκ τῷ Πατρὸς καὶ ἐκ τῷ Υἱῷ, ἢ διὰ τῷ Υἱῷ, πραγματεύεται· Ἡ δὲ Β', περὶ τῆς προσθήκης τῆς Φωνῆς τῷ Υἱῷ, τῆς ἐν τῷ Συμβόλῳ· Ἔνθα πολλὰ, σύμφωνα τοῖς τῷ ἐμῷ Συγγραφέως, (Θεοφάνες τῷ Προκοπόβιτζ), ἢ γᾶν τὰς ἐκείνε δόξας διασαφῆντα, κατάληφα· Περὶ πάντων δὲ, ὅτι καὶ ὁ M. de Rubeis ἕτος ἐ καὶ τῷ Λατίνων προϊσταται Δόγματος· Ἀλλ' ἐν τῇ δευτέρᾳ τῶν αὐτῷ Διατριβῶν, τιλὶ ἐν τῷ Συμβόλῳ προσθήκιλι τῆς καὶ ἐκ τῷ Υἱῷ Φωνῆς, ἔμενεν ἐπὶ τῶν Δκμένσε τῷ Πάπα, καὶ τῆς ἐν Κωνσταντινοπόλει Συνόδε χρόνων· Οὐδὲ ἐπὶ τῷ Ἱερᾷ Μαξίμε, καὶ τῆς ς'. Συνόδε γενέσθαι τῆς Οἰκεμενικῆς· Ἀλλὰ πρῶτον μὲν, ἐν ταῖς καθ' τιλὶ Ἱσπανίαν Ἐκκλησίαις, τῆς ς'. Ἑκατονταετηρίδος παρακλινάσης· Ἔπειτα δὲ, καὶ ἐν ταῖς καθ' Γαλλίαν καὶ Γερμανίαν· καὶ ἐπὶ Ἰταλίας Καρόλε τῷ Μάγνε ἀνάσσοντος,

παρὰ Νικολάου Α'. τοῦ Πάπα, καὶ εἰς τὴν τῶν Βουλγάρων χώραν εἰσηλθεν· Ἀλλ' ὑπὸ Φωτίου ἐλήλεγκται, καὶ τέως ὑπὸ τῆς Συνόδου, τῆς Φώτιον αὐτὸν ἀποκαλεσησάσης, συναίμου τῇ προδήκῃ καθαιρεθέντος. Ἐξαιρέτως δὲ τελευταῖον, ὑπὸ Ἰωάννου Η'. τοῦ Πάπα, καὶ ὑπὸ τοῦ Ἀκυληίας Πατριάρχου ἀπεξωσράκισται. Κατισχύσαν γεμὴν ἴσχυσε παρὰ Λατίνοις, ἐξ οὗ μάλισα Σέργιος ὁ Πάπας τὸν ἐν Γαλλίᾳ Ἐπισκόπου ἐπὶ τῷ ἐκείνου ἄμωμον προῃρέπων ἀπήλειφε· καὶ ἕως τέως ἡ τῶν Ἐκκλησιῶν διχοστασία ἐγένετο.

Διαφόρως ἔπειτα, τὰ μεταξὺ ἀμφοτέρων τῶν Ἐκκλησιῶν πράγματα ἔχον· καθ' ἡμέραν δὲ τὸ χάσμα ἐπερρώνυτο, ὡς τοῖς ἀναλεγομένοις τὰ κατ' ἐκεῖνο χρονικὰ δῆλον γίνεται. Ἀηδέστατος δ' ἐστὶν ὁ τοσάκις μνημονευθεὶς Λέων ὁ Ἀλλάτιος ὃς περὶ τῆς διωνεκοῦς Συμφωνίας τῶν Ἐκκλησιῶν Ἀνατολικῆς τε καὶ Δυτικῆς, Βίβλον ὅλην συγγεγραφὼς, συσκιάσαι ὁ μέλεος ἀγωνίζεται, τὸ διὰ τοσούτων χρόνων ἐπὶ γῆς ἀπάσης προδηλότατον. Καθ' ἕκασον γὰρ ἐνιαυτὸν μικρὸν, ἐπιφέρειτι, τὸ καλὸν τὸ φαινόμενον τῇ συμφωνίαν ἐκείνῃ δοκῶν ἐπισωρεύειν. Οὐδὲν ἀλλ' ἢν πλέον ἢ εἰκασίας προτίθησι· τὰ πλεῖστα, ἵνα μὴ διὰ παντὸς εἴπω, Συγγραφεῖς ἀνακαλεῖται ἀσημοτάτους, ἡμιβαρβάρους, ἡμιξέμονας, ἢ

 ἀνθρώ-

πους, κατὰ βραχὺ, καὶ τῶν Ῥώμης αὐτῶν Ποντιφίκων ἤτοι ἀγνοούντων, ἢ καὶ μηδόλως ἐπισυδοκούντων, ἐγκατισχύσαι. Τὸ δὲ μετὰ τῆς τοιᾶσδε προδήκης Σύμβολον, ὑπὸ τῶν Λατίνων Μοναχῶν, τῶν ἐν τῷ Ὄρει τῶν Ἐλαιῶν, κατὰ τὴν Παλαιστίνην, ἐν ταῖς ἱεραῖς τελεταῖς ἀναγινώσκεσθαι, ἢ καὶ ᾄδεσθαι· καὶ διὰ τοῦτο ὑπὸ Γραικῶν αὐτὸς ἐλέγχεσθαι. Ἐν δὲ τῇ κατὰ Ῥώμην Ἐκκλησίᾳ τὴν προδήκην, μήτε ἀναγινωσθῆναι, μήτε ἀναγινωσθῆναι, μήτε ᾄδεσθαι ἐπὶ Καρόλου τοῦ Μάγνου, καὶ ἐφεξῆς· Οὐδὲ δι' ὅλου τοῦ χρόνου, καθ' ὃν Φώτιος περιῆν. Ἀλλ' ἤδη ἐπὶ τῆς ΙΑ'. Ἑκατονταετηρίδος, Βενεδίκτου ὀνομαθέντος τοῦ Η'. τὸν Παπικὸν Καθέδραν κατέχοντος· καὶ Ἐρρίκου τοῦ Α'. Αὐτοκρατορεύοντος, ἐν Ἔτει 1014. Τῷ φωνῇ ταύτῃ, καὶ ἐκ τοῦ Ὑιοῦ, τῷ Συμβόλῳ προσεθέναι. Ἃ δὴ πάντα θαυμαστῶς ἀποδείκνυσι· Ταύτῃ τοι καὶ περὶ τοῦ προκαμόντος τὸ ῥηθὲν Βιβλιαρίου, ἐκ ἂν ὠφελείας ἄνευ ἀναγινώσκοιτο.

ἀνθρώπες γωνιαίες, παιδαγωγὲς παρημελημένες, κακοχόλες, τριοδαίες, καὶ μόλις πίςεως τινὸς ἀξίες· Ὧν ἐπειδὰν ἡμῖν ἐκεῖνος ἀναγινώσκει τὰ ἀποσπάσματα, πρὶν ἢ ἀκέσεως τῆς καλὰ τλῶ ἀπόφανσιν περιόδε, τλῶ ἀπειροκαλίαν ἐπιγνώσῃ τῶν λήρων, καὶ ναυτιάσεις. Καὶ τοιέτες ἔμπης Ἀλλάτιος ἡμῖν, ὡς μάρτυρας παρεισωθεῖ ἀξιοπιςοτάτες· Ἀνὴρ λόγων τρόφιμος! Παρεσημειώσαντο τόδε ἐν αὐτῷ τὸ πλημμέλημα Ἄνδρες παιδείᾳ διαφέροντες. (*) Παρεσημειώσατο δὲ καὶ ὁ Σοφώτατος Ζοιρνικάβιος. Καὶ ὁμολογητέον μὲν, πολυμαθῆ γενέθαι τὸν Ἄνδρα· Ἀλλὰ καὶ θαυμάζειν αὐτῷ πάρεσιν, ὅτι κάπισα τὸ ἴδιον καλεβάλετο ἔργον. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, καὶ τὰς ἧτλον ἐπισήμες περιπλοκὰς παραλιπόντες, τὰς θρλιώδεις εἴδωμεν τραγωδίας, αἳ καθεζῆς, ἐκ τῆς τοσαύτης διαφωνίας ἐξερράγησαν.

Ὑπερβαίνομεν τοίνυν ὡσεὶ Τριακοσίες αὐτὲς, τάς τε ἄλλας ἀναφυείσας ἔριδας, ὡς μὴ τοσέτε γενομένας, καὶ δὴ καὶ τλῶ Μιχαὴλ Κηρελαρίᾳ τῷ Κωνσταντινοπόλεως Πατριάρχᾳ, μελὰ Οὐμβέρτε τῷ Παπικῷ Λεγάτε, παρερχόμενοι· (**) Σωτείνομεν δ' ἐπὶ τὸ τέλος τῷ κράτες Μανεὴλ τῷ Κομνλῷ· ἐκεῖ γὰρ ἔχομεν ἀφθόνως ἐφ' οἷς διατρίψαιμεν.

Μανεὴλ τῷ Αὐτοκράτορος τελεθτήσανλος, ἐν ἔτει 1200. ἐπέβη τῷ θρόνε ὁ Τύραννος Ἀνδρόνικος. Τότε δὲ ἀναιρεθέν-

(*) Εἷς ἀντὶ πάντων ἂν ἄῃ Φριδερίκος ὁ Σπαγχέμιος, ὃς Διατριβὴν ἰδίαν, περὶ τῆς δλωσεκῆς διαφωνίας τῶν Ἐκκλησιῶν, τῆς τε τῶν Ἀνατολικῶν Γραικῶν, καὶ τῆς Ῥωμαϊκῆς, κατὰ Λέοντος τῷ Ἀλλατίε, Πέτρε τῷ Ἀρκαδίε, καὶ τῶν Νεωτέρων ὁμοψήφων συνέγραψεν· Ἥτις δὴ κεῖται ἐν τοῖς αὐτῷ πονήμασι, Τόμ. Β'. Βιβλ. Δ'. Σελ. 488. Ἐκδόσ. Λεγδκνο-Βαταβ. 1703.

(**) Τὰ ὑπὸ τῷ Συγγραφέως ἐνταῦθα παρελαπόμενα, ἄρισάτε, καὶ ἄνωθ τῆς πρὸς τὸν μερῶν θάτερον ἐπικλίσεως, καθυπεγράφη, ὑπὸ τῷ Εὐκλεῆς Ἰωάν. Γεωργ. Βαλχίε, ἐν τῇ Ἱσορ. τῆς Διαφορᾶς τῆς περὶ τῆς τῷ Ἁγ. Πνεύματος ἐκπορεύσ. τῇ ἐκδοθάσῃ ἐν Ἰένῃ 1751. Κεφ. Γ'. καὶ Δ'.

ρεθέντος, Ἰσαάκιος Ἄγγελος Αὐτοκράτωρ ἀναγορεύεται. (*) Μεθ' ὃ δὲ τοῦτο, Ἰσαάκιον τὸν κράτος ἅμα καὶ τῆς ὄψεως ἀποστερεῖ, καὶ ἐν φρουρᾷ καθείργνυσιν Ἀλέξιος Κομνηνὸς ὁ Αὐτάδελφος, καὶ αὐτὸς βασιλεύει. (**) Ἀλέξιος δὲ ὁ τοῦ πηρωθέντος Ἰσαακίου Υἱὸς, φυγὰς διασώζεται ἐπὶ Σικελίας, πρὸς τὸν ἐκεῖ αὐταδέλφιον αὐτοῦ Βασιλίδα, βοηθόν τε καὶ χεῖρα ἐξ αὐτῆς αἰτησόμενος. Συνεκύρησε δὲ τηνικαῦτα, τὸ εὐκαίρως στρατιὰν Λατίνων μεγάλην, ὑφ' Ἡγεμόσι, Βαλδεΐνῳ τε Φλανδρίας Κόμητι, καὶ Δανδόλῳ τῷ Βενετίκῳ, καὶ ἄλλοις, διὰ στόλου πλέειν ἐς Παλαιστίνην καθ' ὑπὲρ τῶν Σαρακηνῶν. Ὁ τοίνυν Ἀλέξιος σωφρονῆς ἑαυτῷ τότε καθικετεύει γενέσθαι, πολλάκις καὶ μεγάλα καθυποχόμενος· Πρὸς δὲ δὴ τοῖς ἄλλοις, ὅτι καὶ τὰς Ἀνατολικὰς Ἐκκλησίας πρὸς τὸν μετὰ Λατίνων ἐν τοῖς Ἱεροῖς ἕνωσιν ὑπαγαγέσθαι σπεύδοι, ἐὰν διὰ τῆς αὐτῶν ἀντιλήψεως τὸν Πατρῷον κλῆρον ἐπανακτήσηται. (***) Τούτοις οἱ Λατῖνοι ἐπιδελχθέντες, εὐθὺ τῆς Κωνσταντίνου τὸν πλοῦν ἀνακάμπτουσιν. Ὁ δὲ Κομνηνὸς, τοῖς ἀντιμάχοις ἐκ ὧν Ἰσόρροπος, ἀποδιδράσκει τῆς πόλεως, καὶ ἀντὶ τούτου ὁ τυφλωθεὶς Ἰσαάκιος τῷ δεσμωτηρίῳ ἐξάγεται παρὰ τῶν Πολιτῶν, καὶπὶ τὸν θρόνον πάλιν ἀποκαθίσαται. Αὐτίκα δὲ, καὶ τὸν ἐξαγγελθέντας τῷ Υἱῷ καὶ τοῖς ἡγεμόσιν ἀποστέλλει, ὡς ἂν ἔτω δηλονότι φθάσας προκαλάβῃ τῆς πόλεως τὸν ἐκ-

(*) Ὅρα Νικήτ. Χωνιάτ. Βιβλ. Β'. ἐν Ἀνδρόνικον, περὶ τὸ τέλος, Σελ. 226. Ὁ δὲ Νικήτας ἕτος ὁ Χωνιάτης, ἦν ἐν τῇ Κωνσταντ. αὐλῇ Μέγας Λογοθέτης τῶν Σεκρέτων. καὶ ἐπὶ τῶν Κρίσεων Γενικὸς, καὶ Ἔφορος καὶ Κριτὴς τοῦ Βήλα, καὶ προκαθήμενος τοῦ Κοιτῶνος Ἡνίκα δ' οἱ Λατῖνοι, Ἔτει 1204. Τῷ Κωνσταντίνῳ πορθήσαντες κατέσχον, φυγὰς ᾤχετο εἰς Νίκαιαν πόλιν τῆς Βιθυνίας. Καθεῖσε συνέγραψε Βιβλ. ΚΑ'. περὶ τῶν πεπραγμένων ὑπὸ τῶν Κωνσταντινοπ. Αὐτοκρατόρων, ἀπὸ Ἔτους 1118. ἄχρις Ἔτους 1203. Κεῖνται δὲ ταῦτα ἐν τῷ Σώματι τῶν Συγγραφέων τῆς Βυζαντινῆς Ἱστορίας, Ἐκδοθ. ἐν Παρισ. 1647.

(**) Ὁ αὐτὸς χωνιάτης ἐν Ἰσαάκ. Βιβλ. Γ'. περὶ τὸ τέλος. Σελ. 289.

(***) Χωνιάτης ἐν Ἀλέξιον Βιβλ. Γ'. Σελ. 348.

πόρθησιν. Οἱ δὲ, ἔτε πορθεῖν ἐπαύσαντο, ἔτε τὸν υἱὸν ἐπανόδουαν ἀπολύσαι, πρὶν ὅσα ἔτος αὐτοῖς καθυπέξη, καὶ ὁ Πατὴρ αὐτὸς, ἅπαντα πιστὰ ἕξειν ὁμολογήσειεν. (*) Ἦν δὲ καὶ ὑπόχεσις Ἀλεξίῳ τῷ Ἀγγέλῳ ἑτέρα, χρημάτων πλῆθος ἀμύθητον ὅσον· Ἅπερ ἐπεὶ ἐδ' αὐτοῖς ὑπῆρχε τοῖς Αὐτοκράτορσιν ἀποκείμενα, ἐδ' αἱ τῶν ἑαλωκότων Ἑλλήνων περιουσίαι ἐξήρκεν, τὰ σκεύη σεσύληται τὰ τῶν Ἐκκλησιῶν, καὶ Λατίνοις δέδοται. Ἐν ᾧ γὰρ ἔτω πάντοθεν αὐτοῖς ἠργυρολογεῖτο, ἐν τούτῳ οἱ Λατῖνοι ἀγρεύς τε τὰς παρασείας, καὶ ἱερὰ τεμένη, καὶ Βασιλέων Ἀνάκτορα, διηρπαζόντε καὶ καλεπυρπόλεν, καὶ ἐδὲ τὸ πολεμεῖν ἀπεπαύοντο· Διανίσαντας πρὸς ταῦτα ὁ δῆμος, καὶ τὰς κρατῆσας καλὰ τῶν πολεμίων ἐπικαλέσαντας συλλήπτορας. Τοῖς δὲ τολμᾶν ἐκ εἰλῶ. Τί γὰρ καλὰ τῶν προσαιτούντων καὶ δυώμενο; Διὸ ἕτερος Ἀλέξιος Δόκας, τὸ πίκλω Μαρζοῦφλος, εἰς μάχλω ἐξέθορεν· Ὁ δέτοι ὄχλος μελαξὺ μαίνεσθαι ἐ διελελοίπει· ὕβρεσί τε καὶ λοιδορίαις καλαπλώων τὰς Αὐτοκράτορας· Ἐπὶ δὲ τλῶ Μεγάλλω Ἐκκλησίαν σωερρυηκότες, περὶ ἐκλογῆς ἐβαλόντο καινῆ Αὐτοκράτορος. Ἀλλ' ἐδεὶς ἀπονενόηται προσέσθαι προσφερόμενον οἱ τὸ διάδημα. Τελευταῖον μεθ' ἡμέραν τρίτλω, νεανίας τις Νικόλαος Καναβὸς, ἐπὶ τὸ Κράτος πρὸς βίαν ἔλκεται. Ἀλέξιος δὲ ὁ Αὐτοκράτωρ δεινοῖς τοσέτοις πιεζόμενος, βαλλῶ φήσας μελὰ τῆ Ἡγεμονεύοντος Λατίνων διενοεῖτο, στρατιωτικὸν ἐξ αὐτῶν εἰς τὸ Παλάτιον εἰσαγαγέσθαι, δι' ὧν τὸν Αὐτοκράτορά τε τὸν ἀναγορευθέντα νέον, καὶ τὸν στασιάσαντα δῆμον, παραβιάσαιτο. Τλῶ ἓν βαλλῶ ὁ Μαρζοῦφλος τοῖς πελεκυφόροις ἀνακαλύψας, καὶ προσαγαγόμενος αὐτὸς, Ἀλέξιον μὲν τὸν Ἄγγελον ἐγκαθείργνυσι, καὶ τὰ τῆς Ἀρχῆς παράσημα ἑαυτῷ λαμβάνει, Νικόλαον δὲ Καναβὸν τὸν ἕτερον Αὐτοκράτορα, ὑπὸ τῶν οἰκείων καλαλειφθέντα, συχνὸν φρεαῖ παραδίδωσι· Τέως δὲ καὶ τὸν Ἄγγελον Ἀλέξιον, μηδὲν παθόντα ὑπὸ τῆς αὐτῷ ἐπορεχθείσης δηλητηρίε κύλικος,

(*) Χωνιάτης ἐν Ἰσακίκιον τὸ δεύτερον βασιλεύσαντα, Σελ. 354.

λικος, αὐτὸς Μερζέφλος βρόχῳ ἀπήγξεν. (*) Ἐπεῖτα περὶ εἰρήνης πρὸς Λατίνους διαπρεσβεύεται, καὶ ταύτης ἀποτυγχάνει διὰ τὸ τραχὺ τῶν σιωθηκῶν καὶ ὑπερογκον. Ὥστε τὴν πόλιν ἐς τέλος οἱ Λατῖνοι καταπορθήσαντες, τοσάτους ἐκ τῶ Λαῶ ἔργον μαχαίρας πεποίηνται, ὡς περὶ τὰς σφαγὰς τὸν στρατιώτην ἀπειρηκέναι ἐξατονήσαντα. Καὶ προελθὼν μὲν ὁ Μερζέφλος τοῖς πολεμίοις συμβαλέσθαι ἀπεπειράσατο, μηδὲν δ' ἀνύσας, εἰς φυγὴν καὶ αὐτὸς ἐτράπετο. Τῇ ἐν ὑστεραίᾳ, μελὰ ταυρῶν ὁ Κλῆρος καὶ εἰκόνων πρὸς ὑπαντὴν τῶν πολεμίων ἐξήλθοσαν· Ἀλλ' οὐδὲ τοῦτο τι αὐτοῖς συνετέλεσεν. Εἰς τοσοῦτον γὰρ ἀλαζονείας ὁ ἐχθρὸς ἐξεμήνατο, Ὡς μὴ μόνον καὶ οἶκον ἅπαντα, καὶ Ναὸς ἱερὰς, ἄγειν τε καὶ φέρειν, ἀλλὰ καὶ τὰ μυσικὰ ποτήρια ἐπὶ γῆς ἐκχέαι, καὶ μαρτύρων λείψανα ἐν ἀφόδοις ἀποῤῥίψαι, καὶ ἱερὰς εἰκόνας ποιῆσαι εἰς καταπάτημα· καὶ παρθένων δὲ φθοράστε, καὶ ἁρπαγὰς, καὶ ἀθεμιτομιξίας παντοίας τολμῆσαι, καὶ τῶν ἄλλων ἀνοσιουργημάτων, μηδὲν ὅλως παραλιπεῖν. Ἀλλὰ καὶ γυναικαρίοντι Λατινικὸν ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ, ἐπὶ τῶ Πατριαρχικῶ σιωθρόνῳ ἱζῆσαι, κεκλασμένον ἀφῆκε μέλος, καὶ πολλάκις περιδινηθὲν εἰς ὄρχησιν τῷ πόδε παρενεσάλθε· Ταῦτα μὲν ἐν ἡμῖν, ὡς οἰόντε βραχυλογοῦντες ἐπιτρέχομεν, σιωτομίας φροντίζοντες. Ὅς δ' ἂν ἀκριβέστερον τὴν φρικώδη τραγῳδίαν ἐκείνῳ ἐφίοιτο καλαμαθεῖν, μετίτω δὴ Νικήταν τὸν Χωνειάτην (ἐξ ὧ ταῦτα ἐπιτεμνόμεθα·) ἐπὶ τῆς Βασιλείας Ἰσαακίε τε καὶ Ἀλεξίε, καὶ τῆς Δέκα τῶ Μερζέφλε· καὶ ἔτι τὸ Βιβλίον, ἐν ᾧ τὰ μελὰ τὴν ἄλωσιν συμβάντα τῇ πόλει σιωέγραψε. (**) Μελὰ δὴ τὴν πανωλεθρίαν ταύτην, καὶ τὰς τοσαύτας διαπαργὰς, διεκηρύχθη παρὰ Λατίνων, ἐπιτρέπεσθαι τοῖς Γραικοῖς, ὅσοι ἂν ἐθέλωσιν, ἐξιέναι τῆς πόλεως. Ἐξήρχοντο δὲ πάνυ πλεῖστοι ἱλαδὸν ὥστε

(*) Νικήτ. ὁ χωνειάτης ἐπὶ τῆς Β'. Ἰσαακίε Βασιλείας περὶ τὸ τέλος.

(**) Κεῖται δὲ τόδε τὸ Βιβλίον, ἐν τῇ Συλλογῇ τῶν Βυζαντιγῶν Ἱστορικῶν, μετὰ τὴν Ἀλεξίε τῶ Μερζέφλε Ἱστορ. Σελ. 363. κξ.

ὄρνεις, ἢ (καλὰ τὸν Χωνιάτιν εἰπεῖν) ἐπίσης ἀγορᾷ μυρμήκων διιόντες τὰς τριόδους· ἡγεῖτο δὲ τούτων ὁ Πατριάρχης, ἐπὶ δυσὶν ὀναρίοις ὀχέμενος· Ἀλλὰ καὶ ἔτος αὐτὸς, ὁ τὴν Ἱστορίαν ἡμῖν ἀναγράψας, μέγα δὴ μέρος τῶν τοιούτων ἐγένετο συμφορῶν, καὶ ὅσα γε πέπονθέτε καὶ ἔδρασεν, αὐτόσε ἡμῖν διεξίεται· Νικήτας, φημὶ, ὁ Χωνιάτης, ἀνὴρ σοφώτατος, καὶ ἐν τιμαῖς τὸ τηνικαῦτα μεγάλαις ἐπιφανέσταλος.

Τῆς τοίνυν Κωνσταντινοπόλεως ἔτως ἁλόσης, καὶ ὑπὸ Λατίνοις ἤδη γενομένης, Αὐτοκράτωρ εὐθὺς ἀνήρηται ἐκ τῶν Φράγκων Βαλδεῖνος, ὁ Κόμης Φλανδρίας· Πατριάρχης δὲ ἐκ τῶν Βενετίκων, ὀνόματι Θωμᾶς. Οὕτω γὰρ Φράγκων μεταξὺ σωτεύθειτο καὶ Βενετίκων, ἵν' οἱ μὲν τὸν αὐταρχήσοιλα, οἱ δὲ τὸν Πατριαρχεῖσοντα δοῖεν. Περὶ ὧν ἅπάντων Βαλδεῖνος τῷ Πάπᾳ ἀνήγγειλεν. (*) Ἦν δὲ τότε Πάπας Ἰννοκέντιος ὁ Γ'., ὃς Λεγάτον ἀπέστειλεν, ὀνόματι Πελάγιον, μετ' ἐξουσίας (ὡς αὐτὸς φησὶ) τῇ οἰκοδομῆσαι, καὶ φυτεῦσαι, καὶ καταλύσαι. Ὅπερ ἐν τῇ Ἰννοκεντίᾳ Φάσκελᾳ 104. Ἐπιστολῇ, καὶ ἐξ ἄλλων. (**) Ὁ γὰρ Πελάγιος ἔτος, μανικὸς ἄνθρωπος, ὡς ἐπὶ τηνικῶ Κωνσταντίνῳ ἀφίκετο, δυοῖν θάτερον τοῖς Πολίταις πρὸβάλλετο, ἤτοι θανεῖν ἑλέσθαι, ἢ ἀποδόσασθαι τηνικῶ ἕνωσιν· καὶ τὰς μὲν Ναὰς ἀσφαλισθῆναι ἐκέλευσε· Τῶν δὲ Μοναχῶν τε καὶ Κληρικῶν, τὰς ἤτοι μὴ τῆς Πόλεως ἐξελθόντας, ἢ πάλιν ἐπανακάμψαντας, ἐν δεσμοῖς ἐνέβαλλεν. (***) Ὅς καὶ μείζονας ἂν ἔτι ὁ παμμόχθηρος

(*) Ὡς δῆλον ἐκ τῶν πεπραγμένων Ἰννοκεντίῳ τῷ Γ'. Κεφ. 101. Ἁ συνάλλα πάσαις ταῖς Ἰννοκεντίᾳ Ἐπιστολαῖς, καὶ σὺν τοῖς Δεκρεταλίοις ἐξέδοτο Βαλάζιος ἐν Παρισ. 1686. Ἐν δυσὶ τόμοις ἀκεραιοφύλλοις. Αἱ δὲ Ἰννοκεντίᾳ Ἐπιστολαὶ αὗται ἐμφέρονται καὶ ἐν τῷ Βεβλαρίῳ, ἐν τοῖς χρονικοῖς Βζοβίᾳ, Ῥαϋνάλδᾳ, Βαδδίγγῳ, Σπονδανῷ, καὶ ἐν ἄλλαις Συλλογαῖς.

(**) Παρὰ Ἀδάμ Ζοιρνικαβίῳ, ἐν πραγματέᾳ τῇ μήπω Ἐκδοθείσῃ (* Ἐκδοθείσῃ δ' ἦν τέως Ἔτει 1774. 1775.) Καὶ ἐν ταῖς Ἰννοκεντ. Ἐπιστολ. ἅς Βαλάζιος ἐξέδοτο ἐν Τόμ. Β'. Βιβλ. ις'. Σελ. 798.

(***) Ἡ διέξασι Γεώργ. ὁ Ἀκροπολ. ἐν τῇ Ἱστορίᾳ τῶν μετὰ τὴν Κωνσταν-

ρος ἐτέλεσε τραγῳδίας, εἰμὴ Ἑρρίκος ὁ τῦ Βαλδεΐνε, ὃς τότε, τῦ πατρὸς ἀλόντος ὑπὸ Βλγάρων, τὴν ἀρχὴν διέζωσε· τῇ ἐκείνε αὐθαδίᾳ ἀντιπροσέξη· Ὡς ὁ αὐτὸς ἐμαρτύρει. Γέγραφε δὲ κατ' αὐτὸ τὸ χρόνε ὁ Πάπας Ἰννοκέντιος, καὶ πρὸς διαφόρες τῶν τὴν Ἑλλάδα ἐχόντων Μεγισάνας Λατίνες, ἐποτρυνων, ὅπως τρόποις παντοίοις ἐπὶ τὴν ἕνωσιν τὲς Γραικὲς ἀναγκάζοιεν, ὡς δῆλον γίνεται ἐκ διαφόρων τῶν ἐκείνε Ἐπιστολῶν. (*) Παρὰ ταῦτα δὲ, καὶ διὰ προτροπῆς τῦ αὐτῦ Πάπα, ἐσμὸς ἐκ τῦ Λατινικῦ Κλήρε, ἀριθμὸν ἐκ ἔχων, δίκην Ἀκρίδων ἐπὶ τὴν Γραικίαν ἐπεπόλασαν, Ἐπίσκοποι, Ἱεροποιοὶ, Μοναχοὶ, καὶ τοιῦτοι ἕτεροι. (**) Ὅθεν οἱ Γραικῶν Ἀρχιερεῖς, καὶ ὅσοι προεδρεύοντες ἐν τῷ Κλήρῳ, εἰμὴ τὸν Πάπαν προσκυνεῖν, ἀπὸ τῶν ἰδίων ἀπηλαύνοντο θρόνων, καὶ ἐν αὐτοῖς Λατῖνοι ἐνίπλαντο. Καὶ ἐπὶ τὲς αὐτὲς δὲ χρόνες, καὶ θεάματά τινα ἐπίσημα οἱ Λατῖνοι καθεχορήγησαν, ἅλωσίν τε δὴ, καὶ ἐν Κύπρῳ μάλιστα τῇ Νήσῳ, καὶ ἐν Θεσσαλονίκῃ, τῇ τῶν ἐν Μακεδονίᾳ προεχέσῃ πόλεων. Τὸ μὲν ἓν Κύπριον δράμα, ἔχομεν παρὰ Λέοντι τῷ Ἀλλατίῳ ἀνάγραπτον. (***) Μοναχὲς γάρ τινας τῶν ἐκεῖ, τὲς σὺν αὐτοῖς κοινωνεῖν μὴ θελήσαντας, δι' ὅλης τριετίας καθείρξαντες ἐν Δεσμωτηρίῳ, παντοίοις κολάσεων βασάνοις ἐκάκωσαν· Τελευταῖον δὲ μὴ πειθομένες, σώματι γᾶν, ὁμολογῆσαι Λατίνες ὀρθὰ φρονεῖν, ἐκμανέντες, τὲς μὲν αὐτῶν ἁρπαῖς ἵππων προσδήσαντες, δι' ἀποτόμων τε καὶ ἀνοδιῶν καθηλώσαν συρομένες· Τὲς δὲ

Κωνσαντ. ἅλωσιν ὑπὸ Λατίνων πεπραγμένων. §. ΙΖ'. Σελ. 15. Ἥτις κατὰ ἐν τῷ τῶν Βυζαντ. Ἱστορικ. Σώματι, Παρισ. Ἑλλησι καὶ Λατινισὶ ἐκδοθέντων, Ἔτει 1651.

(*) Ἃς πάσας ἐν δυσὶ Τόμοις διαταχθείσας, μετὰ τῶν Δεκρεταλίων τῶνδε τῦ Πάπα, ἐξέδωκε Στέφανος ὁ Βαλέζιος, ἐν Παρισ. 1682. Τὸ δ' αὐτὸ φησὶ, καὶ πολλὰς τῶν τοιάτων τῦ Ἰννοκεντίε Ἐπιστολῶν ἀναφέρει καὶ Ἀβραὰμ Βζόβιος, ἐν τῇ ἐξακολεθήσει τῶν Χρονικῶν Βαρωνίε, ἐν Ἔτει 1204. Τόμ. ΙΓ'.

(**) Βζόβιος ἐν Ἐτ. 1205. ἐν τῷ Αὐτῷ Τόμ. ΙΓ'. τῶν Χρονικῶν.

(***) Ἐν τῷ Β'. Βιβλ. τῶν περὶ τῆς διλωσεκῆς Συμφωνίας ἑκατέρων τῶν Ἐκκλησ. Ἀνατολ. καὶ Δυτικ. Κεφ. ΙΓ'. Ἀριθ. 1.

προέχοντας, αὐτὸς καμίνῳ καιομένῃ ἐνέβαλον. Ἀββᾶν δέτινα Ἰωάννιν, ἐπὶ πολὺ ἀν μέσῳ τῷ πυρὸς Ἱσάμενόντε καὶ προσδοκόμενον, τῶντις Λατίνων Ἱππέων ἐκμανεὶς, δόραλι βαλὼν ἀν μέσαις ταῖς φλοξὶ καὶηδάφισε· καὶ ἔτως ὁ μακάριος ἐκεῖνος τὴν ἁγίαν ψυχὴν τῷ Θεῷ παρέθετο. Τῆς δὲ πυρᾶς τέως ἀποσβεθείσης, καὶ τῶν λειψάνων ἀκεραίων εὑρεθέντων, ὁσᾶ πολλῶν ἔτι ζώντων, καὶ θηρίων ἀκαθάρτων προσεπισωρεύσαντες, καὶ πυρκαϊὰν καινὴν προσυφάψαντες, εἰς τέφραν ἅπαντα ἤμειψαν. Ὠγεμὴν Ἀλάτιος, θαυμασὸν τὸ ἔργον, φησὶ, τόδε γενέσθαι, καὶ ἐπαίνε τῷ παντὸς ἄξιον, ἀνὴρ ἐπιεικῶς ἔκφρων, καὶ ἀνοίας ἀνάπλεων τῷ Πάπα ἀνδράποδον.

Τί δ' ἄρα καὶ ἀν Θεσσαλονίκῃ διεπράξαντο Λατῖνοι, ἐς πλάτος διέξεισι Νικήτας ὁ Χωνειάτης, ἐπὶ τῆς Βασιλείας Ἀνδρονίκε τῷ Κομνηνῷ. Ἐξ ὧν ἡμεῖς, ὀλιγίσων ὧδε τινῶν παραψόμεθα. Γυιλέλμος ὁ Σικελῶν Ῥὴξ, Ἀλεξίῳ τῷ Κομνηνῷ, ὑπὸ μὲν Ἀνδρονίκε ὑπεροφίῳ ἀπελαθέντι, πρὸς αὐτὸν δὲ πρόσφυγι γενομένῳ καὶ ἱκέτῃ, παρέχε συμμαχικόν. Ὁ δὲ στρατὸς ἔτος Θεσσαλονίκην ἐκπορθήσας, καὶ εἰσβαλὼν, ἐδὲν ἀπίστειας τε καὶ ὠμότητος καὶ ἀσεβείας εἶδος παρέλιπεν, ὃ μὴ ἐποίησεν. Οἰκίστε γὰρ διήρπασαν καὶ Ναὸς, καὶ τὸς πολίτας ἀ μόνον περιεσίαντε καὶ ἐπισκύλιν πᾶσαν ἀφεῖλον, ἀλλὰ καὶ ἧς ἔφερον ἐσθῆτος ἐξέδυσαν, ἄχρι γυμνώσεως. Καὶ τροφῆς δὲ αὐτῆς ἀπεστέρησαν· Πολλὰς δὲ καὶ παντοδαπᾶς καθυπέβαλον βασάνοις, ἵνα θησαυρὰς αὐτὰς λανθάνοντας ἐκδηλώσωσιν. Ὄλεθρος δὲ μέγας λιῶ ἀνὰ πᾶσαν τὴν πόλιν, ὡς καὶν τοῖς ἱεροῖς αὐτοῖς, εἰς ἃ προσεφύγὼς ὁ λαὸς ἐτύγχανεν, ἀπανθρωποτάταις ἐπεξελθεῖν ἅπασι. Προσηῦξε δὲ τὸ δεινὸν τῆς συμφορᾶς, ἡ παρὰ τῶν ἐξωλεστάτων χλεύη, εἰς ὑπερβολὴν ἰταμότητος καὶ προπετείας ἐλάσασα. Τοῖς γὰρ Ἀσκοῖς, ἐξ οἴκων ἰδίων ἀπενεχθεῖσιν, ἐπὶ κοπρίας τε καθημένοις, καὶ ἀγροικικὰ ἄττα σῖτα, ἅπερ ἂν σφίσιν ἡ ἀθλιότης χεδιάσειε, προσφερομένοις. ἐπιόντες οἱ μοχθηρότατοι Σικελοὶ, οἱ

μὲν

μὲν τῷ ποδὶ πατάσσοντες ἀνέτρεπον τὰ λοπάδια, οἱ δὲ εἰς ἄκρον ἀναιδείας τὸ χλεύασμα ἐπιτείνοντες, καὶ ἕτερα τῶν ἀποπωτάτων ἐποίουν, ἃ ἐδ' ἀκέειν ἀνδρὶ φρίκης, μήτοιγε δὴ διεξιέναι θέμις ἐστίν. (*) Οὐ δὲ μείζων ἡ περὶ τὰς ἱερὰς Σηκὰς αἰδὼς αὐτοῖς ἰών. Ἐπὶ γὰρ τῆς εὐαγῦς τραπέζης προπετῶς βαίνοντες ἐπορχῆντο· καὶ περὶ τὸ ἱερὸν ἔδαφος κύκλῳ ἰόντες προσέρευ. Ἐπισάντες δὲ τῶν εἰς Θεὸ δόξαν τελεμένας ὑπὸ τῶν εὐσεβῶν ἁγιστείας, καγχασμοῖς ἀνειμένοις, καὶ ᾠδαῖς ἀσέμνοις καὶ ἀκολάστοις, καὶ ὑλαγμοῖς ἀγρίοις τε καὶ θηριώδεσιν ἅπας ἐπλήρεν τὸν ἀέρα, ὡς τὰς τῆς Ἐκκλησίας ὕμνες μηδαμῶς ἐξακέεσθαι. Ἔστι δ' ἐν τοσούτοις ἀνοσιεργήμασιν ἐξαίρετόν πως ἐκείνο τινῶν, καὶ ὅλως μνημονεύεσθαι ἄξιον, τὸ τόλμημα. Ἦν ἐν Θεσσαλονίκῃ ὁ τῦ Μεγαλομάρτυρος Δημητρίε περίβλεπτος Ναὸς, ἐν ᾧ τὰ ἐκείνε τεθησαυρισο Λείψανα, μῦρα ἐκβλύζοντα. Ἐκεῖσε τοίνυν οἱ Σικελοὶ εἰσπηδήσαντες, ἐς τοσῦτον ἤλασαν ἀπονοίας τε καὶ παραφροσύνης, ὥσε (τῦ δὲ Συγγραφέως τὰ ῥήματα·) καὶ τὸ ἐκ τῆς Σορῦ ἀναδιδόμενον μῦρον, καδδίοις καὶ λέβησιν ἀρυόμενοι, ταῖς τῶν ἰχθύων λοπάσιν ἐνέχεον, καὶ τὸ τῦ ποδὸς σκύτος ταῖς μυραλοιφαῖς ἐλίπαινον. Καὶ πρὸς τὰς λοιπὰς ὑπηρεσίας, ὅσας παρὸν τὸ ἔλαιον διατίθησι, χύδιν καὶ ἀσώτως ἐκέχριστο. Ἀλλὰ μακρὸν ἂν εἴη ἕκαστα ἐκπεριελθεῖν. Ὦ ποσαὶ Ἐριννύες τὸς ἀνθρώπος ἐκείνος ἤλαυνον! Ἴτω νῦν, καὶ τινὶ θλιψεκῆ αὐτῦ συμφωνίαν προσαδέτω ἡμῖν Ἀλλάτιος. Μηδ' ἔπτοις, τὰς τοσάσδε ταύτας ἀνοσιεργίας ὑπὸ τῦ στρατιωτικῦ ὄχλε, καὶ προπέτειαν, ἐχὶ δ' ὑπὸ ἔχθος τῦ καλὰ τῆς θρησκείας, τολμηθῆναι. Τἐναντίον γὰρ, ἐκ τῦ τοσύτε τῶν ἱερῶν πραγμάτων καλαχλεύασμῦ ἀναφαίνεται· καὶ τὰ πραττόμενα πρὸς ἓν ἐκεῖνο ἀπεσκόπευν, ἵν' ἅπας οἱ Γραικοὶ σκυλόμενοι, τὰς νικηθείσας εἰς ἕνωσιν ὀρέξειαν χεῖρας. Ἐν παρόδῳ δὲ σημειωτέον ὧδε, ὡς μνήμης ἀξίαν, τινὶ τῶν δύο

(*) Ὅς δ' ἂν ἐθέλοι ταῦτα ἀνακυκῶναι, αὐτὸν μετίτω τὸν τῦ πράγματος μάρτυρα Νικήτ. Χωνιάτ. ὅς ἐς πλάτος τινὶ δραματεργίαν τινὰδε διέξεισιν, ἐν τῷ Α'. Βιβλ. §. 9. εἰς τὸν Ἀνδρόνικον.

δύο Αὐτοκρατόρων, τῶ μὲν Γραικῶ, τῶ δὲ Λατίνῳ, καὶ αὐτοφωλιὰ. Ὁ γὰρ Μαυζάφλος Δέκας, περὶ ὃ ἀνωτέρω εἴρηται, Λατίνοις ἀλοὺς, καὶ περὶ Ἀλεξίῳ τῶ Ἀγγέλῳ, ὃν διὰ ἀγχόνης τοῦ βίου ἐξήγαγε, κελευσθεὶς ἀπολογηθῆναι, ἀπὸ κίονος ὑψηλοῦ λίαν, κάτω κάρα δικασθεὶς καὶ κρημνίσθη, ὡς Ἱστορεῖ χωνειάτης εἰς Βαλδουῖνον, ὃ πόρρω τῆς καλαρχῆς. Βαλδουίνῳ δὲ ἡ καλαυροφὴ τοιάδε ἐγένετο. Καλέιχετο μὲν ἔτος οὗ Τερνόβῳ τῆς Βλαγαρίας δέσμιος, συλληφθεὶς ὅτε Βλαγάροις ἐμαχέσατο· Ἐπειδὴ δέτις, Ἀσπιέτης ὄνομα, ἐκ Βλαγάρων ἐπὶ Λατίνους ἀποσὰς ᾤχετο, Ἰωάννης ὁ Βλαγαρίας ἀνάσσων θυμῷ ὑπερζέσας, τῆς εἱρκτῆς Βαλδουῖνον ἐξαγαγὼν, τὰς μὲν πόδας ἀπὸ γόνατος, τὰς δὲ χεῖρας ἐκ βραχιόνων πελέκει ἀποκοπιῶαι ἐκέλευσεν· Εἶτα καλεὰ κεφαλῆς ἐπὶ φάραγγος ὠθισθῆναι· ὅπερ, τρεῖς ἐξαρκέσας ἡμέρας, ἐλεεινῶς τὸν βίον καλέσρεψε. Τηλικότοις τοίνυν κακοῖς οἱ Γραικοὶ πιεζόμενοι καὶ καλατρυχόμενοι, σὺν αχῷ ἄκοντες δῆτα, ἀλλὰ τῳ ἕνωσιν ἀσπάσασθαι ἠναγκάσθησαν· οἷον, οἱ σὺν Θεσσαλονίκῃ, καὶ οἱ ἐκ Κορίνθου, καὶ ἄλλοι· Καὶ σωεκροτήθη δὲ ἄρα σὺν Ἔτει 1215. Σιώδος μεγάλη ἡ Λατεράνιος· Ἐν ᾗ, δεδογμάτισαι τὸ Ἅγιον Πνεῦμα ἐκπορεύεσθαι ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ· (*) Ἐξ ὧν, καὶ τόδε πρὸς τοῖς ἄλλοις ἡμῖν οἱ Λατῖνοι ἀντιπροβάλλειν εἰώθασι, τοὺς Γραικοὺς, φάσκοντες, πολλάκις μὲν τῳ ἕνωσιν ἀποδέξασθαι· αὖθις δὲ πάλιν διὰ τὸ τοῦ τρόπου ἀλλοπρόσαλλον ἀθετῆσαι. Ἀλλὰ μάταιοι εἰσὶ, καὶ ψεῦδεῖς· Ἡ γάρ τοι Σιώδος ἐκείνη, ἐκ Λατίνων σωαγήγερτο. Εἰδέ τινες καὶ Γραικοὶ παρῆσαν, οἷα τοσαύταις συμφοραῖς τεθραυσμένοι, καὶ ἑτέρους ἐπ' αὐταῖς κινδύνους ἐτύγχανον ὑποπλήσοντες. Ἔνθα δὲ τὸ ἐλεύθερον τῆς θρησκείας σὺν ἀσφαλεῖ αὐτοῖς ἰῶ, εἰς ὃδε εἰς ὤφθη ποτὲ, ἔχων ἐπιρρεπῶς πρὸς τῳ ἕνωσιν. Εἰμήτις τυχὸν ἐκ τῆς ἀγέλης τῶν παρασίτων· Οἷοι καὶ καθ' ἡμᾶς, ἐκ παντὸς μονονυχὶ

(*). Τῆς Συνόδε ταύτης τὰ Πρακτικὰ, ἐν ταῖς Συλλογαῖς τῶν Συνόδων φέρεται. Ἐν τῇ Βασιλικ. Τόμ. ΚΗ. Σελ. 116. καὶ Φιλίπ. Λαμβέκ Τόμ. ΙΑ'. Μέρ. Α'. Σελ. 117. καὶ Ἰωάν. Ἀρδκίν. Τόμ. Ζ'. Σελ. 1.

χὶ γένες, ἑαυτὲς τοῖς Τέρκοις περιτμηθησομένες παρέχεσιν.

Ἐν ᾗ ἦν τινικαῦτα ἐπικρατείᾳ ὁ Μαρκέσης Montis-Ferrati, οἷον δὴ λάχος κεκληρῶτο καλειληφὼς, αὐτῦ τελευτήσαντος, ἡ γυνὴ χηρεύσα τινὶ ἐλευθερίαν Γραικοῖς ἐπέτρεπε· Διὸ καὶ πάντες οἱ ἐκεῖ, τινὶ μελὰ Λατίνων ἀπεσυγχύντες ἀπετρέποντο κοινωνίαν. (*) Ὁμοίως δὲ, καὶ οἱ μελὰ τινὶ ἄλωσιν τῆς πόλεως ἐπ' Ἀσίαν μεταναστεύσαντες, ἔνθα καὶ πολλοὶ τῶν Ἀσῶν καλέφυγον, θρόνον ἐκεῖ νέον τῦ Κράτες, ἐν Νικαίᾳ πόλει τῆς Βιθυνίας, ἱδρύσαντες· καὶ ἄλλοι δὲ πολλοὶ πολλαχῦ· Ὡς ἐκ τῶν Ἰννοκεντίε Πράξεων, καὶ τῶν ἐκείνε Ἐπιστολῶν, διὰ πλειόνων σωήγαγον Ἀδὰμ ὁ Ζοιρνικάβιος. (**) Τί δὲ ἆρα; μὴ καὶ τὲς Ῥὼς αὐτὲς ὑποσυκάψειέτις τινικαῦτα τῇ ἑνώσει ἐνασμενίσασθαι, ὅτι, Ῥωμανῦ τῦ Δεκὸς τὸ ζιῶ μελαμείψαντος, Κολομάννον τὸν Ἀνδρέε τῦ Ῥηγὸς Οὐγκρίας Υἱὸν, εἰς Ἄρχοντα ἑαυτοῖς ἠρετίσαντο; (†) Καὶ ὅτι, ὁ ῥηθεὶς Κολομάννος Ἰννοκεντίῳ τῷ Πάπᾳ ἐπιστέλλων ἐδήλε, ὡς ὁ Χαλίκης δῆμος καθυποχοιτο οἱ, τινὶ ἑνῶσιν παραδέξεσθαι; (††) Κἀντεῦθεν καὶ ὅτι, Ὑακίνθε τῦ Δομινικανῦ, ἐν Ἔτει 1230. αἰτησαμένε Μοναςήριον Δομινικάνιον ἐπιτραπῆναι αὐτῷ ἐν Χαλίκῃ συσήσασθαι, ὡς Μιχώβιος μαρτυρεῖ· (†††) Καὶ ἐν Κιαίβῳ δὲ ἕτερον, ὡς ὁ Κρωμέ-

(*) Δῆλον ἐκ τῆς Ἰννοκεντίε 103. Ἐπιστολῆς Καταγραφῆ Γ'.

(**) Ἐν Πραγματείᾳ ΙΖ', ἅπω ἐς Φῶς προϊέσῃ· Ἀπὸ Σελ. 1335. κξ. *Ἡ δὴ δοκεῖ, ὁ Σημειογράφος ἐν τῷ ἤδη τὰς Ζοιρνικαβίε Πραγματείας τυπῶσθαι, τὰς ἔτι ὑγρὰς ἐκ τῦ πιεςῆρος προεξερχομένας Σελίδας ἐλάμβανεν. Εἰμήτις ἀπεῖν προέλοιτο, ὅτι Σελίδας ἐνταῦθα ἀριθμολογᾶ, τὰς ἐκ τῦ χειρογράφε Κώδικος, ὅς αὐτῷ ἐν χερσὶ παρῆν.

(†) Ἡ διέξασι Κραμέρος ἐν τῷ Χρονικῷ, περὶ Ἀρχῆς τε καὶ τῶν πεπραγμ. τοῖς Πολωνοῖς· Ἐν τῷ Σώματι τῆς Πολωνικ. Ἱσορ. τῷ ὑπὸ Ηιςορίε Ἐκδοθέντι ἐν Βασιλείᾳ, Ἔτ. 1580. Σελ. 524.

(††) Ζοιρνικάβ. Σελ. 1377. ἐκ τῦ Α'. Τόμ. τῶν Ἀνατολικ. Ἐπιςρατ.

(†††) Βιβλ. Γ'. Κεφ. 73. Σελ. 89. Ἐν τοῖς Πολων. Χρονικ. τοῖς πυρὰ Πιτορ. Ἐκτυπωθ. Τόμ. Β'.

Κρωμέρος· (*) Οἱ τῶν Ῥὼς Μεγάλοι Δᾶκες, αὐτοὶ ὠκοδόμησαν; Καὶ ὅτι, ἐν Ἔτει 1246. Δανιὴλ ὁ Δὲξ Ῥωσίας ἑαυτὸν, μελὰ παντὸς τᾶ ὑπ' αὐτῷ ἔθνες, εἰς ὑπακολύ τε καὶ ἕνωσιν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας μεταβήσεθαι ἐπηγγείλατο; (**) Ταῦτα δὴ πάντα καὶ εἰ, καθάπερ ἱστορῆται, ἔτω σωέβαινεν· Οὐδέντι τὸ ἀληθὲς παρέβλαψεν ἂν τὸ παράπαν, καὶ ἐκ ἄλλω, ἢ λαγώων τινὰ ψυχλὼ διέσεισεν. Ἀλλ' ἔμπης, καὶ ἀνεμώλια ταῦτα ἐσί· Καὶ γὰρ οἱ Ῥὼς, τὸν Κολομάννον ἐκεῖνον, δέει τᾶ μὴ τλὼ θρησκείαν αὐτοῖς μεταρρέψαι, τᾶ Κράτες ἀπήλασαν. (***) Δανιὴλ δὲ, ὑπέχελο μὲν τὰ πρὸς ἕνωσιν, ἐκ ἐνέμεινε δὲ τοῖς ὑπεχημένοις, ἀλλὰ καὶ τἐναντίον εἰργάσαλο· (†) Καὶ δᾶτερον δὲ, ὁ αὐτὸς Δανιὴλ τλὺ ἕνωσιν ὑπιχνεῖτο ἐνώπιον τᾶ Παπικᾶ Λεγάτε· (ὡς ἂν ὑπ' αὐτᾶ δηλονότι εἰς Βασιλέαν τεφθείη, μείζονά πως ἐντεῦθεν τλὺ Αὐθεντίαν παρὰ τοῖς Λατίνοις Δωάσαις ἑαυτῷ προμνώμενος.) Ἀλλ' ἐδ αὖτη ἀληθὴς λὶ ἡ ὑπόχεσις, ὡς τὰ πράγμαλα ἔδειξε· Πολλὲς γὰρ ὁ Δανιὴλ καὶ πολωνῶν διήθλησε πολέμες, ἢ παρὰ τοῖς ἐρημνοῖς Συγγραφεῦσι δῆλον γίνεται. Διὸ καὶ Μιχώβιος, ἐν οἷς τὰ περὶ τῆς ἐκείνε τελᾶτῆς ἀναγράφει, Σχισματικὸν ἀποκαλεῖ. (††) Τὰ δέτοι τῶν Δομινικανῶν Μοναςήρια, ἐδὲν, ἢ ψαμμώδη εἰσὶ τῆς κοινωνίας προπύργια. Πρὸς γὰρ ἔνδειξίν τινα φιλίας, ἤτοι οἱ Δᾶκες ἐκεῖνα ἀνήγειραν, ἢ, ὃ καὶ πιθανώτερον, ἀνεγερθῆναι ἐπέτρεψαν.

Μελὰ τλὺ τῆς πόλεως ἅλωσιν πλανώμενοι οἱ Γραικοὶ, ἄλλοι ἄλλη, Αὐτοκράτορα, ἢ Ἡγεμόνα σφίσι προσεξελέξαντο. (Ὧν εἷς καὶ ὁ Μαρζᾶφλος ἐκεῖνος ἐγένετο·)

Τελὸς.

(*) Αὐτ. παρὰ τῷ Εἰρηνι. Πισορίῳ Τόμ. Β'.

(**) Ὡς Μιχώβ. καὶ Κρωμέρ. Ἱσορᾶσι παρὰ Πισορίῳ Αὐτ.

(***) Κρωμέρος Βιβλ. Ζ'. τῶν Χρονικ. Σελ. 525.

(†) Κρωμέρ. αὐτόθ. Βιβλ. Θ'. Σελ. 555.

(††) Ἐν Βιβλ. Γ'. Κεφ. 56. Σελ. 116. τῶν Πολων. Χρονικ. παρὰ Πισορίῳ ἐν Τόμ. Β'.

Τελευταῖον δὲ ἐν Νικαίᾳ Αὐτοκράτωρ ἀνηγόρευται Θεόδωρος ὁ Λάσκαρις. (*) Θεοδώρου δὲ, μετὰ ὀλίγα καὶ δέκα ἔτη οἷς ἦρξε, τὸ ζῆν ἐκμετρήσαντος, διεδέξατο τὴν ἀρχὴν Ἰωάννης Δέκας, ὁ ἐκείνου Γαμβρός· (**) Ἄρξας δὲ καὶ ἔτος, ἔτεσι τρισὶ πρὸς τοῖς τριάκοντα, ἀπεβίωσεν. Ὑπὸ τούτῳ γὰρ τῷ Ἰωάννῃ, ἀπόπειράτις ὁμονοίας, μεταξὺ Λατίνων ἐγίνετο καὶ τῶν Γραικῶν, τοῦ Αὐτοκράτορος αὐτοῦ ἐποτρυνόντος τὸν Πάπαν, καὶ τὸ ἐκείνου μνημόσυνον, ἐν ταῖς ἰδίαις Ἐκκλησίαις αὐτῷ καθυπισχνουμένου, εἰ μόνον αὐτὸς τοῖς ἐν Κωνσταντινουπόλει Λατίνοις συμμαχικὰς πέμπειν δυνάμεις ἀπόσχοιτο. (**) Ὁ δ' αὐτὸς ἔτος Ἰωάννης, τὴν μὲν Αὐταδέλφην τοῦ Ῥηγὸς Σικελίας ἠγάγετο ἑαυτῷ γαμετήν· Τὴν δὲ ἰδίαν θυγατέρα, τῷ ἐν Κωνσταντινουπόλει Αὐταρχοῦντι Ῥοβέρτῳ εἰς γάμον συνέζευξεν. (†) Ἀλλ' εἰς ἀδὴν τὸ βούλημα τῷ Αὐτοκράτορι συνετέλεσε. Κατ' ἐκεῖνο δὲ δὴ τοῦ χρόνου ἐβίου, καὶ Νικηφόρος Βλεμμίδης ὁ Μοναχὸς, ὁ καὶ θεωρίᾳ καὶ πράξει ὑπὸ Γρηγορᾶ μεγαλωύμενος. (††) Πρῶτος δὲ αὐτὸς Γραικὸς Ἀνὴρ, ὑπὲρ τοῦ Λατίνων συνέγραψε δόγματος· λάθρα δ' ἦν, διὰ τὴν τῶν πολλῶν ὑπόληψιν. (†††) Διεδέξατο τοίνυν τὸν

(*) Νικηφόρος Γρηγορᾶς Βιβλ. Α'. Κεφ. Β'. Σελ. 7. τῆς Παρισ. Ἐκδόσ. Ἔτ. 1702. ἐν τῷ Σώμ. τῶν Βυζαντ. Ἱστορ.

(**) Ὁ αὐτὸς Γρηγορᾶς Βιβλ. Β'. Κεφ. Α'. Σελ. 12.

(***) Λέων Ἀλλατ. Βιβλ. Β'. τῆς διλωσεκ. Συμφ. τῶν Ἐκκλησ. Κεφ. ΙΔ'. Ἀριθμ. Β'. ἐκ τοῦ Παχυμέρους.

(†) Ἀλλάτιος αὐτὸς αὐτόθ. Ἀριθμ. 1. ἐκ τοῦ Ἀκροπολίτου.

(††) Βιβλ. Γ'. Κεφ. Α'. §. 2.

(†††) Ἢ Γρηγορᾶς φησὶ Βιβλ. Ε'. Κεφ. Β'. ἔνθα περὶ τοῦ Βέκκου ἐξισορεῖ.

Καίτοι δὲ Νικηφόρος ὁ Βλεμμίδης ἁπάντῃ ἀλλοτρίως ἐσχηκέναι τοῦ Λατινικοῦ λέγεται δόγματος, ἐκγεμὴν τῶν ἐκείνου πονημάτων φαίνεται καὶ κατὰ Λατίνων αὐτὸν γνησίως ἀντιδιαλεχθῆναι. Σώζονται δὲ καὶ καθ' ἡμᾶς δύο τῶν τότε λόγων, περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος. Οὓς περ Ἕλληνες, μετὰ καὶ τῆς εἰς τὸ Λατινικὸν ἑρμηνείας, ἐξέδοτο Λέων ὁ Ἀλλάτιος ἐν τῇ αὐτοῦ Ὀρθοδόξῳ Γραικίᾳ,

τὸν Ἰωάννην ὁ Υἱὸς, Θεόδωρος Λάσκαρις ὁ νεώτερος· Περὶ ὃ, ὅσον ἐβασίλευσε χρόνον, ὁ Ἱστορικὸς ἡμῖν ἐκ ἐδήλωσε. Θνήσκων δὲ, κληρονόμον τῆ Κράτες, νηπιάζοντα ἔτι τὸν παῖδα καλέλιπεν· Οὗ χάριν καὶ ἕτερος ἀνεδείκνυτο Αὐτοκράτωρ, ὁ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος· ἐπίγε σωθήναις, τῆ τῷ μὲν Ἰωάννῃ τῷ παιδὶ, ἐνδιασώζειν τὴν πίστιν· ἡλικιωθέντα δὲ, καὶ τῆτον συμπαραλαβεῖν τῆ Κράτες κοινωνὸν ἐσόμενον, καὶ συμμέτοχον.

Τῶν δὲ δὴ Λατίνων Αὐτοκρατόρων ἡ πρόοδος αὕτη· Πρῶτος μὲν ἰὼν τῆς Ἀρχῆς ἐπιβὰς Βαλδεῖνος, ἢ ἀνωτέρω μνεία ἐγίνετο. Τῆτον δὲ διεδέξατο Ἑρρίκος (ἢ Ἐρρῆς·) αὐτοκασίγνητος (ἢ υἱὸς κατ' ἄλλες·) ἐκείνε γνόμενος. Ἑρρῖκον δὲ διεδέξατο Ῥοβέρτος, ὁ ἐξ ἀδελφῆς Ἀνεψιός. Ῥοβέρτον ἀτὰρ Βαλδεῖνος ἕτερος, τέτε αὐτάδελφος. Τῆ δὲ Βαλδεῖνε τότε ἐν Κωνσαντινουπόλει αὐταρχέντος, ἐν Νικαίᾳ δὲ τῇ Βιθυνῶν Μιχαὴλ τῆ Παλαιολόγε τὰ σκῆπτρα διέποντος, ἡ Κωνσαντίνε πόλις ἀπὸ Λατίνων ἀφαιρεθεῖσα, εἰς Γραικῶν χεῖρας πάλιν μεθέπεσεν. Ἀλέξιος γὰρ ὁ Καίσαρ (ἦν δὲ τῆ Αὐτοκρατορικῆ τὸ ἀξίωμα τόδε ἦσον.) σὺν ὀκτακοσίοις ὁπλίταις, νυκτὸς δι' ὑπονόμων, ἔς τῆ πρωτεραίᾳ ὑπὸ Γραικῶν Κωνσαντινουπολιτῶν δεδίδακτο, εἰσέβαλεν εἰς τὴν πόλιν, καὶ ταύτην τεταχῆ ἐκέλευσε πυρπολεῖσθαι. Βαλδεῖνος δὲ φυγὰς ἔρρει, καὶ τὸ Λατίνων δὲ ναυτικὸν, μηδὲν ὅσον τ' ἀνύειν, ἄραν ἱσία, εὐθὺ τῆς Ἰταλίας ἀπέπλει. (*) Ὅπως δὲ Λατίνες οἱ Γραικοὶ ἐν τῇ πόλει μετῆσαν, τὸ ἀνταπόδομα αὐτοῖς ἀνταποδιδόντες, Γυιλέλμος δίεσιν, ὁ ἐν Τύρῳ Λατινοεπίσκοπος. (†)

Καὶ

Τόμ. Α'. Σελ. 1. κξ. Ἐκ δὲ τῆς αὐτῆς τῆ Ἀλλατίε μεταφράσεως, καὶ Λατινιστὶ μόνον ὁ Λόγοι ἔτοι ἐμφέρονται, ἐν τοῖς Ὁδορίκε Ῥαϋνάλδε Ἐκκλησ. Χρονικοῖς, Τόμ. ΙΓ'. Τῶν αὐτῶν δὲ λόγων μέμνηται καὶ Παχυμέρης Βιβλ. ς'. Κεφ. ΚΓ'. (*) Ἀλλὰ περὶ Νικηφόρε Βλεμμίδε, μέτιθι τὴν ἐφεξῆς Ἀνάκρισιν.

(*) Νικηφόρος Γρηγορᾶς Βιβλ. Δ'. Κεφ. Β'.

(**) Βιβλ. ΚΒ'. τῆ Ἱερῆ Πολέμε, Κεφ. ΙΒ', Σιλ. 550. τῆς ἐν Βασιλείᾳ Ἐκδόσ. 1549. Τὸ δ' αὐτὸ Βιβλίον ἐμφέρεται καὶν τοῖς Ἔργοις,

ἀπλωτηκότες, προσέθεντο ἔτι καὶ κεῖνο: Ὡς, ὅσα ἂν δεήσειεν αὐτοῖς ἀναλώματα, καὶν τε νῦν, καὶν τε ὕστερον· καὶ μὰ δὴ, καὶ εἴτινας Ἀποκρισιαρίας ὁπωσδήποτε ἀποστελεῖν ἔλοιντο· καὶ ὧν προσέτι χρήζοιεν οἱ ἐπὶ τὴν Σιώδου αὐτὴν ἀπελεύσομενοι· ἅπαντα αὐτοῖς ἐπιχορηγήσειν ὡς ἥδιστα ἕτοιμοι εἰσίν. Οἱ δὲ Γραικοὶ πρὸς ταῦτα ἀπεκρίναντο: μηδαμῶς ἂν πρὸς τοῦτο αὐτοῖς ἐπικαλανεύσειν, εἰμὴ πρῶτον ἐκ τοῦ Σιωδικοῦ ψηφίσματος τὰ ῥήματα ἐξοβελισθείη, τὰ τοῖς Γραικοῖς δι' ὅλης γινόμενα. Οἱ μὲν οὖν Λεγάτοι, τὸν ὄντα τρόπον τὰ ῥήματα ἐκεῖνα ἐπεχείρουν ἰαίνειν ὑπομαλάσσοντες· Οὐδ' εἰς ὕβριν Γραικῶν ἐπίτηδες ἐπινοηθῆναι ἔφασκον αὐτὰ, ἁπλῶς δὲ ἔτω πως, καὶ κατ' ἐξαπάτην ὁμολόγουν παρεισφρῆσαι τοῦ ἀναγράψαντος· Οὐμὴν ἀλλ' ὅσον ἂν καὶ παύσαι τὸ Γραικῶν ἐπώδαζον ἄλγος, ἐς ἀδὴν σπουδὴν ἐτέλεσαν. Ἐνίσαντο γὰρ οἱ Γραικοὶ ἀνυπόδοτοι, χρῆναι λέγοντες ἐκ τοῦ Θεσπίσματος τὰ ῥήματα ἐξαλειφθῆναι· Ἢ γὰν, ἀναθεωρηθέντα καὶ ἐπανορθωθὲν ἐξ ὑπαρχῆς ἀναγραφῆναι τὸ ψήφισμα. Ἀλλ' οἱ Λεγάτοι τοῦτο ποιῆσαι ἁδαμῶς τετολμήκασι· Μηδεμίαν πρὸς τοῦτο σφίσιν ἐξουσίαν ὑπὸ τῆς Συνόδου δοθῆναι φήσαντες. Τοσοῦτον δὲ συγκατέθεντο μόνον, ἵνα καινὸν προοίμιον πρὸ τοῦ Θεσπίσματος προταχθῇ, ὅπερ, ἐὰν φιλοκρινηθὲν ἀρεστὸν εἶναι τοῖς Γραικοῖς δόξειε, σὺν αὐτῷ τῷ Θεσπίσματι ἐπαναγραφέντι, διάτινος τῶν οἰκείων ἐπανελεύσομένῳ πρὸς τὴν Σιώδου, διακομισθείη· καὶ ἔτω νέον ἐκεῖθεν ἐπαναχθείη Δεκρέτου, ταῖς τῶν ἐκεῖ Πατέρων ψήφοις τε καὶ σφραγῖσι, τὸ κράτος ἔχον καὶ τὴν ἀσφάλειαν. Τοῦθ' ὃ καὶ Γραικοῖς ἅπασι πάνυ ἔδοξεν ἀρεστόν. Διὸ καὶ περὶ τούτου πραγματεύεσθαι περαιτέρω παυσάμενοι, περὶ ἑτέρων τινῶν, τῶν ἐν τῷ Θεσπίσματι, ἤρξαντο ἀναζητεῖν. Πρὸς δὲ τοῖς ἄλλοις καὶ περὶ τοῦ τόπου, ἐν ᾧ δεήσει ἀθροισθῆναι τὴν Σιώδου, ἐ μικρὰτις ἀνεφύη δυσχέρεια. Οἱ γὰρ Γραικοὶ, μηδέποτε ἐν Βασιλείᾳ συνελεύσεσθαι ἐπινεύσειν, ἀμεταθέτως σφίσι προέθεντο· Τῶν ἓν Λεγάτων εἰπόντων, ἐνέα δὴ τόπος προκεῖσθαι ἐπὶ τοῦ Δεκρέτου ὀνόμασι, ἐξ ὧν Γραικοῖς ἐπιτετρά-

φθαι

φθαι ἐλεύθερος ἐλέσθαι, ὃν ἂν καὶ βέλοιντο· Οὗτοι τέως τὸ περὶ τῆς ἐκλογῆς τὸ τόπε διαφοραν δεῖν ἔγνωσαν ὑπερθέσθαι, τὸ νικαῦτα διοριθησομένου, ἐπειδὰν ἤδη τὰ πρὸς τὸ ἔξοδον αὐτοῖς πάντα ἕτοιμα γένηται. Παρὰ ταῦτα οἱ τῶν Ἑλληνικῶν ἐπισημότεροι μετὰ τὸ Πατριάρχε, περὶ διαφόρων Κεφαλαίων ἐσκέπτοντο βελεύόμενοι· Πρὸ δὲ τῶν ἄλλων, καὶ ὅπως ἐπὶ τὸ Πατρίδα ἔμελλον ἐπανήξειν, εἰμὴ κατ' ἔφεσιν αὐτοῖς τυχὸν ἐκβαίη τὰ τῆς σύνόδεως. Καὶ τόδε δὲ καὶ πρὸς τὸς Λεγάτες ἀνέμνησαν, ὡς ἂν ἔχωσι καὶ περὶ τέτε τὸ παρὰ τῆς Συνόδε ἀσφάλειαν. Ὃ, καὶ ἡδέως ποιήσειν οἱ Λεγάτοι ὑπέσησαν. Ἐν δὴ τέτοις πέρας ἔχε καὶ αὕτη ἡ Σύναξις. (*). Ἐν ἑτέρᾳ δὲ πάλιν σιωάξει, Χρισοφόρον οἱ Σινοδικοὶ τὸν τῦ Πάπα Λεγάτον ἠτήσαντο, ἵνα πάντα τὰ ἐπὶ τῇ ἀθροίζεθαι μελλόσῃ Σινόδῳ διαπρατόμενα ἐπιβεβαιώσηται, καὶ φύκες ἄνδ παντὸς ἐξείποι, ὅ, τι ἂν γινώσκοι περὶ τῦ Πάπα, εἰ καὶ αὐτὸς παρεῖναι τῇ Σινόδῳ προέθετο; Χρισοφόρος δὲ τὸ μὲν πρῶτον, ἀπεκκλίνοντι ὅμοιος ἰῶ, τὸ περὶ τέτε ἀπόκρισιν, ἐπεὶ δ' ὑπὸ τῶν Σινοδικῶν ἐμβριθῶς ἐπιπέπληκται, τελευταῖον συγγνώμιν ἔχειν καθικετεύσας τε, καὶ τυχὼν, καθυπέχετο, ὡς ἅπαντα ὁ Πάπας ἐπισφραγιεῖ καὶ ἐπικυρώσει, ὅσα ἂν αὐτοῖς καλὰ βελτιὼ εἴη, καὶ ἔφεσιν. (**)

Μετὰ ταῦτα σιωῆλθον αὖθις οἱ Ἑλληνικοὶ, καὶ οἱ Συνοδικοί· Ἔνθα Χρισοφόρος ὁ τῦ Πάπα Λεγάτος, χέδιν ἀπὸ τῦ ςήθες προσενεγκάμενος οἰκειόχειρον, ἐμφανῶς ἐπηγγείλατο, πᾶσαν αὐτῷ ἄδειαν καὶ ἔνδοσιν ἀπὸ τῦ Πάπα δοθῆναι, ἵνα σιωεργήσῃ καὶ αὐτὸς τοῖς Σινοδικοῖς, εἰς ἔτι ἂν ἐθέλωσι, καὶ ςέρξῃ καὶ αὐτὸς, ὡς ἀπὸ τῦ Πάπα, πᾶν ὅπερ ἂν ποιήσωσιν. Ἤδη ἔν ςέργει αὐτὸς πάντα τὰ παρ' αὐτῶν πρατόμενα, καὶ ςέρξει ταῦτα καὶ ὁ Πάπας ἀναμφιβόλως, ὡς καὶ αὐτὸς πληροφορεῖ τέτο. Ἃ πυθόμενοι οἱ ἐκ τῆς Σινόδε, ἁδὺ μὲν ἔχον ὅ, τι

(*) Συκρότηλ. αὐτ. Τμήμ. Β'. Κεφ. ΚΗ'. — ΛΕ'.
(**) Αὐτ. αὐτ. Κεφ. Λς'.

ὅ,τι καὶ ἀντειπεῖν· Μόλις ἀλλ' ἓν τὸν τῆς ψυχῆς εὐνάσαντες τάραχον καθηρέμησαν. Τότε δ' ἔτω γενομένης, ἐπιμόνως οἱ Γραικοὶ παρεκάλεν, ἵν' ὥσπερ προτακτέον εἶναι τὸ προοίμιον τῷ Δεκρέτῳ σωέθεντο, ἔτω καὶ τὸ περὶ τῆς ἐπὶ τλὺ αὐτῶν Πατρίδα ἐπανόδε Κεφάλαιον, εἰμὴ τυχὸν ἐκλελεθείη τῶν Ἐκκλησιῶν ἡ ἕνωσις, ἀνεπιτυγμένως προθεῖεν ἐπὶ τ. αὐτ. Διατάγματος. Οἱ δὲ, λόγοις μὲν ἔλεγον τ. τοῦτο, γράψαι δὲ ἐκ ἤθελον, καί τοι τ. τοῦτο πολλὰ τῶν Γραικῶν ἐπικειμένων καὶ ἀπαιτέντων. Εἶναι γὰρ ἀδιώατον, προεθεῖναι τ. τοῦτο ἐν τῷ Δεκρέτῳ ἔφασκον οἱ Σωοδικοί· Οὐδέγε ἄλλως, εἰμὴ ἐν μέρει ἔξω τ. θεσπίσματος, καὶ τὸ περὶ τῆς ὑποσροφῆς γράψαι καθυπέχοντο. Καὶ τοίνιω τὸ Δεκρέτον αὖθις ἀναγραφέντε, καὶ προοιμίῳ νέῳ ἐπαυξηθὲν, ἐμέτοιγε καὶ σφραγίσιν ἐποχυρωθὲν, Ἐρρίκῳ ἐγχειρίζεται τῷ Μαγκέρῳ, σὺν Ἐπισολαῖς τ. Αὐτοκράτορος, καὶ τ. Πατριάρχε, τοῖς ἐν Βασιλείᾳ Πατράσι διακομίσοντι· Ὁ μὲν ἓν πρὸς τλὺ Σώοδον, Χρισοφόρος δὲ πρὸς τὸν Πάπαν ἐπανέρχεται. (*)

Ἐνιαυτῷ γὲν χεδὸν παρελάσαντος, ἀνταπέσαλται παρὰ τῆς Σωόδε τὰ γεγραμμένα πάντα, ταῖς τῶν Πατέρων ψήφοιστε καὶ σφραγίσιν ἐπιβεβαιέμενα καὶ ἀσφαλιζόμενα. Καὶ τότε δὲ, ἐπιμελέτερον ὁ Βασιλεὺς ἤρξατο φράζεθαι, ὅπως ἂν τὲς παρεσομένες Πατέρας ἐπὶ τλὺ Σώοδον σωαλίσηται. Διὸ Ἀποκρισιαρίες ἐκλέξας, ἰδίαστε Ἐπισολὰς, καὶ τὰς παρὰ τ. Πατριάρχε, αὐτοῖς ἐπιθέμενος, καὶ ποσὰ δὲ χρήματα, παρ' Ἰωάννε, τ. τῶν ἐν Βασιλείᾳ Λεγάτε, ἐπιδὲς, εἰς πάσας τὰς ὑπὸ Χρισιανῶν Οἰκεμένας ἐξέπεμψε χώρας· Οἷον εἰς Τραπεζέντα, καὶ Ἰβηρίαν, καὶ Μολδοβλαχίαν, καὶ Ῥωσίαν, καὶ Σερβίαν· καὶ πρὸς τὲς Ἀνατολικὲς Πατριάρχας, τὸν Ἀλεξανδρείας, τὸν Ἀντιοχείας, τὸν Ἱεροσολύμων. Ὅθεν καιρῷ τινὸς παραῤῥυσέντος, κατ' ἔφεσιν τλὺ τ. Αὐτοκράτορος παρεγένοντο εἰς τλὺ Κωνσαντίνε, παρὰ τὲς τῶν Πατριαρχῶν Τοποτηρητὰς, καὶ πολλοὶ

(*) Συμφών. Αὐτ. Κεφ. ΛΖ'. ΛΗ'.

πολλοὶ ἄλλοι Ἄνδρες σοφοίτε καὶ περιβόητοι, πρὸς τὴν τῆς μελετωμένης Συνόδε συγκρότησιν· (*)

Τίσι δὲ ἄρα τρόποις, πρὸς τὸ τὲς Πατέρας τέτες σπουδαθροίσαθαι ὁ Αὐτοκράτωρ ἐχρήσατο, ἐδὲν δέον ὧδε διεξελθεῖν· ὃς δ' ἂν ταῦτα δι' ἐφέσεως ἔχοι μαθεῖν, μετίτω δὴ τὴν Συγκροπέλε Ἱστορίαν τῆς ἐν Φλωρεντίᾳ Συνόδε, ἐν ᾗ αὐτάτε, καὶ πλέῖσα ἕτερα φιλαλήθως εὑρήσει ἀναφερόμενα. (**) Ἡμεῖς δὲ τοῖς ἐκείνε ἑπόμενοι ἴχνεσι, προσωτέρω προβαίνομεν.

Ὁ τοίνυν Βασιλεὺς, ἐν ᾧ τὲς αὐτῷ πρέσβεις εἵστε Ἰβηρίαν, καὶ πρὸς τὲς Πατριάρχας διεπέμπετο, καλὰ τὸ αὐτὸ καὶ πρὸς τὸν Πάπαν ἀπέστελλε Κῦρον Μανουὴλ τὸν Βελλωτὴν, δηλώσοντα αὐτῷ πάντα ἤδη παρεσκευάσθαι, καὶ ὡς καὶ αὐτὸς τὸν ἐπ' Ἰταλίας πλοῦν ἀναβαλλόμενος εἴη· Ὡς ἂν καὶ ὁ Πάπας εἰδὼς, ὑπάρχῃ πρὸς τᾶτο ἕτοιμος· Ἀπέστειλε δὲ καὶ πρὸς τὴν ἐν Βασιλείᾳ Σύνοδον, Κῦρον Ἰωάννην τὸν Δισύπατον, ἵνα δείξῃ τοῖς ἐκεῖσε ὅπως ἑτοιμάζεται ὁ Βασιλεὺς, καὶ ὁ Πατριάρχης, καὶ οἱ λοιποὶ οἱ εἰς τὴν Σύνοδον ἐλθησόμενοι· καὶ ἵνα διὰ παρακινήσεως τῷ Δισυπάτῳ ἐπιμεληθῶσι κἀκεῖνοι σπεῖσαι τὰ Κάτεργα, ὥστε φθάσαι εἰς Κωνσταντινόπολιν καλὸν τὸν τῆς μεσοπώρε καιρόν. (†)

Ἀπελθὼν ἔν πρὸς τὴν Σύνοδον ὁ Δισύπατος, ἐντυχόντε τοῖς ἐν Βασιλείᾳ Πατράσι, τὰ περὶ τῆς τῶν τριήρεων Ἀποστολῆς διεπράξατο· Ἐπανιὼν δὲ ἐκεῖθεν καὶ πρὸς τὸν Πάπαν μετέβη, κἀκεῖνον διήγειρεν ὁμοίως, ἵνα κἀκεῖνος τριήρεις πέμψῃ, εἰς Ἰταλίαν τὲς Γραικὲς μεταπομισόμενος, καθὼς ἐφάνη ἀπὸ τῷ πράγματος. (††) Ὁ γάρτοι Πάπας αὐτίκα, ὡς ἔμαθε παρ' ἐκείνε, τριήρεις τέτταρας εἰς Κωνσταντίνε ἐκπέμπει, ἐν αἷς, ὅ, τε Δισύπατος, καὶ ὁ Βελλωτὴς, καὶ οἱ Γραικῶν πρόστε τὴν Σύνοδον

(*) Συνοπ. Τμήμ. Γ'. Κεφ. Β'.
(**) Αὐτ. αὐτ. καὶ Κεφ. Γ'. καὶ Δ'.
(†) Αὐτ. Τμήμ. Γ'. Κεφ. Ε'.
(††) Αὐτ. αὐτ.

δον καὶ πρὸς τὸν Πάπαν ἀποσαλέντες πρέσβεις, ἅμα δὲ καὶ ὁ τῦ Πάπα αὐτῦ Λεγάτος σιὼ Ἐπισκόποις τρισὶν, ἐλθόντες, ἀνήγγειλαν τῷ Βασιλεῖ, ὡς ὁ Πάπας σωεβιβάθη μελὰ τῆς αὐ Βασιλείας Σινόδε, καὶ οἱ πλείονες τῶν Ἐπισκόπων σωῆλθον, καὶ εἰσὶ μελὰ τῦ Πάπα· Ἄλλοι δ' ἀπῆλθον εἰς τὰ ἴδια, καὶ ἡ Σινόδος ἔπαυσεν. Ἔχει δὲ τὸ κράτος καὶ τλὺ ἰχὺ πᾶσαν ὁ Πάπας· Διὸ καὶ τὰ Κάτεργα, καὶ τὰς ἐξόδες ἔστειλον, ἵνα μετ' ἐκείνε συγκροτηθῇ ἡ Οἰκεμενικὴ Σινόδος. Τὰ δ' αὐτὰ καὶ τῷ Πατριάρχῃ ἀνέφερον, καὶ πρὸς πάντας χεδὸν διεφήμισαν, καὶ μάλισα ὁ πρὸς τλὺ Σινόδον Πρέσβις ἀποσαλεὶς Δισύπατος, ταῦτα δὴ τὲς πάντας ἀνέπειθεν. Ἀλλὰ καὶ οἱ προδηλωθέντες Ἐπίσκοποι, τῷ Πατριάρχῃ παραγάντες καλὰ τὸ ἔθος, καὶ ταυτὰ δὲ, ἅ καὶ οἱ τῶν Γραικῶν αὐτοὶ Ἀποκρισιάριοι προκεκηρύχασιν, εἰπόντες, πρὸς καλάπλεν παρώτρωσον αὐτὸν ἑτοιμάζεθαι. Εἶχον δὲ καὶ τὸν ἐκ τῆς Σινόδε αὐ Κωνσαντινεπόλει περιμείναντα Φραὰ Ἰωάννλω μεθ' ἑαυτῶν· Ὃς ἰδὼν τὲς δύο Ἐπισκόπες, γνωρίμες αὐτῷ ἐκ τῶν Σινοδικῶν ὄντας, καὶ μὴ εἰδὼς ἀκριβῶς ὅπως προσετέθησαν τῷ Πάπᾳ, τοῖς λόγοις ἐκείνων πειθεὶς, πρὸς δὲ, καὶ γράμμασιν ἐκεῖθεν αὐτῷ σαλεῖσιν ἐξαπατηθεὶς, σωηγόρησε καὶ αὐτὸς, καὶ ἐβεβαίωσε τὲς λόγες τῶν Ἐπισκόπων, καὶ πρὸς τλὺ ἀποδημίαν ἐκίνει τὸν Πατριάρχλω. Ἅτινα δὴ πάντα ἔτως ἔχειν, καὶ Βασιλέως πεπεισμένος, καὶ Πατριάρχης, αὐτοίτε πρὸς τὸν ἀπόπλεν παρεσκεδάζοντο, καὶ τὲς ἄλλες, ὅσοιγε τῇ Σινόδῳ παρεῖναι ἔμελλον, παρασκεδασμένες εἶναι καὶ ἑτοίμες ἐκέλευον. Καίτοιγε πολλοὶ ἠξίεν τε καὶ καθικέτευον οἶκοι μένειν, ἢ ἐπὶ Ἰταλίας κατάγεθαι. (*)

Ἡμέραι γᾶν παρῆλθον, μελὰ τλὺ εἰς τλὺ Κωνσαντίνε τῶν Κατέργων ἐπιδημίαν, καὶ ἀγγελίατις ἰὼέχθη τῷ Αὐτοκράτορι, ὅτι ἔρχονται Κάτεργα ἐκ τῆς Σινόδε, καὶ ἔφθασαν εἰς τλὺ Χῖον· καὶ τῦτο μὲν οἱ Γραικοὶ πολλάκις εἶπον

(*) Συμβόλ. Αὐτ. Τμήμ. Γ'. Κεφ. Η'. καὶ Θ'. καὶ Ι'.

ἔπον πρὸς τὲς ἐκ τῦ Πάπα· Ἐκεῖνοι δὲ, ἀλλὰ δὴ καὶ ὁ Δισύπατος, ἔφασκον ὅτι ψεῦδος ἐστὶ τῦτο. Τεσσάρων δὲ ἢ πέντε παρελθεσῶν ἡμερῶν, ἤδη ἐφάνησαν ἐρχόμενα τὰ Κάτεργα τέσσαρα. Ὡς ἓν ἐπληροφορήθη τῦτο ὁ Καπιτάνος τῶν Παπικῶν Κατέργων, ὃς καὶ ἀνεψιὸς ἰῶ τῦ Πάπα, Κεντλεμέρης καλέμενος, ἐβελήθη πόλεμον μετ' ἐκείνων σωάψαι. Μαθὼν δὲ ταῦτα ὁ Βασιλεὺς, τὰ μὲν τῆς Σωόδε Κάτεργα προσέταξε ϛιῦαι περὶ τὸν τῦ Ὑψωμαθείε αἰγιαλόν· τῷ δὲ Κεντλεμέρῃ διωρίσατο παύσαθαι τῆς ὁρμῆς, καὶ τῆς βελῆς ἰῶ ἐβελόσατο ποιῆσαι καλὰ τῶν Σωοδικῶν. Μηδὲ γὰρ ἐξεῖναι αὐτῷ μάχεθαι καὶ πολέμες σωάπλειν εἰς τόπον βασιλικόν. Ὁ δὲ ἐκ ἐπείθη, ἀλλὰ διεμιμύσατο τῷ Βασιλεῖ, ὅτι ὁρισμὸν ἔχει παρὰ τῦ Πάπα, ἵνα πολεμήσῃ ὅπε ἂν εὕρῃ τὰ κάτεργα τῆς Σωόδε, καὶ εἰ δυνηθῇ, καθαδύσῃ καὶ ἀφανίσῃ αὐτά. Ἀλλὰ καὶ οἱ Σωοδικοὶ ταῦτα ἀκέσαντες πρὸς πόλεμον παρεσκεάζοντο. Μόλις ἓν διὰ πολλῶν λόγων καὶ μηνυμάτων, καλέπεισε τὸν Κεντλεμέρην ὁ Βασιλεὺς, καὶ ἡσύχασε· καὶ μελὰ μίαν ἡμέραν ὥρισε, καὶ εἰσῆλθον τὰ Σωοδικὰ εἰς τὸν Κωηγόν. Ἐξ ὧν εἰς γιῶ ἀποβάντες Ἐπίσκοποι τινὲς, καὶ δύω Γραμματικοὶ, καὶ ὁ Καπιτάνος αὐτῶν μελὰ καὶ ἑτέρων Ἀρχόντων, εἰσενεχθέντες εἶδον τὸν Βασιλέα· Ἦλθον δὲ καὶ πρὸς τὸν Πατριάρχιν. (*)

Ὡς ἓν τιὼ μελαξὺ τῶν Παπαίων καὶ τῶν Σωοδικῶν διχόνοιαν οἱ Γραικοὶ ἐθεώρεν, ἔλεγον χεδὸν πάντες, ὅτι ἐ συμφέρει τῷ Βασιλεῖ ἀπελθεῖν εἰς Ἰταλίαν, καὶ ἐδὲ ἔχει αἰτιάσαθαι αὐτὸν, εἴ ὁποιονῦν μέρος. . . Εἰ γὰρ ὁ Πάπας, καὶ ἡ Σωόδος, ἅτως εἰσὶν ἐχισμένοι, καὶ πρὸς ἀλλήλες μάχονται, πῶς ἂν οἵοντε ἦ τιὼ τῶν Ἐκκλησιῶν, Ἀνατολικῆς τε καὶ Δυτικῆς, οὗσιν εὐτυχῶς διαπεραν-θῆαι; Συνεβέλθον ἓν καὶ πολλοὶ ταῦτα τῷ Βασιλεῖ, τὲ ἐς Ἰταλίαν πλὲ ἀποτρέποντες. Καὶ μηδὲ πρὸς τὸν Πάπαν ἔφασκον δεῖν ἰέναι, μηδὲ πρὸς τιὼ Σωόδον. Ἔξεργον δὲ ταῦτα καὶ οἱ Σωοδικοί. (*)

Ἀλλὰ

(*) Συνόψ. Αὐτ. Κεφ. ΙΑ'.
(**) Αὐτ. αὐτ. Κεφ. ΙΒ'.

Ἀλλὰ καὶ ὁ δηλωθεὶς ἐκ ἄπαξ Ἰωάννης, τῶτε Βασιλεῖ προσελθὼν, καὶ τῷ Πατριάρχῃ, πολλὰς ἦν προβαλλόμενος λόγες ἐκ φιλίας ψυχῆς διαθέσεως, δι' ὧν αὐτὲς τῆς τοιαύτης ἀποδημίας ἀπέτρεπεν. Ὡσαύτως δὲ καὶ ὁ τῶν Γερμανῶν Αὐτοκράτωρ Σιγισμῦνδος, ἐπὶ τῶδε καὶ μόνῳ τὸν Δισύπατον Μανουὴλ ἀναπέμψας, συνεβάλλετο τῷ Γραικῶν Βασιλεῖ, καὶ γράμμασιν ἰδίοις, καὶ λόγοις τοῖς διὰ τὲ Δισυπάτε, μὴ πρὸς τὲς Λατίνες ἀπελθεῖν καιρὸν τὸν παρόντα καιρὸν, διὰ τὸ ἐμφιλοχωρῆσαν νεῖκος μέσον τῆ Πάπα, καὶ τῶν Σωσδικῶν. (*) [Καὶ μὴν καὶ οἱ τὲ Ἀμηρᾶ Βεζίριδες, τῷ πρὸς ἐκεῖνον διαπρεσβεύομένῳ Παύλῳ τῷ Ἀσάνῃ, τὴν πρὸς Λατίνες ἀποδημίαν τὸν Βασιλέα καὶ αὐτοὶ παραιτεῖσθαι παρῄνεν. κρεῖττονα θεραπείαν εὑρήσειν αὐτὸν παρὰ τῷ Αὐθεντῃ λέγοντες, καὶ πλέον συμφέρειν τῷ Βασιλεῖ τὴν τὲ Ἀμηρᾶ φιλίαν, τῆς τῶν Λατίνων.] Ἀλλ' ὁ Βασιλεὺς ἀπάσας ἐπίσης τὰς συμβελὰς, οἰκείων τε καὶ ἀλλοτρίων, ὡς ἐδὲν ἐλογίζετο. Διὸ τὲς Σωσδικὲς συγκαλέσας, παρῃτήσατο, καὶ ἀπέπεμψε· Τὲς δὲ ἰδίες ἐκπλεῦσαι σὺν τοῖς τῆ Πάπα Τριήρεσι, μετ' ὀλίγε ἑτοίμες εἶναι ἐκέλευσεν. (**)

Ἐκ γῆν τῶν Ἀρχιερέων, ὅσες ἐξελέξατο ὁ Πατριάρχης εἰς τὴν Σώσδον παραγενέσθαι, ἦτοι ἦσαν: Ὁ Ἐφέσε, ὁ Τραπεζῦντος, ὁ Ἡρακλείας, ὁ Κυζίκε, ὁ Σάρδεων, ὁ Νικομηδείας, ὁ Νικαίας, ὁ Τορνόβε, ὁ Μονεμβασίας, ὁ Λακεδαιμονίας, ὁ Ἀμασείας, ὁ Μιτυλλίνης, ὁ Σταυροπόλεως, ὁ Μολδοβλαχίας, ὁ Ῥόδε, ὁ Μελενίκε, ὁ Δραμας, ὁ Γάννε, ὁ Δρίσρας, ὁ Ἀγχιάλε. Ἦλθε δ' ἐκεῖσε καὶ ὁ Ῥωσίας μελὰ καὶ ἑνὸς Ἐπισκόπε . . . τὲς δὲ λοιπὲς τῶν προσκληθέντων, καὶ εἰς Κωνσταντινόπολιν ἐλθόντων Ἀρχιερέων, καλέλιπεν ἐκεῖ ὁ Πατριάρχης, μήτε τίνος χάριν προσεκλήθησαν εἰπὼν πρὸς αὐτὲς, καὶ διατί ἐκ ἀπέρχονται καὶ μετ' αὐτῆ; μήτε γνώμας δῶναι

(*) Αὐτ. αὐτ. Κεφ. ΙΓ'.
(**) Αὐτ. αὐτ. Κεφ. ΙΔ'.

δῆναι περὶ τῦ προκειμένυ ἀπαιτήσας αὐτές· Ἐκ δὲ τῶν ἐκλεχθέντων Ἀρχόντων τῆς Ἐκκλησίας ἦσαν, ὁ Μέγας Σακελλάριος, ὁ Μέγας Σκευοφύλαξ, ὁ Μέγας Χαρτοφύλαξ, ὁ Μέγας Ἐκκλησιάρχης, ὁ Πρωτέκδικος, ὁ Νομοφύλαξ, καὶ οἱ ἑξῆς ὀφφικιάλιοι . . . Ἐκδὲ τῶν Ἱερομονάχων, ὁ Πνευματικὸς Κύριος Γρηγόριος· Οἱ τῶν Μοναστηρίων τῦ Παντοκράτορος, τῦ Καλέως, τῦ Ἁγίυ Βασιλείυ, Ἡγέμονοι. Καὶ ἄλλοι δὲ προσέτι Ἱερομόναχοι, Παχώμιος, Μωϋσῆς ἐκ τῆς Λαύρας, Δωρόθεος ἐκ τῦ Βατοπαιδίυ κξ. (*)

Τέτοις καὶ τοῖς λοιποῖς παρεκελεύσατο ὁ Πατριάρχης, τοῖς μὲν δι' ἑαυτῦ, τοῖς δὲ καὶ δι' ἑτέρων, ἑτοιμαθῆναι ἀρχοντικῶς, καὶ ἀντίμως ἀπελθεῖν πρὸς τὸν Ἰταλίαν, ὡς ἔτως ἀποδεχομένυ τῦ Βασιλέως . . . . μηδεμίαν τε ἔχειν δειλίαν παρηγγυᾶτο· Ἔλεγε γὰρ πολὺ θάρρος ἔχειν καὶ πληροφορίαν, καὶ ἀπὸ Γραμμάτων, καὶ ἀπὸ λόγων τῶν ἐρχομένων ἐκεῖθεν: (**) Καὶ ἀπελθόσομεθα ἔλεγε, καὶ ὑποσρέψομεν νικηταὶ, τροπαιῦχοι· Ἀλλὰ καὶ τοῖς μὴ προαιρεμένοις, ἢ καὶ τοῖς δυχεραίνεσιν ἀκολυθῆσαι αὐτῷ, σφοδρῶς ἠπείλει, καὶ τὰ δεινότατα κατ' αὐτῶν ἔλεγε πράξειν, εἰ μὴ ἔποιντο. (†) Μεθ' ἃ δὴ ταῦτα, καὶ ἕτερα, τὰ περὶ τῆς Ἰταλικῆς ἀποδημίας, ὡς ἀξιεπαίνως ὑπὸ τῦ Πατριάρχυ πρὸς τὲς ἰδίες εἰρημένα, ἤρξαντο οἱ Γραικοὶ πρὸς τὸν ἔκπλεν παρασκευάζεθαι. Οἱ δὲ τῦ Πάπα Λεγάτοι, ἐφ' ᾧ μηδὲν ἐπιλείποι αὐτοῖς, τάχιον δὲ ἀπάρωσιν, ἐπηρίθμησαν τῷ Βασιλεῖ, Φλορίων χιλιάδας πενθεκαίδεκα, ἃ διὰ τῶν οἰκείων δισνείματο. Ἀλλὰ καὶ περὶ τῆς τέτων διανομῆς, μεγάλητις ἀνέφυ μεταξὺ τῦ Αὐτοκράτορος καὶ τῦ Πατριάρχυ διαφωνία, ὡς μόγις τέως αὐτὲς καὶ διαλαγιῶαι. (††)

Ταῦτα μὲν ἓν τὰ ἐς τόδε εἰρημένα, διεπράτετο πάντα πρὸ τῆς εἰς Ἰταλίαν ἀποδημίας· Ἴδωμεν δὲ καὶ ἃ συνέβη

(*) Αὐτ. αὐτ. Κεφ. ΙΕ'.
(**) Αὐτ. αὐτ. Κεφ. Ις'.
(†) Αὐτ. αὐτ. Κεφ. ΙΖ'.
(††) Συνόψ. Τόμ. Γ'. Κεφ. ΙΗ'. ΙΘ'. Κ'.

νέβη γενέσθαι, τῶν Γραικῶν ἤδη καλαχθέντων πρὸς τὸ τελέσαι τὴν Σιώδον. Ἀλλὰ γὰρ ὧδε, ἐκ εἰς πλάτος ἡ πρόθεσις ἐσὶν ἀφηγήσασθαι, πῶς ταῖς ναυσὶν ἐπιβάντες τὸν πλοῦν διεύυσαν· Τίνων τε συμφορῶν ἐν πείρᾳ γεγόνασι· Τίνες δ' οἰωνισμοὶ σκαιοὶ τούτοις παρέσησαν· Οἵοις τε ὁ Βασιλεὺς κινδύνοις προσεύτησεν· Οἷα δὲ διχόνοια τῷ Πατριάρχῃ μεταξὺ καὶ τῶν ἄλλων παρενεχώρησαν· Πῶς δ' Ἐνετίησιν ἐλλιμενισθέντες πρὸς τῷ Βενετίκων Δεκὸς ὑπεδέχθησαν· Πῶς δ' ὁ Δεξ αὐτὸς, καὶ οἱ λοιποὶ τῶν Λογάδων, τοῖς Γραικοῖς ἐκεῖσε διορίσασθαι παρῆνεν: Πότερον τὴν πρὸς τὸν Πάπαν, ἢ τὴν πρὸς τὲς ἐν τῇ καθολικῇ Βασιλείαν Σινόδῳ, αὐτοῖς πορευτέον· ἢ μᾶλλον Ἐνετίησιν, (ὃ τοῖς Βενετίκοις ὑπερήδισον ἦν·) τελεσέον τὴν Σινόδου. Ὅπως δὲ καὶ τὰς χρησὰς συμβολὰς ταύτας, ὅ, τε Βασιλεὺς καὶ ὁ Πατριάρχης, οἱονεὶ ἕκλινος εἰμαρμένης ἁφαρπασθέντες, παρηγκωνίσαντο, καὶ ὡς τὸν Πάπαν ἀπίσιναι ἐσπέδασαν· Ὅπως δὲ καὶ ὁ Πάπας παρὰ τῷ Πατριάρχῃ καὶ τῶν λοιπῶν ἀπητεῖτο, ἵνα αὐτῷ τὸν πόδα ἀσπάσωνται· καίτοιγε τέτε ἀπέτυχε· Τοσέτον γὰρ οἱ Γραικοὶ τῷ ἔθει τέτῳ ἀντέσησαν, ὥσε τέως αὐτοῖς τὸν Πάπαν ἀναγκαθλιῶναι ἐπιτρέψαι, ποιεῖν ὅ θελήσαιεν. Ταῦτα, φημὶ, καὶ ἕτερα πλείσα, σωτομίας χάριν, ἀντιπαρερχόμεθα, ἅτινα παρὰ τῷ Σγυροπύλῳ πάρεσιν ἀναγινώσκειν εἰς πλάτος καθισορέμενα. (*) Ἐκεῖνα δ' αὐτοὶ ἀφηγησόμεθα, ὅσα ἀπὸ τῆς Γραικῶν εἰς Φερράριαν εἰσελάσεως διεπράχθη, ἔνθα τέτακτο συγκροτηθῆναι τὴν Σινόδου.

Τοιγαρῆν Ἰωάννης Παλαιολόγος ὁ Γραικῶν Αὐτοκράτωρ, καὶ Ἰωσὴφ ὁ Κωνσαντινοπόλεως Πατριάρχης, καὶ οἱ τῶν λοιπῶν Πατριαρχῶν Τοποτηρηταὶ, καὶ Ἀρχιερεῖς οἱ Γραικῶν, καὶ Λογάδες, εἰς Φερράριαν εἰσιόντες τῇ ὀγδόῃ τοῦ Φλωραρίε, Ἔτ. 1438. καὶ τὸν Πάπαν Εὐγένιον τὸν Δ'. ἀσπασάμενοι, πρὸ παντὸς ἠτήσαντο παρ'

 αὐτῷ,

(*) Ἐν τῷ Δ'. τῆς Ἱσορ. Τμήμ. ἀπὸ τοῦ Α'. Κεφαλ. διὰ τῶν ἑφεξῆς ὅλων ἄχρι τέλες τοῦ Τμήματος.

αὐτῷ, ἵνα ἐπὶ τῆς παρέσης Συνόδε, μὴ μόνοι οἱ Ἐπίσκοποι, ἀλλὰ καὶ οἱ Βασιλεῖς, καὶ οἱ Ἡγεμόνες τῶν τε ἄλλων χωρῶν, καὶ τῆς ὅλης Ἰταλίας προσκαλεθεῖεν, εἴτε αὐτοπροσώπως, εἴτε δὴ καὶ δι' ἰδίων Τοποτηρητῶν παρεσόμενοι. Ὅπερ ὁ Πάπας μὴ ἐξὸν εἶναι, διὰ τὰς ἐν ἀλλήλοις ἔρεις τε καὶ μάχας ἀποκρινάμενος, τῷ Αὐτοκράτορος καὶ μᾶλλον ἐνισαμένε, χρόνον ἠτήσατο τετραμηνον, ὥστε τὰς ἰδίας ἀθροίσαθαι. Τότε δὲ δοθέντος, καὶ Γραμμάτων δὲ, καὶ πρέσβεων πανταχόσε σαλέντων, ἔδοξεν ἅπασι, τὴν Σύνοδον ἐν Φερράρια, καὶ μὴ ἀλλαχῆ διακηρυχθῆναι. Ὡς ἂν τότε δῆλε γενομένε, ὅτι ἐν Φερράρια δηλονότι ἡ Σύνοδος τελεθήσεται, πάντες αὐτόσε ἀπροφασίστως συνέλθοιεν. (*) Ἐν τότῳ γᾶν ὁ Ναὸς διεκοσμεῖτο, ἅτε ἕδρας παρεσκευάζοντο καὶ διετάσσοντο, ἔνθα ἡ Σύνοδος συνήσεσθαι ἔμελλεν. Ἀλλὰ καὶ περὶ τῆς τότων τάξεως, ἔτοι σμικραὶ ἔρεις Γραικῶν μεταξὺ καὶ Λατίνων κεκίνηνται. Ἠξίεν γὰρ οἱ Λατῖνοι, ἵν' αὐτοὶ μὲν, πρὸς θάτερον τῆ Ναῆ μέρος καθεδεῖεν ἅπαντες, πρὸς θάτερον δὲ ὁ Βασιλεὺς καὶ ὁ Πατριάρχης, σὺν ἅπασι τοῖς περὶ αὐτές. Ἐν μέσῳ δὲ καὶ ἐπὶ κεφαλῆς ὁ Πάπας, ἵνα τῶν μερῶν ἀμφοτέρων, οἱόντις δεσμὸς καὶ ἕγμα προκαθήμενος εἴη, ἐν ἑνὶ ἑαυτῷ συνέχων ἑκάτερα. Τἐναντίον δὲ οἱ Γραικοὶ, μόνῳ τῷ Πάπᾳ τὴν ἐν τῷ μέσῳ χώραν ἐδόλως ἐπέτρεπον. Ἀλλὰ καὶ τὸν Βασιλέα καὶ τὸν Πατριάρχην, ἐν ἴσαις ἕδραις, ἅμα σὺν ἐκείνῳ, καθεδεῖσθαι δεῖν διετείνοντο. Τέλος δ' ἦν, μετὰ πολλὰς φιλονεικίας τε καὶ ἀντιλογίας, μόλις ποτὲ καὶ περὶ τὴν τῶν καθεδρῶν τάξιν συμπεφωνήκασιν. (**) Ἐν γᾶν τῷ μεταξὺ, ἄχρις ἃ οἱ ἐν Βασιλείᾳ Ἐπίσκοποι, οἷς ὁ Πάπας δι' ἰδίε διπλώματος, τὴν μὲν ἐκεῖ σύνοδον λύσαι, Φερράριαν δὲ καταλαβεῖν ἐπετέλετο· καὶ ἄλλοι δὲ, ἐξ Ἐπαρχιῶν ἄλλων, συναλισθεῖεν. Τὸ περὶ τῆ Καθαρτηρίε πυρὸς, καὶ περὶ τῆς τῶν Ἁγίων ἐν τῇ μακαριότητι ἀπολαύσεως, Ζήτημα,

(*) Συμβόλ. ἐν τῷ Δ'. τῆς Ἱστορ. Τμήμ. Κεφ. ΚΖ'.

(**) Αὐτ. αὐτ. Τμήμ. Δ'. Κεφ. ΚΕ'. καὶ Κς'.

τημα, ἰδίᾳ διεκινήθη· (*) Τῷ δὲ καιρῷ παραβρυσάντος, καὶ ἔτε τῶν ἐκ Βασιλείας, ἐδ' ἄλλε τινὸς ἐξ Ἰταλίας ἐπιδημέντος, κοινῇ ψήφῳ, καὶ αὐτῶν δὴ, ἔς ὠ τῇ Συνόδῳ παρεῖναι ἔδει, ἀπόντων· Ἀρχὶ τὸ διαλέγεσθαι ἐποιήσαντο, δύο ταῦτα ἀνεξετάζοντες τὰ ζητέμενα. Τὸ μὲν: Πότερον δηλ: ἔξεστι προσιθέναι ὠ τῷ Συμβόλῳ τῆς πίστεως; Τὸ δὲ: καὶ εἴπερ ἄρα εὐσεβὲς ἐστὶ τὸ προσθεῖναι· Τῦτο γὰρ μάλιστα, τῆς μεταξὺ Ἑλλήνων καὶ Λατίνων διαφωνίας, τὸ αἴτιον λῦ. Πρὸς ἓν τιὼ τῦτο ἀκριβῆ ἔρευναν ὥρισαν ὑπὸ τῆς Συνόδε, ἵνα ἔξ μὲν ἐκ τῶν Λατίνων, ἔξ δὲ καὶ ἐκ τῶν Ἑλλήνων ἐπὶ μέσης τῆς Συνόδε ἰσαμένων, εἷς μὲν ἐκ μέρες θατέρε, ἄτερος δ' ἐκ θατέρε, ἀποδιδῶ τιὼ ἀπάντησιν. Παρῆσαν δὲ καὶ διερμηνεῖς, οἵ πάντα τὰ, εἴτε Ἑλληνιστὶ, ἢ Λατινιστὶ λεγόμενα, ἀμφοῖν τοῖς μέρεσιν ἀναπλύσειαν. Παρῆσαν δὲ καὶ Νοτάριοι Λατῖνοί τε καὶ Ἑλληνικοὶ, οἵ τὰ λεγόμενα πάντα, οἱ μὲν Ἑλληνικοὶ Ἑλληνιστὶ, οἱ δὲ Λατῖνοι Λατινιστὶ ἀναγράφοιεν· καὶ ὑπὲρ μὲν τῆς τῶν Ἑλλήνων Ἐκκλησίας διελέγοντο, Μάρκος ὁ Ἐφέσε Μητροπολίτης, Ἰσίδωρός τε ὁ Ῥωσίας, καὶ Βησσαρίων ὁ Νικαίας, Ἀρχιεπίσκοποι· Ξανθόπυλός τε ὁ Σιδηροφαγᾶς, Μέγας Σκευοφύλαξ· Μιχαὴλ Βαλσαμὼν, Μέγας Βιβλιοθηκάριος· καὶ Γεώργιος ὁ Γεμιστός· Ὑπὲρ δὲ τῶν Λατίνων, Ἰσιδιανὸς Καισαρεῖνος τὸ Ἁγίε Ἀγγέλε· καὶ Νικόλαος Ἀλβεργάτος τὸ Ἁγίε Σταυρῷ ἐν Ἱερεσαλὴμ, Καρδιναλιοι· Ἀνδρέας τε ὁ Ῥόδε Ἀρχιεπίσκοπος· Ἰωάννης Ἐπίσκοπος Φορολιβιένσιος· Ἰωάννης ὁ ἐκ τῦ μέλανος ὄρες, ἀπὸ τῦ Τάγματος τῶν Κηρύκων. Ὁ Προβιγκιάλιος Λομβαρδίας, Πέτρος ὁ Περκυσίε, ὁ ἐκ τῦ Τάγματος τῶν ἐλασσόνων· καὶ Ἰωάννης ὁ ἀπὸ τὸ Ἁγίε Θωμᾶ, ἐκ τῦ Τάγματος τῶν Ἐρημιτῶν τὸ Ἁγίε Αὐγεσίνε, οἱ τῆς Ἱερᾶς Θεολογίας Διδάσκαλοι. Ἔδοξε δὲ τῇ Συνόδῳ, ὅπως, πρὸς ἐκφυγὴ τῆς περιττολογίας, μεθόδῳ Διαλεκτικῇ τὰ τῶν Συναλλύσεων γίγνοιτο.

(*) Αὐτ. αὐτ. Τμήμ. Ε'. Κεφ. Θ'. καὶ ΙΓ'. καὶ ΙΔ'. καὶ ΙΕ'. καὶ Ις' καὶ ΙΗ'.

Τῶν ἓν προσδιαλέξεων ταύτην γε διατεταγμένων, εἴκοσι καὶ πέντε Σωελδύσεις αἱ πᾶσαι σωέσησαν. Ἐκκαίδεκα μὲν ἐν Φερράριᾳ, ἐννέα δὲ ἐν Φλωρεντίᾳ, ὅπε ἡ Σύνοδος μετενλώεκται, νόσε λοιμώδες ἐν Φερράριᾳ ἐνσκηψάσης. Καὶ ταύταις δὲ ταῖς ΚΕ. Σωελδύσεσιν ἐκδιεπεράνθη ἡ ὅλη Σύνοδος. Ἐν μὲν τῇ Α. Σωελδύσει, ἥτις Ὀκτωβρίε Μίνος ἐγδόῃ σωέσῃ, Βησσαρίων ὁ Νικαίας Ἀρχιεπίσκοπος, Λόγον εὐφραδῆ ὡς ἐκ τῶν Γραικῶν μέρες ἀναγνὲς, τίνε Σύνοδον πολλοῖς τοῖς ἐπαίνοις καλέσεψε, καὶ τὲς ἐν αὐτῇ Πατέρας εὐφημίαις καληγλάϊσε ταῖς προσηκέσαις. Ἐκ δὲ τῶν Λατίνων, Ἀνδρέας ὁ Ῥόδε τὸν Βησσαρίωνα ἐζηλωκὼς ἐπὶ τῆς Β. τῶν Σωελδύσεων, ἐγκωμίοις καὶ αὐτὸς ὡσαύτως, τόντε Πάπαν, καὶ τὸν Αὐτοκράτορα, καὶ τὸν Πατριάρχην καλεκόσμησε, καὶ πᾶσαν τίν Σύνοδον. Ἐν δὲ ταῖς ἑφεξῆς Σωελδύσεσιν, ἤρξαντο ἤδη προσδιαλέγεσθαι περὶ τῆς ἐν τῷ Συμβόλῳ προσεθείσης φωνῆς, καὶ ἐκ τῆ Υἱῆ· Τέτο γὰρ μηδαμῇ μηδαμῶς εἶναι θέμις γνέσθαι διετείνοντο οἱ Γραικοί· καὶ περὶ τέτε ἐπὶ τῆς Ε. τῶν Σωελδύσεων, οἱ τῶν Οἰκεμενικῶν Σύνοδων ἀνεγνώσθησαν ὅροι, οἱ τὸ Σύμβολον παραμείβειν, ἢ πίσιν ἑτέραν συγγράφειν ἀπαγορεύοντες. Καὶ τοίνυν, ἀνεγνώσθη 1) τὸ ἐν Νικαίᾳ Σύμβολον· 2) Ὁ τῆς ἐν Ἐφέσῳ Συνόδε ὅρος, ὁ πίσιν ἑτέραν συντίθεσθαι, ἢ παραδίδοσθαι διακωλύων, ὑπὸ ποινῇ τοῖς μὲν Ἐπισκόποις, καὶ τοῖς ἐκ τῆ Κλήρε, καθαιρέσεως· Τοῖς δὲ Λαϊκοῖς, ἀναθέματος. 3) Ὁ ὅρος τῆς ἐν Χαλκηδόνι Συνόδε. 4) Ἡ προσφώνησις τῆ Πατριάρχε Κωνσταντινοπόλεως Ἰωάννε, ἐκ τῶν Πρακλικῶν τῆς Ε. Συνόδε. 5) Τὸ Σύμβολον τὸ ἐν Κωνσταντινοπόλει, τὸ ἐπὶ τῆς αὐτῆς Συνόδε ἀναγνωσθέν. 6) Τὸ ψήφισμα τῆς ἐν Χαλκηδόνι Συνόδε, τὸ παραπλήσιον τῷ Ἐφεσίῳ. 7) Ἀπόσασμα Ἐπισολῆς τῆ Πάπα Βιγιλίε πρὸς Εὐτυχέα. 8) Τῆς ϛ. Συνόδε ὁ ὅρος τῆς Οἰκεμενικῆς· 9) Ἀποσάσματα ἐκ τῶν Ἐπισολῶν τῆ Πάπα Ἀγάθωνος πρὸς τὲς Αὐτοκράτορας. 10) Ὁ ὅρος τῆς Ζ. Συνόδε τῆς Οἰκεμενικῆς. Ἐκ τέτων ἓν Μάρκος ὁ Ἐφέσε σιωπῆσεν, ὅτι ἡ ἐν τῷ Συμβόλῳ προσθήκη, ἐδενὶ τρόπῳ γενέσθαι

γενέσθαι ὤφειλον. Ὁ δὲ Ἀνδρέας ὁ Ῥόδιος, ἐπὶ τῆς ε'. καὶ τῆς ζ'. τῶν Συνελεύσεων, διὰ πολλῶν ἠγωνίσατο δεῖξαι, τιὼ μὲν προθήκιω δήπεθ ἀπηγορεῦθαι· Τιὼ δὲ ἀνάπλυξιν καὶ διασάφησιν, ἐδαμῶς. Τὸ δέτοι μόριον, καὶ ἐκ τ. Υἱ., μὴ κυρίως προθήκιω εἶναι, ὡς ἀνάπλυξιν δὲ ἐκδέχεθαι χρεῶαι τ. λεγομένε, ὅτι παρὰ τ. Πατρὸς ἐκπορεύεται. Προσεμπεδᾶν δὲ τιὼ δόξαν ἐπεχείρησε ταύτιω, δι' ὁποιασδήποτε ἐπεξηγήσεως τῶν μνημονευθέντων ὅρων· καὶ μὲν δὴ κἀκ τέτε, ὅτι ἡ ἐν Ῥώμῃ Ἐκκλησία, πρὸς τὸ διασαφῆσαι τὸ Σύμβολον τῇ προθήκῃ τῆς καὶ ἐκ τ. Υἱ. φωνῆς, κεκίνηται ὑπὸ τῶν τοῖς θεσπεσίοις πατράσιν εἰρημένων· καὶ μεγάλης δὲ, ἐπειγέσης ἀνάγκης. Ἐπειδὴ μέγαν (φησὶν) ἔωρα τὸν κίνδιωον ἐπικείμενον. Καὶ ἤδη δὲ τὸ Σύμβολον μελὰ τῆς καὶ ἐκ τ. Υἱ. προθήκης, ἅτε Ἰσαυνίαις, καὶ ἐν Γαλλίαις ἐξήδετο. Ἀλλ' εἴπερ ἄρα ἡ τοιάδε ἀνάγκη παρεβιάσατο τὲς Ποντίφικας, εἰς τὸ προθεῖναι τῷ Συμβόλῳ τιὼ καὶ ἐκ τ. Υἱ. φωνιὼ, τί μὴ μᾶλλον εἰς τὸ μὴ προθεῖναι παρεβιάζετο ἑτέρα ἀνάγκη· Ὅτι δηλαδὴ τὸ πολλῷ πλεῖον μέρος τῶν πισδύντων, τετέσιν ἅπασα ἡ Ἀνατολικὴ Ἐκκλησία, ταύτιω ἀπεδοκίμαζε, καὶ ἐδόλως ἐν τέτῳ μελὰ Λατίνων ἠξίε σωτίθεθαι; Ἃς δὲ τῶν Πατέρων μαρτυρίας ὁ Ῥόδιος παρεσήσατο· Οἷον ἐκ μὲν Λατίνων, Αὐγεσίνε, Ἀμβροσίε, Γρηγορίε τ. Μεγάλε, Ἱλαρίε· Ἐκ δὲ Γραικῶν Ἀθανασίε, Βασιλείε, Ἰωάννε τ. Χρυσοσόμε, Ἐπιφανίε, Κυρίλλε Ἀλεξανδρείας καὶ Θεοδωρήτε, τ. Ἱερ. Μαξίμε, καὶ Ἀνασασίε τ. Σιναΐτε· Αὗται ἅπασαι, ἤτοι παρεφθαρμέναι ἦσαν, ἢ μὴ ὀρθῶς ἐννοέμεναι. Προσέθετο δ' ἐπὶ τέτοις ὁ Ῥόδιος, καὶ ὅτι ἡ τ. Ἁγίε Πέτρε Καθέδρα μόνη ἐσὶν, ἡ τιὼ ἐξεσίαν ἔχεσα τ. ἀναπλύνειν τιὼ πίσιν. Τέτο δὲ Ἰβλιανὸς ὁ Καρδινάλις προσεβεβαίε ἐκ τῆς Ἀγάθωνος τ. Ῥώμης Πάπα Ἐπισολῆς, ἀναγνωθείσης ἐν τῇ Συνόδῳ· Ἐξ αὐτῆς γὰρ σωπῶν: Ὁσάκις περὶ τιὼ πίσιν ἀναφύεται τις διαμφισβήτησις, τὸν Ῥώμης Ποντίφικα ὀφείλειν τε καὶ ἐνέχεθαι

» ταύτῃ διατρανῶν· καὶ ἅπερ ἂν αὐτὸς ἐκδιδάξειε, πά-
» σας τὰς Συνόδους, καὶ τὴν σύμπασαν Ἐκκλησίαν χρεω-
» στεῖν τῇ τοιαύτῃ ἀληθείᾳ παρέπεσθαι.

Ἐν δὲ Συνελεύσει Η'. καὶ Θ'. ὁ Βησσαρίων προέθετο ἀπελέγξαι τὰ παρὰ Ἰουλιανῷ τῷ Καρδινάλεως, καὶ Ἀνδρέᾳ τῷ Ῥοδίᾳ εἰρημένα, περὶ τῆς γενομένης ἐν τῷ Συμβόλῳ προσθέσεως. Τούτων δὲ τὸν τόνον τοιῶδε μάλιστα λόγῳ παρέλυσεν· ὅτι πᾶσαι αἱ Σύνοδοι, ὁπόσαι μετὰ τὸ ἐν Ἐφέσῳ συνέσησαν Θέσπισμα, ἑδέντι τὸ παράπαν τετολμήκασι τῷ Συμβόλῳ προσθεῖναι, κἂν διὰ τὰς ἐπαναφυείσας αἱρέσεις τοῦτο ποιεῖν δήπεθεν ἀναγκάζοιντο. Τόνδε δὲ τὸν λόγον, πολλοῖς, καὶ τούτοις ἐμβριθέσι τοῖς παραδείγμασι, διετράνωσεν. Οὐδέτοι παρῆκε τῷ μὴ κἀκείνῳ καθάψασθαι, ὃ περὶ τῆς ἐξουσίας τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, τῷ προσιθέναι τῷ Συμβόλῳ, εἰρηκὼς ὁ Ῥό-
» διος ἰῷ. Περὶ δὲ τῆς ἐξουσίας (φησὶ) τῆς Δυτικῆς Ἐκκλη-
» σίας, εἴχομεν πολλὰ λέγειν, εἰ μὴ ἰῷ ἄλλο ἡμῖν τὸ προ-
» κείμενον· Εἰδότες μὲν καὶ τὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας
» δίκαια καὶ πρωτεῖα, ἑδὲν δὲ ἧττον εἰδότες, καὶ μέ-
» χρι πόσε αὐτῇ τὰ πρωτεῖα. Ὅμως δὲ, εἰδέναι βε-
» λόμεθα τὴν αἰδεσιμότητα ὑμῶν, ὅτι ταύτῃ ἡμεῖς τὴν
» ἄδειαν ἀπὸ πάσης ἀφαιρεθμεν Ἐκκλησίας τε καὶ Συ-
» νόδε, καὶ αὐτῆς τῆς Οἰκεμενικῆς· Ἀλλ' ἐκ ἀπὸ μόνης
» τῆς Ῥωμαϊκῆς Ἐκκλησίας. Ἐπειδὴ ἔν, κἂν ὁπόσα ἰσχύῃ
» ἡ Ῥωμαϊκὴ Ἐκκλησία, ἧττον ὅμως ἰσχύει Οἰκεμενικῆς Συ-
» νόδε, καὶ τῆς Καθόλε Ἐκκλησίας· Ἡμεῖς δὲ, ἀπὸ πά-
» σης Ἐκκλησίας τοῦτο ἀφαιρεθμεν, πολλῷγε μᾶλλον ἀπὸ
» τῆς Ῥωμαϊκῆς Ἐκκλησίας τοῦτ' ἀφαιρήσομεν. Ἀφαιρεθμεν
» δ' ἐκ ἀφ' ἑαυτῶν· Ἀλλὰ νομίζομεν τοῦτο τοῖς ὅροις τῶν
Πατέρων κεκωλύθαι. Ἔπειτα πρὸς τὸ προκείμενον τῆ Ζητήματος ἐπανιὼν, τὰς τῶν Πατέρων ὅρας, τὰς τὴν προθήκην ἀπὸ τῆ Συμβόλε διακωλύοντας, πρὸς πᾶσαν
» καὶ ὁποιανδῆν κώλυσιν φέρειν διετείνατο. Καὶ ὅτε ἐκεῖνοι
» λέγεσιν, ὅτι ἔτε δεῖ προσιθέναι, ἔτε ἀφαιρεῖν, ἔτ' ἄλ-
» λο τι ποιεῖν, καὶ περὶ συμβῆς τὸν λόγον ἐκεῖνοι ποιῆν-

ται

ται καὶ λέξεως. Ἐνθεντοι, καὶ τοιόνδε αὐτοῖς πρέβαλλετο ἐρώτημα: Λοιπὸν ἐρωτῶμεν (φησὶν) ὑμᾶς· Οἱ διορισμοὶ ἔτοι, καὶ τὰ κωλύματα πρὸς τὸ τῆς πίστεως Σύμβολον φέρουσιν, ἢ πρὸς ἄλλοτι ἐξωτερικόν; καὶ ζητεῖμεν, ἀποκρίθητε πρὸς τέτο ἡμῖν. Τέτων ἔτω παρὰ τῆ Νικαίας εἰρημένων, οἱ Λατῖνοι περὶ τὸν Πάπαν γενόμενοι, οἱ ἐκλελεγμένοι ἅμα τοῖς Καρδιναλίοις πᾶσι, καὶ ἑτέροις τισὶ, καὶ ἐφ' ἱκανὸν σωδιασκεψάμενοι ἐκάθισαν. Καὶ δέον ὂν ἀπολογήσαθαι πρὸς ἔπος εἰς τὰ παρὰ τῆ Νικαίας εἰρημένα, ὅμως περὶ τέτε μὲν ὅλως ἀπεκρίναντο· Μόλις δέποτε ὁ Κολοσσινσις τὸν λόγον ἀναλαβὼν, τὰς καλὰ πεῦσιν προσφόρως ἀπολογίας ἐ δέδωκεν. Οὐδὲ γὰρ ὑπόρει εὐλόγων πρὸς ταῦτα, ὡς οἶμαι, ἀπολογιῶν καὶ προφάσεων. Ἤρξατο δ' ὅμως λέγων ἐν περιτολογίαις ἐπὶ τοσῦτον, ὡς καὶ αναλωθῆναι τιὼ προσήκεσαν καὶ τεταγμένω ὥραν. Ταῦτα δὲ ἐμφέρεται ἐπὶ λέξεως κείμενα ἐν τοῖς Πρακτικοῖς. (*)

Ἐν δὲ ταῖς Συνελθύσεσι, Ι'. καὶ ΙΑ'. καὶ ΙΒ'. περὶ τῆ αὐτῆ διελέξαντο Ἰωάννης ὁ Φορολιβιένσις Ἐπίσκοπος, καὶ Ἰβλιανὸς ὁ Καρδινάλις· Ἀπίντα δὲ τέτοις Μάρκος ὁ Ἐφέσε. Καὶ ὁ μὲν πρῶτος, ἐδείκνυ αὖθις, ὅτι τὸ καὶ ἐκ τῆ Υἱῆ, ἐκ ἔστι προθήκη γενομένη ἔξωθεν, ὡς ὁ Βησσαρίων ἔλεγεν· Ἀλλ' ἔστι δυνάμει περιεχόμενον ἐν τῇ Ὁμολογίᾳ τῆς ἐκπορεύσεως τῆ Ἁγίε Πνεύματος ἐκ τῆ Πατρός· ὃν τρόπον καὶ ἡ καινὴ Διαθήκη περιέχεται ἐν τῇ παλαιᾷ· Ὅσπερ ἡ ἔκθεσις διὰ τῦτο, προθήκη ἔτε λέγεται, ἔτε νομίζεται. Ἰβλιανὸς δὲ ὁ Καρδινάλις, τὸν τῆς ἐν Ἐφέσῳ Συνόδε ὅρον, ἑτέρας πίστεως συγγραφὴν, ἢ ὁμολογίαν ἀπειρηκέναι, ἐκ τῶν ἡγεμόνων, καὶ ἐκ τῶν προσκειμένων, καλασκευάσαι ἐπεύδασεν. Ἀλλὰ γὰρ Μάρκος ὁ Ἐφέσε, ἄριστα ταῦτα πάντα ἀπήλεγξεν. Ὥστε τὸς Λατίνες ὁρῶντας, μὴ ἂν ἔχειν περὶ τῆ προκειμένε μέλε Γραικῶν περαιτέρω ἐρίζειν, ἄλλην ἐπιζητῆσαι θεραπείαν· Ἡ δὲ ἰδὼ, τὸ δεηθῆναι τῆ Πάπα, καὶ τῆ Βασι-

 λέως,

(*) Ὅρα ἐν τοῖς Ἀρδεκτικ. Συνοδικ. Τόμ. Θ'. Στύλ. 121. 123.

λέως, καὶ τῶ Πατριάρχῃ, ἵνα, ἀπὸ τῶν περὶ τῆς προθήκης διαλέξεων, ἐπὶ τιὼ περὶ τῶ Δόγματος αὐτῶ μεταχωρῆσαι, τοῖς Γραικοῖς ἐπιτάξωσιν.

Ἐν ταῖς δυσὶ Συνελθούσαις ταῖς ἑξῆς, ΙΓ'. καὶ ΙΔ'., τὰ τῆς Διαλέξεως ἀργήσαντα διακέκοπται· χάριν τῆς ἐπιδημίας τῶν Πρέσβεων τῶ Βεργενδίας Δεκός· οἱ καὶ πρὸς τιὼ Σιώδου παραγενόμενοι, τῶν πάντων καθημένων, τὸν Πάπαν μόνον ἠσπάσαντο· Τὸν δὲ τῶν Γραικῶν Αὐτοκράτορα, ἐδαμῶς· Ὅπερ ὁ Βασιλεὺς χαλεπῶς ἐνέγκας, τιὼ Σιώδου καταλιπεῖν διηπείλησεν· Ἀλλ' ὁ Πατριάρχης Ἰωσὴφ, καὶ τὸν Βασιλέα ἐξευδυσώπησε τῶ μὴ τῆς Συνόδε ἐκχωρῆσαι, καὶ τὸ πρακτέον τῷ Πάπα ὑπέθετο. Ἐνθεντοι, ἐπὶ τῆς ΙΔ'. Συνελθούσεως, τῷ Βασιλεῖ οἱ Πρέσβεις τὸν προσήκοντα ἀπέδωκαν ἀσπασμόν· καὶ ἕτω δὴ καὶ τῶτο διωκονόμηται.

Ἐν τῇ ΙΕ'. τῶν Συνελθόντων, αὖθις ὁ Ἐφέσε διείλεκται πρὸς Ἰβλιανὸν, περὶ τῆς ἐν τῷ Συμβόλῳ προθήκης· καὶ τὰ ὑπὸ τῶ Καρδινάλεως εἰρημένα εἰς ὀκτὼ Κεφάλαια διανείμας, σωτόμως μὲν, εὐτόνως δὲ ὅμως, πάντα ἀπήλεγξεν· Ὥστε τὸν Ἰβλιανὸν μηδέντι καὶ δωηθῆναι περαιτέρω εἰπεῖν, ἢ ταῦτα· Ἐξεταθήτω, Πάτερ, ἐξεταθήτω· καὶ εἰ μὲν βλάσφημος εὑρεθείη ἡ τῶ Υἱῶ φωνὴ, ἔτε ἐν τῷ Συμβόλῳ μένη, ἔτε ἀλλαχῆ τεθείη· Τὰ γὰρ βλάσφημα ἐδόλως χρὴ λέγεθαι. Εἰ δὲ εὐσεβὴς πανταχῆ δεκτέα ἐστὶ, καὶ ἐν τῷ Συμβόλῳ ἀναγκαιοτάτη. (*) Ἀμέλειτοι, δι' ὧν ἔλεγεν ἐκεῖνο κατ' Ἔφεσιν εἶχεν, ἵνα μηκέτι περαιτέρω ὁ Ἐφέσε, περὶ τῆς ἐν τῷ Συμβόλῳ προθήκης τιὼ διάλεξιν προάγῃ· Ἀλλὰ ἐπὶ τιὼ ἔρδυναν μεταβὰς χωρήσῃ τῶ δόγματος. Ἀλλ' οἱ Γραικοὶ μηδὲν τέρμα τῆς προτέρας ταύτης ὁρῶντες ζητήσεως, ἠρξαντο ἀδημονεῖν· μηδὲν δ' ὅ,τι καὶ χρηςὸν ἀπὸ τῆς Συνόδε ἐκβήσεθαι προσδοκῶντες, τῶ εἰς τιὼ πατρίδα νόςε ἐμιμνήσκοντο· Ὦγεμιὼ Αὐτοκράτωρ, πολλοῖς αὐτὲς παρώτρυνε λόγοις, περὶ τιὼ ἕνωσιν τῶν Ἐκκλησιῶν σπεδιὼ πᾶσαν καλατιθέναι

(*) Ἀρδεῖν. Αὐτ. Στύλ. 169.

ναι, διὰ πολλὰ τὰ καλά· καὶ μᾶλλον διὰ τὸ ἐπιστρέψαι μετὰ τιμῆς ἰωαννέας, ἢ μετ' αἰσχύνης διωρισμένους εἰς τὴν πατρίδα. (*)

Ἐν ᾧ ταῦτα ἐπράττετο, ἀπέστειλεν ὁ Πάπας τὸν τοῖς Γραικοῖς ἀγγελοῦντας, ὡς ἐπάναγκες εἰς Φλωρεντίαν ἀπελθεῖν, διὰ τὸν λοιμὸν τὸν ἐν Φερράρίᾳ ἐνσκήψαντα· Ὃ καὶ πολλῷ ἔτι μείζονος ἀθυμίας τῶν Γραικῶν ἐνέπλησε τὰς ψυχάς. Μηδὲ γὰρ ὑπέναι τινὰ αἰτίαν ἡγοῦντο, δι' ἣν ἂν εἰς Φλωρεντίαν μεταχωρήσαιεν, ἐν Φερράρίᾳ, καὶ ἐκ ἄλλοσε τελεσθῆναι τὴν Σύνοδον, ἅπαξ ταχθεῖσαν. Διὸ καὶ τῷ Βασιλεῖ ἐπὶ σωθήναις τοιαῖσδε προέθεντο, εἴπερ ἐπὶ Φλωρεντίας αὐτὸς ἀπιέναι βέλοιτο. Ἀμέλειτοι: Ὅπως ἔχῃ ἡ πόλις αὐτῶν ὅπλα μισθῶν βοήθειαν. Ὅπως ἔχωσιν αὐτοὶ πάντε μισθῶν ὀφειλόμενα τροφεῖα· Ὅπως ἔχωσι μπάγκον Φλωρεντίου εἰς τὸ ἔξης. Ὅπως ἔχωσι πάσας τὰς ἐξόδους ἕως τῆς Φλωρεντίας. Ὅπως ἐκεῖσε ἀπελθόντα μόνον, καὶ ἐκ ἀλλαχοῦ· Ὅπως ποιήσωσι μόνον μισθὸν τέσσαρας, καὶ ἐ πλέον· Ὅπως ἔχωσι τὴν κρίσιν αὐτῶν εἰς ἑαυτὸς, καὶ τὴν ἐξουσίαν εἰσελθεῖν, καὶ ἐξελθεῖν ὡς βέλονται. Καὶ ἔτι τὰ ὤνια μὴ χρεωργηθῆναι ἀπὸ τοῦ νῦν. (**) Πρὸς ἃ καὶ εὗρον λίαν καλαπειθῆ ὄντα τὸν Βασιλέα, τὸν καὶ πάντα αἰτήσεσθαι παρὰ τοῦ Πάπα ὑπεχημένον, καίτοι ἄλλως ταῦτα ὕστερον ἐχθέντα ἡ ἔκβασις ἔδειξεν. Ὃ προϊδεῖν οἱ Γραικοὶ ἐκ εἶχον. Οἵ, καὶ τοῖς τοῦ Αὐτοκράτορος λόγοις πᾶσαντε πίστιν, καὶ παντοίαν αἰδὼ ἐποφείλοντες, τῇ μεταθέσει τῆς Συνόδου συγκατέθεντο. Καὶ τοίνυν ἐπὶ τῆς Ις'. Συνελεύσεως, τὸ περὶ τῆς μεταθέσεως τῆς Συνόδου εἰς Φλωρεντίαν ἀνεκηρύχθη Δεκρέτον, Λατινιστὶ μὲν ὑπὸ τοῦ Γραδίνσιος Ἀρχιεπισκόπου, Ἑλληνιστὶ δὲ ὑπὸ τοῦ Μιτυλλήνης ἀναγνωσθέν, Ἰαννουαρίου ἡμέρᾳ δ'. Ἔτους 1439.

Τοιγαροῦν Φεβρουαρίου τῇ κς'. ἀθροισθέντες ἤδη ἐν Φλωρεντίᾳ Γραικοὶ καὶ Λατῖνοι, τὴν ΙΖ'. Συνέλευσιν ἐτέλεσαν.

(*) Παρ' Ἀρσενίου. Στύλ. 171.
(**) Αὐτ. Στύλ. 176.

σαν. Ἐν ᾗ πρῶτον Ἰβλιανὸς ὁ Καρδινάλις μετὰ τῦ Βασιλέως σωέτυχε, περὶ τῆς, ἀπὸ τῆς θατέρω τῶν Ζητημάτων ἐρώνης ἐπὶ τλὼ θατέρω, μεταβάσεως. Οὕτω τὲς λόγως καὶ τλὼ σωτυχίαν συμπλέξαντες, ὡς μηδὲ τὸν Βασιλέα συγχωρῆσαι τλὼ περὶ τῆς προθήκης ζήτησιν πάντη λυθιῶαι, μηδὲ τὸν Ἰβλιανὸν καθομολογεῖν ἐθελῆσαι, μὴ ἄλις σαφῶς αὐτλὼ παρὰ τῶν οἰκείων ἀναπλυχθιῶαι, καὶ τηλαυγῶς διατρανωθιῶαι. Ἐξ ἧ ἐπιζήσας ὁ Αὐτοκράτωρ, μηδεμίαν ἄρα σώσεως ὑπολειπεθαι ἐλπίδα, ἐκέλευσε τοῖς αὐτῦ τρόπον ἀναζητεῖν, καθ' ὃν τὰ τῆς ὁμονοίας σωτελεθείη, καὶ τῦτον προβαλέθαι ἐπὶ τῆς ἐγγὺς ἐσομένης Σωελθύσεως. Τῦ δὲ τρόπω μὴ εὑρισκομένω ἐβελθύσαντο, τῶν μὲν δημοσίων Σωελθύσεων τῦ λοιπῦ ἀποχέθαι, διαλέξεις δ' αἰτήσαθαι κατ' ἰδίαν συγκροτεῖν, ἐπλάτινας ἐξ ἑαυτῶν Ἀνδρας ἐκλεξαμένως, σὺν ἀδείᾳ τῦ εἰς λόγως ἥκειν, καὶ διαπραγματύεθαι μετὰ Ἰσαριθμων Λατίνων, περὶ τῶν προκειμένων ζητημάτων. Ἀλλὰ τότε τῷ Πάπα ἀναγγελθέντος, ἤρεσε μᾶλλον ἡ περὶ τῶν Διαφορῶν δημοσίᾳ γινομένη Συζήτησις. Καὶ δὴ, ἐκ μὲν τῶν Λατίνων, Ἰωάννης ὁ ἐκ τῦ μέλανος Ὄρες, ὁ Προβικιάλις τῆς Λομβαρδίας, ἐκ τῦ τῶν Κηρύκων Τάγματος ὤν· Ἐκ δὲ τῶν Γραικῶν Μάρκος ὁ Ἐφέσε, ὐ ταῖς Σωελθύσεσι, ΙΗ'. ΙΘ'. Κ'. ΚΑ'. ΚΒ'. ΚΓ'. καὶ ΚΔ'. σωτονώτατα διηλέχθησαν περὶ τῆς Ἐκπορεύσεως τῦ Ἁγίε Πνεύματος. Καὶ ὁ μὲν, ὑποθήκαις τινὰς προτάξας περὶ τῶν μαρτυριῶν τῶν ἐκ τῶν Πατέρων, καὶ Συλλογισμὸν προβαλόμενος, μυρίοις ἑαυτὸν σωέσρεψε τρόποις, ὥσε δεῖξαι τλὼ τῦ Ἁγίε Πνεύματος ἐκπόρευσιν καὶ ἐκ τῦ Υἱῦ, τοῖς ὑπὸ τῶν Ἁγίων, Ἐπιφανίε, καὶ Βασιλείε, καὶ Ἀθανασίε εἰρημένοις πρὸ πάντων, τλὼ ἰδίαν δόξαν κατασκεθάσαι ἀγωνισάμενος. Εἶτα τότοις μὴ ἐπαρκεθεὶς, καὶ Σχολαστικὰ ἄτλα ἐπιχειρήματα προεπεξελύεγκεν. Ἀλλὰ πρὸς ταῦτα πάντα, Μάρκος ὁ Ἐφέσε, ἔτω προσφυῶς, ἔτως εὐτόνως τε καὶ σεμνῶς ἀπεκρίνατο, ὡς μηδὲν ἕτερον τῷ Ἰωάννῃ ὑπολειφθιῶαι, ἢ τὸ παρὰ τῦ Βασιλείε χωρίον ἀνακυκλεῖν προσυδιατρίβοντα.

βοντα. Περὶ ὃ καὶ μόνον, δι' ὁλοχερῆς χεδὸν ἐιαυτῆ, προήχθη ἡ ζήτησις. Ἐπειδὴ γὰν ὁ Βασιλεὺς σωεῖδεν, ὡς ἐδὲν ἔσαι πέρας τῆ διαλέγεσθαι, τῆ μὲν προβιγκιάλεως Ἰωάννε σιγᾶν μὴ θέλοντος, τῆ δὲ Μάρκε τῆ Ἐφέσε πολλὰ, ἅπερ ἂν εἴποι, ἔχοντος· Ἐπὶ δυσὶ ταῖς ἑκάταις τῶν Σιωελεύσεων, τὸν Ἐφέσε παρεῖναι ἐκώλυσεν. Ἐβέλετο γὰρ τρόπον ἐνώσεως ἐξευρέσθαι, πρὸς τὸ ἀπιέναι, λόγων δ' ἐριτικῶν ἐδὲν ἰῶ παραιτέρω δεόμενος. Ἔνθεντοι, καὶπὶ τῆς ΚΔ'. Σιωελεύσεως, πρὸς Ἰωάννιν τὸν λέγοντα, βελητέον ἂν καὶ τὸν Ἐφέσε παρεῖναι, καὶ τῶν ὑπ' αὐτῆ προσεχθέντων τὰς ἐπιλύσεις ἀκέσασθαι, ὁ Βασιλεὺς ἀπεκρίνατο. Ἡμεῖς καλὰ τὸ παρὸν ἐδὲν βε- λόμεθα εἰπεῖν· Διὰ τᾶτο ἐδ' ὁ Ἐφέσε ἦλθε μεθ' ἡμῶν. Οὐδὲ ἦλθομεν διαλεχθῆναι σήμερον ἡμεῖς. Ἀλλὰ διὰ τὸ θέλημα ὑμῶν ἦλθομεν, καὶ διὰ τινὰ συμφωνίαν ἰῶ ἔχομεν πρὸς ἀλλήλες, ὅπως μὴ ἀμελῶνται αἱ Σιωελεύσεις· ἦλθομεν ἔν, καὶ ἔτι θέλετε, λέγετε. Ἡμεῖς ἐδεμίαν ἀπολογίαν θέλομεν ποιήσειν ὑμῖν. (*)

Οὐκᾶν ὁ Προβιγκιάλις Ἰωάννης μηδενὰ ἔχων τὸν ἀντιλέγοντα, πολλὰ ὑπὲρ τῆ Λατίνων δόγματος, καλὰ τὰς Σιωελεύσεις ΚΔ'. καὶ ΚΕ'. ἐδημηγόρησεν, ἐπενεγκὼν καίτινας Γραικῶντινων Πατέρων μαρτυρίας, αἳ ἐδόκεν ὑπὲρ αὐτῆ ἴσαθαι· Καλῶς δ' ἐπενεγκεῖν εἶχε, μηδενὸς τῶν Γραικῶν πρὸς αὐτὰς μηδὲ μύξαντος. Οὕτω γὰρ ἔδοξε τῷ Βασιλεῖ, ἑτέρῳ τρόπῳ ἐπιζητᾶντι γενέθαι τινὰ ἕνωσιν· Ἐξητήσαντο δὲ μόνον οἱ Γραικοὶ τὰς δέλτας, ἐξ ὧν αἱ τῶν Γραικῶν ἐκεῖναι μαρτυρίαι ἐλήφθησαν ἃς καὶ λαβόντες, καὶ πρὸς ἃς εἶχον αὐτοὶ παραθέμενοι, ἐδὲν περατέρω ἔφασαν· καὶ διὰ τᾶτο ὑπεδήλωσαν, ἔντι ὁποιονᾶν ἐξευρηκέναι, τὸ πρὸς σωτέλειαν τεῖνον τῆς μελὰ Λατίνων ἑνώσεως. Ἀπέστειλε τοίνυν πρὸς τὸν Πάπαν ὁ Πατριάρχης τὰς αἰτησομένας δι' ὅλης τῆς Ἁγίας Ἑβδομάδος τὰς Συνελεύσεις χολάσαι, πρὸς διάσκεψιν. Ὅ, καὶ τῷ Πάπᾳ δόξαν, ἔτως ἐγένετο. Τίνι δὲ ἆρα σκοπῷ ὁ Πατριάρχης

(*) Ἀρδεῖν. Στύλ. 312.

χης τοῦτο ἠτήσατο, σαφῶς ἀνεφάνη ἐκ τῆς ΚΕ'. τῶν Συνελθόσεων. Αὐτίκα γὰρ, ὡς οἱ τῶν Ἀνατολικῶν Ἀρχιερεῖς τῷ Πατριάρχῃ συνῆλθον συμβελθόμενοι, τὰ ὑπὸ τοῦ Πάπα ῥηθέντα τε καὶ δηλωθέντα αὐτοῖς διεσημήνατο. Ταῦτα δὲ λῦ: τὸ μηκέτι δὴ συνήσεσθαι Σιώδου. Καὶ ἵν' αὐτοὶ διορίσωνται θάτερον ἐξ ἀμφοῖν· Ἤτοι ἄχρι τοῦ Πάχα, τρόπον εὑρέσθαι ἑνώσεως, ἢ πάντως τλὺ ὁδὸν τῆς πρὸς τλὺ αὐτῶν πατρίδα ἐπανελθόσεως. Τέτων δὲ θάτερον εἰς φροντίδας μεγάλας, τὰς τῶν Γραικῶν ψυχὰς περιέσησε. Τριήρεσίτε γὰρ, καὶ ἀναλώμασι τοῖς παρὰ τοῦ Πάπα, ἐς Ἰταλίαν ἀφίκοντο· καὶ δι' ὅλε δὲ τοῦ τῶν προσδιαλέξεων χρόνε, ὃς εἰς πντεκαίδεκα, καὶ ἔτι πρὸς, μλῶας παρέτεινε, πάντα ὑπ' ἐκείνε τὰ ἀναγκαῖα πρὸς τὸ ζλῶ ἐκαρπώσαντο· Ἤδη δὲ καὶ δαπάναις ἰδίαις, ἅπερ αὐτοῖς ἐκ ἦσαν, εἰς τλὺ πατρίδα ἔμελον ἀπονοσήσειν· Τί ἂν ἐποίησαν; πολλοὶ ἐπὶ τλὺ ἕνωσιν ῥέπειν ἤρξαντο. Οὕτως Ἰσίδωρος ὁ Ῥωσίας Μητροπολίτης, ὁ κατ' ἀρχὰς πρὸς Λατίνες διαλεξάμενος, τοῦτο πυθόμενος ἐπὶ τοῦ λατίνων παρέκλινε, ταῦτα εἰπών: Συμφέρει ἡμᾶς ἑνωθλῶαι ψυχικῶς τε καὶ σωματικῶς, ἢ ἀπελθεῖν ἀπράκτες· Τὸ γὰρ ἀπελθεῖν εὔκολον ἐσί· τὸ δὲ πῶς μέλλομεν ἀπελθεῖν, ἢ πῦ, ἢ πότε, ἐκ ἐπίσαμαι. (*) Τοῦτον ὑπεδέξατο Βησαρίων ὁ Νικαίας Ἀρχιεπίσκοπος· καὶ τὸ αὐτὸ καὶ ἕτος τοὺς ἰδίους πείθειν ἐσπέδασεν. Οἱ δὲ δύω ἕτοι, τὰ τοῦ Πάπα ὄργανα ὑπῆρξαν, οἷς μάλισα πρὸς τὸ συῤῥάψαθαι τλὺ ἕνωσιν ἐκείνῳ ἐχρήσατο. Καίτοιγε ἐκ ἀπέλιπον, οἱ καὶ ἄλλως ἀποκρινάμενοι· Οὕτω γὰρ Δοσίθεος ὁ Μονεμβασίας Μητροπολίτης ἔφησεν: Ἀνάξιον εἶναι, διὰ τὸ ἀπελθεῖν ἡμᾶς ἐν τῇ Πατρίδι μετὰ τῶν ἐξόδων τοῦ Πάπα, ἵνα προδῶτωμεν τὸ δόγμα ἡμῶν. (**) Καθ' ὃ καὶ ὁ Ῥωσίας ἐπεχείρει δεῖξαι, τλὺ Λατίνων δόξαν μὴ ἀλλοτρίως ἔχειν τοῦ ἀληθοῦς, ὡς μὴ μόνων τῶν Δυτικῶν ταύτλι Πατέρων, ἀλλὰ καὶ τῶν Ἀνατολικῶν, ὡς ἔφασκεν, αὐτλὺ συγκροτέντων. Ἀλλ' ἀντέφησαν ἄλλοιτε

(*) Ἀρδεῖν. Στύλ. Αὐτ.
(**) Αὐτ. αὐτ.

λοιτε πολλοὶ, καὶ πρὸ τῶν ἄλλων Μάρκος ὁ Ἐφέσε· Ὃς καὶ προσέθετο: Μὴ μόνον τὰς Λατίνας Σχισματικὰς εἶναι, ἀλλὰ καὶ Αἱρετικάς· Τοῦτο δὲ, ἡ καθ' ἡμᾶς, φησὶν, Ἐκκλησία ἐσίγησεν, ὅτι τὸ γένος αὐτῶν πολυάριθμόν τε ἐστὶ, καὶ τῷ ἡμετέρῳ ἰσχυρότερον. Ἡμεῖς δὲ, δι' ἐδὲν ἄλλο ἀπ' αὐτῶν διέσημεν, εἰμὴ ὅτι Αἱρετικοὶ εἰσί. (*) Ταύτῃ τῷ Ἀνδρὶ τῇ φωνῇ ἐκ ἤνεγκεν ὁ Νικαίας, ἀλλὰ πολλὰ κατ' αὐτῷ ἐφθέγξατο. (**) Τέτων ἓν καὶ τοιέτων ἄλλων εἰρημένων, πέρας μὲν ἔσχεν αὖτη ἡ Γραικῶν Σύναξις· Διεκρίθησαν δὲ οἱ Γραικοὶ τότε εἰς μοίρας διασάς· Τῶν μὲν, τοῖς τῇ ἑνώσει προσισαμένοις ἐφεπομένων, τῶν δὲ, τοῖς ἰσαμένοις ὑπὲρ αὐτῆς. Ὁ δὲ Βασιλεὺς, ἅτε μηδὲν ἕτερον κατὰ νῶν ἀνελίτλων, ἢ τὰ σωτελεῖν οἱ δοκέντα τῷ βίῳ, ὅλως ἐπιῤῥεπὴς ἦν πρὸς τὴν ἕνωσιν, κἀτρα δὴ καὶ τοῖς ἄλλοις εἰς τὸ ταύτην ἀσπάσαθαι προσεπάγων. Οὐχ ὅπως δὲ, ἀλλὰ καὶ ὃς ἂν μὴ πειθομένοις ἴδοι, αὐτηρότατα τέτοις προσφερόμενος, καὶ μηδένα ἐκὶ λίθον ἀνακινῶν, ὅπως ἂν οἱ πάντες τῇ ἑνώσει συνυπογράψωσι. Διὸ καὶ ἤυξανεν ἐφ' ἡμέραις, ὁ τῶν ἑνέθαι Φιλοτιμεμένων ἀριθμὸς, τῇ Ῥωσίας ἐξαιρέτως, καὶ τῷ Νικαίας προέδρῳ, ἀόκνως περὶ τὸ ἔργον τὴν πᾶσαν σπεδὴν καταθεμένων. Ὁ δὲ Νικαίας, καὶ λόγον ἀπέτεινε διεξοδικὸν, ἐν τῇ τῶν Ἀνατολικῶν Συνάξει, ὅτι δὴ δέον εἴη τὴν ἕνωσιν προσέθαι, διὰ πολλῶν δεῖξαι ἀγωνισάμενος. (†) Παρὰ δὲ τὸν Νικαίας, καὶ Γεώργιον, φασὶ, τὸν Σχολάριον, λόγες τρεῖς προσενεγκόντα Συμβελευτικὰς πρὸς τὴν Σύνοδον. (††) Ἀλλὰ τῶν Γραικῶν οἱ πλεῖσοι Μάρκῳ παρακολε-

(*) Παραπλήσιόν τι καὶ Βέκκος εἰρήκει, πρὸ τῆς ἀποσασίας αὐτῦ, ἐπὶ Μιχαὴλ τῦ Παλαιολόγε· Ὡς ἀνωτέρω σεσημείωται.

(**) Ὅρα παρὰ τῷ Αὐτῷ Ἀρδενίνῳ Αὐτ. Στύλ. 313.

(†) Ὁ δὲ Λόγος ἐμφέρεται ἐν τοῖς Πρακτικοῖς τῆς ἐν Φλωρεντ. Συνόδ. παρὰ Λαββέῳ Τόμ. ΙΓ'. τῶν Συνοδικ. παρὰ δὲ Ἀρδενίνῳ Τόμ. Θ'.

(††) Ἐκδέδονται δὲ Ἑλλιν. καὶ Λατιν. μεθ' ἃ τὰ Πρακτ. τῆς ἐν Φλωρεντ. Συνόδ. Ἀλλ' οἱ Λόγοι ἕτοι ἐχ ὑπὸ Σχολαρίε, ὑφ' ἑτέρε δέτινος προελήλυθασιν, ὡς ἄνδρες Σοφοὶ σαφῶς ἀπέδειξαν. Περὶ ἧ Ἀνάγνωθι Φραδέρικ. Σπαγχέμ. ἐν τῇ Διατριβῇ περὶ τῆς δωρεᾶς Διαφωνίας

τῆς

ρακολαθῆντες τῷ Ἐφέσῳ, ἐπὶ πολὺ τῇ ἑνώσει ἐκ συνεδίδοσαν. Ὁ τῷ Βασιλεῖ ὡς λίαν δι' ὄχλε ἐγένετο. Διὸ καὶ ἀπερχόμενος νιῶ μὲ τῷ Πάπα, νιῶ δὲ σὼ τῷ Πατριάρχῃ βελιὼ ἴση, ὅπως ἂν καὶ τότες ἐπὶ τιὼ ἕνωσιν προσαγαγὼν ἐπισπάσαιτο. Οἱ δὲ Λατῖνοι τὸ παράπαν ἐ διέλιπον, συχνὰ σνισάμενοι, ἵν' ὁ Αὐτοκράτωρ, ἤτοι μετ' αὐτῶν τὲς Γραικὲς διαλέξαθαι ἐπιτάξειεν, ἢ τιὼ ἕνωσιν ἀποδέξαθαι. Αὐτὸς γεμιὼ ἐκ τῶν Διαλέξεων μηδενὸς ὅλως καρπὸν ἐλπίζων, ὡς μήτε Λατίνων Γραικοῖς, μήτε Γραικῶν Λατίνοις ὑπενδιδόντων, τρόπον ἕτερον ἀνεζήτει, δι' ἕπερ συμβιβαθείη ἡ πρὸς ἀλλήλες ὁμόνοια. Ὃν ἐφ' ᾧ τάχιον εὑρεθῆναι, ἐδεήθη τῦ Πάπα, ὅπως Ἄνδρες ἀφ' ἑκατέρε τῦ μέρες αἱρεθεῖεν δέκα, οἱ περὶ τῦ τῆς ἑνώσεως τρόπε σωδιασκεψόμενοι· ὃ καὶ γέγονεν. Οἱ μὲν ἓν Λατῖνοι, ἀνὰ δύο ἐξ ἑκάσης τῶν παρ' αὐτοῖς ἐξελέξαντο τάξεων· Τετέσιν, ἔκ τε Καρδιναλίων, καὶ Ἀρχιερέων, καὶ Ἡγεμόνων, καὶ Θεολόγων, καὶ Πρεσβυτέρων. Τοῖς δὲ Γραικοῖς, δέκα Μητροπολίται ἀπεκληρώθησαν εἰς τὸ ἔργον παρὰ τῦ Αὐτοκράτορος. Καὶ σὺ μὲν ταῖς πρώταις Σωάξεσι, περὶ τῆς Ἐκπορεύσεως αὖθις τῦ Ἁγίε Πνεύματος αὐτοῖς πεπραγμάτευται· ἐ διὰ φωνῆς, ἀλλ' ἐν γράμμασιν. Οἱ γὰρ Λατῖνοι τιὼ ἔκθεσιν τῆς ἰδίας δόξης, τοῖς ἐκ τῶν Γραικῶν τεταγμένοις προχειρισάμενοι,
» ἐδογμάτιζον: Ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεται ἐκ
» τῦ Πατρὸς καὶ τῦ Υἱῦ, ὡς ἀπὸ μιᾶς ἀρχῆς. Ἔλεγον
» δὲ, τὲς λέγοντας δύο ἀρχὰς, ἢ δύο αἰτίας, ἀνάθεμα. (*)
» Ὡσαύτως δὲ καὶ οἱ Γραικοὶ, γράψαντες ὁμολόγησ: Πη-
» γιὼ καὶ ῥίζαν Υἱῦτε καὶ Πνεύματος τὸν Πατέρα· καὶ
» ἄνθη Θεόφυτα τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τῦ Πατρὸς, καὶ
» τὸν Ἅγιον Κύριλλον, καὶ τιὼ Α'. Σωόδον, καὶ τὸν Μέγαν
» Βασίλειον. Καὶ ὅτι, ἀναβλύζει ὁ Υἱὸς τὸ Πνεῦμα, πη-

γάζει,

τῆς Ἀνατολικ. Ἐκκλησ. ἀπὸ τῆς Ῥωμαϊκῆς, ἐν Τόμ. Β'. τῶν Συγγραμμάτων Σελ. 588. Καὶ Γεώργ. Βάλχ. ἐν τῷ Ἱστορ. τῦ Ζητήμ. τῦ περ τῆς Ἐκπορ. τῦ Ἁγ. Πνεύμ. τῇ ἐν Ἰένῃ ἐκδοθείσῃ, Ἔτε 1751. Κεφ. Ζ'.

(*) Παρὰ Ἀρδεῖν. Τόμ. Θ'. Στύλ. 380. 381.

γάζει, προχεῖ· καὶ τὸ Πνεῦμα τὸ Ἅγιον πρόεισι καὶ ἐκ τοῦ Υἱοῦ, καὶ ἐνίεται· καὶ προχεῖται. Οἱ δὲ Λατῖνοι τοῦτο ἰδόντες, ἐκ ηρκέσθησαν ἐπὶ τῷ γράμματι, διὰ τὸ τὰ ῥήματα· ἀναβλύζει, πηγάζει, πρόεισι, προχεῖται, ἀμφίλογα εἶναι, καὶ πρὸς τὴν χρονικὴν τοῦ Ἁγίου Πνεύματος τοῖς πιστοῖς ἔκχυσιν ἔχειν μεταλαμβάνεσθαι. Ὡς δὲ ταῦτα τοῖς Γραικοῖς ἀνηγγέλη, γογγύζειν ἤρξαντο, λέγοντες· Ἄλλο ἐδιωάμεθα ποιῆσαι· Ἡμεῖς Ἁγίων ὁμολογίας ἐγράψαμεν καὶ ἐστείλαμεν. Τί ἔτι ἔχομεν; καὶ ἕτως ἤρξαντο ἀπειδάζειν ἐπιστρέψαι. Καὶ σωαχθέντες ἀνέφερον πάντα τῷ Πατριάρχῃ, λέγοντες· Ἵνατί καθεζόμεθα τόσον καιρὸν ἀργοί; γενέσθω συμπέρασμα. Οἷς προσέθεντο, καὶ ὅτι, εἰ ἐ γένηται τέλος σωτομώτερον, αὐτὸς ἐ δυνάσθαι καθέζεσθαι πλέον. Καὶ δεῖν σκέψασθαι λοιπὸν τρόπον τοῦ ἀπελθεῖν. Ταῦτα τῷ Βασιλεῖ διαμιωυθέντα, ἐκ ἔδοξεν εἶναι μακροθύμων Ἀνδρῶν. Ἀλλ' ὥρισεν, ὅτι ἡ ῥᾳθυμία ὑμῶν, πολλὰ κακὰ προεξένησε τῷ πράγματι.

Μετὰ δὴ ταῦτα πολλὰ παρὰ Γραικοῖς ἐγένοντο Συνάξεις, τῶν Ἀρχιεπισκόπων Ῥωσίας, καὶ Νικαίας, καὶ Μιτυλίνης, τὴν ἕνωσιν, ὅση δυνάμις, παραπειθόντων. Ἐπαναγνωσθέντων δὲ ἅπαξ τε καὶ αὖθις, καὶ ἀνεξεταθέντων τῶν ῥητῶν τῶν Πατέρων, Ἀνατολικῶντε καὶ Δυτικῶν, ἅπαντες μονονεχὶ οἱ Γραικοὶ Ἐπίσκοποι, ἐξηρημένου μόνου Μάρκου τοῦ Ἐφέσου, τὴν μὲν τοῦ Βασιλέως ὀργὴν καὶ ἐπίπληξιν μηκέτι φέρειν οἷοίτε ὄντες, ὑπὲρ δὲ τῆς εἰς τὴν πατρίδα παλινοστήσεως, καὶ τῆς ἰδίας ζωῆς ποιέμενοι πρόνοιαν· καὶ μὲν δὴ, καὶ τῇ μὲν χρήμασι προσδιαφθαρέντες, τῇ δὲ καὶ ταῖς παρὰ τοῦ Πάπα ἐπαγγελλομέναις ὑποδελεασθέντες τιμαῖς, τῇ ἑνώσει προσερρύησαν. Διερωτηθέντες ἓν, τίς ἑκάστῳ ἐγκάθηται δόξα; ἅπαντες ἀπὸ μιᾶς Φωνῆς ἀπεκρίναντο· Ὅτι χρὴ πρῶτον ἵνα εἴπῃ γνώμην ὁ Πατριάρχης, εἶτα ἡμεῖς· καὶ εἶπεν ὁ Πατριάρχης γνώμην εὐθὺς τοιαύτην· Ἐγὼ τὸ πα-

» τροπαράδοτον δόγμα ἡμῶν ἐδέποτε παραμείψω, ἢ πα-
» ραλλάξομαι. Ἀλλὰ μενῶ ἕως ἐχάτης μὲ ἀναπνοὴς ἐν
» αὐτῷ. Ἐπεὶ δὲ οἱ Λατῖνοι ἐκ ἐξ ἑαυτῶν, ἀλλ' ἐκ τῶν
» Ἁγίων Γραφῶν ἐξηγῆνται τὶὼ ἐκπόρδυσιν τῦ Παναγίε
» Πνδύματος εἶναι καὶ διὰ τῦ Ὑιῦ, σέργω κἀκείνες, καὶ
» δίδωμι γνώμιν, ὅτι ἡ διὰ αὕτη αἰτίαν δίδωσι τῷ Ὑιῷ τῦ
» Ἁγίε Πνδύματος. Καὶ ἑνέμαι αὐτοῖς, καὶ συγκοινωνῶ.
Τῦ Πατριάρχε ἓν τοιαύτιν γνώμιν εἰπόντος, καὶ οἱ λοι-
» ποὶ Γραικοὶ ὁμογνωμονήσαντες, εἶπον: Ὅτι τὸ Πνεῦμα
» τὸ Ἅγιον ἐκπορδύεται ἐκ τῦ Πατρὸς καὶ τῦ Ὑιῦ, ὡς ἀπὸ
» μιᾶς ἀρχῆς καὶ μιᾶς ἐσίας. Καὶ ἐκπορδύεται διὰ τῦ
» Ὑιῦ, ὡς ὁμοφυῦς καὶ ὁμοσίε. Ἐκπορδύεται ἐκ τῦ Πα-
» τρὸς καὶ τῦ Ὑιῦ, ὡς ἀπὸ μιᾶς πνδύσεως καὶ ἐκπορδύ-
» σεως. (*) Τελδταῖον τὶὼ τῶν τοιήτων γνωμῶν ἔκθεσιν,
οἱ ἀμφοτέρων τῶν Ἐκκλησιῶν Ἀποκρισιάριοι, ἀντέγρα-
ψαν εἰς τρία τμήματα· Καὶ ἐσάλη μὲν τῷ Πάπᾳ τὸ ἕν·
ἔλαβε δὲ καὶ ὁ Βασιλδς τὸ ἕν· καὶ ὁ Πατριάρχης τὸ
ἕτερον. Οὗ γνομένε, ἐπιγραφεὶς ὁ Βασιλεὺς τοῖς ἰδίοις
προσεῖχε πράγμασι, καὶ πέμψας τὸν Ῥωσίας πρὸς τὸν
Πάπαν, διεπωθάνετο, ὁποίαν ἄρα τινὰ τὶὼ βοήθειαν
τοῖς Χριστιανοῖς ἀξιώσειεν ὀρέξειν ὁ Πατὴρ ὁ Μακαριώτα-
τος; Ἐπανῆκε δ' ἀπὸ τῦ Πάπα ὁ Ῥωσίας, ἄγων μεθ'
ἑαυτῦ Καρδιναλίες τρεῖς· Οἵ, ἐρωτήσαντι τῷ Βασιλεῖ,
ἥντινα δὴ προέθαντο ποιῆσαι βοήθειαν, ἀπεκρίναντο:
» Πρῶτον καὶὰ τὸ παρὸν ὁρίζει ὁ Ἁγιώτατος Πατὴρ, δῦ-
» ναί σοι ἔξοδον ἱκανὶὼ καὶ Κάτεργα, ἵνα ἀπέλθῃ πᾶς
» ὁ λαός σε, καὶ ἡ Ἐκκλησία τῆς Ἀνατολῆς εἰς Κωνσαν-
» τινόπολιν. Δδύτερον, ὅτι νὰ ἴσανται ἀεὶ τριακόσιοι σρα-
» τιῶται εἰς Φυλακὶὼ τῆς πόλεως, εἰς τὰς ἐξόδες αὐτῦ.
» Τρίτον ὅτι ἐξόδῳ αὐτῦ, ἵνα εἰσὶ δύω Κάτεργα ἐμπαρατη-
» ρῦντα καὶ ἐπισκέπλοντα αὐτιά· Τέταρτον, ὅτι ἵνα γένη-
» ται τὸ προσκύνημα τῆς Ἱερσαλὴμ εἰς Κωνσαντινόπολιν.
» Καὶ αἱ Γαλιάτζαι αἱ ἀπερχόμεναι εἰς προσκυνησιν τῦ
ζωοποιῦ

(*) Ἀρδαῆ. Αὐτ. Στύλ. 400.

ζωοποιὸ Τάφο, ἵνα ἔρχωνται εἰς Κωνσταντινόπολιν. Πέμπλον, ὅταν χρήζῃ ὁ Βασιλεὺς Κάτεργα εἰς βοήθειαν αὐτῦ, ἵνα δώσῃ Κάτεργα εἴκοσι μετὰ πάσης ἐξόδε αὐτῦ ἁρματωμένα, μιᾶς ἕξ. Εἰ δὲ χρήζει δέκα, ἵνα ἔχῃ αὐτὰ ἔτος ἕν. Ἕκτον, ὅταν χρήζῃ Φωσάτον καὶ στόλον διὰ ξηρᾶς, ἵνα πορεύσῃ ἀνάπιον τῦ Χριστῦ, ἵνα ἔλθωσι τὰ γένη τῶν χριστιανῶν πρὸς συμμαχίαν αὐτῦ. (*) Ταῦτα ὥρισεν ὁ Βασιλεὺς διὰ Γραμμάτων καὶ Βελλῶν βεβαιωθεῖσαν ἅπαντα.

Ἐπεὶ δὲ ταῦθ' ἅπαξ ἐτελέσθη, πρὸς τὸν Ῥωσίας, καὶ Νικαίας, καὶ Τραπεζοῦντος, καὶ Μιτυλήνης, τὲς Ἀρχιεπισκόπες ἔπεμπεν ὁ Πάπας ὡς αὐτὸν παραγενομένες: Ἡμεῖς τῇ τῦ Θεῦ χάριτι ἰωώθημεν, καὶ ὁμοφωνῦμεν εἰς τὸ ζητούμενον καὶ καθολικὸν δόγμα, καὶ ἐκ ἔχομέντι λέγειν πλέον ἐν ἐκείνῳ, Φέρε δὴ, καὶ περὶ τῦ Καθαρτηρίε πυρὸς, καὶ περὶ τῆς ἀρχῆς τῆς πρώτης Καθέδρας, καὶ τῦ ἐνζύμε καὶ τῦ ἀζύμε, καὶ τῆς Θείας μυσταγωγίας ἐξετάσωμεν Ὅπως ἐν ἅπασι γένηται τὸ ἀνεπίληπτον, καὶ ἡ ἕνωσις σωτόμως γενήσεται (**) Ἀλλὰ περὶ τότων ἐκ ἐπὶ πολὺ προήχθη ἡ ζήτησις. Τὰ μὲν γὰρ οἱ Λατῖνοι τοῖς Ἑλληνικοῖς, τὰ δ' οἱ Ἑλληνικοὶ τοῖς Λατίνοις ἡδέως συνέθεντο. Περὶ δὲ τῶν προνομίων τῦ Πάπα δυχέρειάτις ἀνέφυ· ὥστε τὸν Βασιλέα, τὰ ἅπερ ὁ Πάπας διετείνετο πλεονεκτεῖν ἀκέσαντα, μικρὰ τὰ τῆς ἑνώσεως ἀποτιμῶναι, καὶ μηδὲν ἕτερον ἀποκριθῆναι, εἰ μὴ: Οἰκονομήσατε ἡμᾶς ἀπελθεῖν, εἴπερ ἔχετε θέλημα (***) Τὴν γεμλὴν δυχέρειαν ὁ Ῥωσίας, καὶ ὁ Νικαίας καὶ ὁ Μιτυλήνης μεσιτεύσαντες ἀμώσγεπως διέλυσαν. Μετὰ ταῦτα, ὑπὸ Ἀνδρῶν ἀμφοτέρωθεν ἐκλελεγμένων συνεγράφη ὁ τῆς ἑνώσεως ὅρος· Οὗ προσενίσευσμένε τῷ Βασιλεῖ, αὐτίκα τῶν ἐν

(*) Ἀρδεὴν. Αὐτ. Στύλ. 400.

(**) Αὐτ. αὐτ. Στύλ. 401.

(***) Αὐτ. αὐτ. Στύλ. 413.

αὐτῷ τῷ προοιμίῳ πολλὰ ἐκ ἤρεσε, διὸ καὶ ταῦτα ἠθελεν ἐξαλειφθῆναι. Ἀλλὰ οἱ παρὰ τῦ Πάπα σαλεύντες πρὸς τὸν Αὐτοκράτορα Καρδιναλίοι, τινὰ μὲν, ἃ δι' ὄχλε ἐγίνοντο, ἐπηνώρθωσαν, τινὰ δὲ, ἐκ ἠβελήθησαν μεταμεῖψαι, φάσκοντες τὰ τοιαῦτα τῖλὼ ἕνωσιν ἐπιβραδύειν μήτε δεῖν, μήτε δύασθαι. Τῶν δὲ Καρδιναλίων ἐξελθόντων, οἱ Γραικοὶ βελτὶ σωεσήσαντο, καὶ βραχύ τι τέτων ἔσιν ἃ ἐθεράπδσαν. Τῇ δ' ὑσεραίᾳ ἐπανελθόντες πρὸς τὸν Βασιλέα οἱ Καρδινάλεις, τὸν τῆς ἑνώσεως ὅρον ἐπιδιορθωθέντα ἀνέγνων· καὶ τότε ἀρεσᾶ δόξαντος αὐτοῖς τε καὶ τῷ Βασιλεῖ, ἀπετάχθησαν ἔξ παρ' ἀμφοτέρων τῶν μερῶν, οἱ Ἕλλησι καὶ Λατίνισι ἐν τοῖς Διπτύχοις ἀναγράψοντες. Δεξιόθεν μὲν Λατίνισι, ἵν' οἱ Λατῖνοι ὑπογράψειαν, καὶ ἡ Παπικὴ βῆλλα ἀναρτηθείη· Ἑτέρωθεν δὲ Ἕλλησι, ἵνα δὴ καθυπογράψαντες καὶ οἱ Γραικοὶ, τὸ Αὐτοκρατορικὸν Χρυσόβελλον καὶ ἕτοι προσαναρτήσωσι. Τέτων τελεθέντων, ἐχώρησαν ἐπὶ τῖλὼ τῆ ὄρε Ὑπογραφίῳ· Καὶ Λατῖνοι μὲν παραχρῆμα ὑπέγραψαν· Ἀλλὰ παρὰ τοῖς Γραικοῖς ἐχ ἕτως ἔχε. Τέτων γὰρ οἱ μὲν, αἰτησάμενοι χρήματα καθυπέγραψαν. Οἱ δὲ ἀνεχέσεροι, ὑπογράψαι ὅλως ἐκ ἠβελήθησαν· Ἀλλ' ἤτοι ἀπειλαῖς ταῖς τῆ Αὐτοκράτορος, ἢ Ἐπαγγελίαις ταῖς παρὰ Λατίνων, ἢ ἄλλαις μηχαναῖς τισὶν ἀναχθέντες, προσέθντο καὶ αὐτοὶ τέως τὰς ἰδίας ὑπογραφάς. (*) Μόνος Μάρκος ὁ Ἐφέσε, ὑπογράψαι ἐδόλως ἠθέλησεν. Ὅ, τε Σταυροπόλεως Ἐπίσκοπος, ἐν ᾧ οἱ ἄλλοι ἐπὶ τῷ ὑπογράψαι ἤρξαντο σωισήναι, αὐτὸς λάθρα ἀπὸ Φλωρεντίας ἀπάρας διέδρα. Περὶ δὲ τῆ Πατριάρχε ἐδενὰ δὴ λανθάνει, ὡς τῇ ὑπογραφῇ τῆ ὄρε ἐκεῖνος ἐδαμῶς ἐπεβίωσεν, ὀκλὼ ἡμέρας πρὸ τῆ τὸν ὅρον συγγραφῖῶαι τὸ ζῆν ἀμείψας. Ἡ γὰρ ἐν τοῖς Πρακλικοῖς τῆς ἐν Φλωρεντίᾳ Σινόδε ἐμφερομένη γνώμη τῆ Πατριάρχε, ὡς δῆθεν

(*) Περὶ ἧ ὅρα Συκρόπκλον, ἐν τῇ Ἱστορίᾳ τῆς Φλωρεντ. Συνόδε, Τμήμ. Γ'. Κεφ. Ε'. κξ.

θεν μικρὸν πρὸ τῆς τελευτῆς ὑπ' αὐτὸ γεγραμμένη, ὑπὸ Ἀνδρῶν ἐν λόγοις γνωρίμων, ὡς ὑποβολιμαίατε καὶ παρέγγραφος ἤδη πάλαι ἀποσεσύρικεν. Οὐδὲ Σγερόπουλος αὐτῆς τὸ σύνολον ὑπεμνήσθη, καίτοι ἐδὲ τὰ σμικρότατα ἕτος τῶν τὸ Πατριάρχε ἐκείνε, ὅσα περὶ τῆς ἑνώσεως διεπραξάμεν, σιγῇ παρελθεῖν ἠξίωσεν.

Τοῦτον ἓν τὸν τρόπον τῆς τῶν Ἐκκλησιῶν ἑνώσεως εὐληφυίας πέρας, αὐτὸς ὁ Μέγιστος Ἀρχιερεὺς, παρόντων τῶν Γραικῶν, μεθ' λαμπρότητος τινὶ Λειτουργίαν ἐτέλεσεν· Ὅτε καὶ τοῖς Γραικοῖς ἐπιτρέψαι τινὶ κατ' αὐτὸς τελέσαι, ὁ Βασιλεὺς ἐδεήθη τὸ Πάπα· ἀλλ' ἕτος θαυμασίως ἀπεχρήσατο μεθοδείαις, ὥστε φρόδιν ἀναδεῖξαι τινὶ τὸ Αὐτοκράτορος ἔφεσιν. Παρελθουσῶν δέτινων ἡμερῶν, τὸς Ἀνατολικὸς Ἀρχιερεῖς ἅπαντας πρὸς ἑαυτὸν ὁ Πάπας συνεκαλέσατο· Πρὸς δέτινας προσελθόντας ἕτως ἐφθέγξατο: Ἡμεῖς Ἀδελφοὶ ἠνώθημεν τῇ πίσει Θεῦ χάριτι· Ἐπεὶ δὲ, οἷς κρίμασιν οἶδεν ὁ τῶν ὅλων Θεὸς, καλέσιν ἐγὼ Κεφαλὴ τῶν ὑμετέρων μελῶν . . . . ἤδη λοιπὸν ἔχω εἰπεῖν τινὰ πρὸς ὑμᾶς, ὡς Ἀδελφὲς, ὡς μέλη, ὡς ἡγήτορας τῶν Ἐκκλησιῶν. Καὶ πρῶτον λέγω, ὅτι πάντες γογγύζετε περὶ τῶν διαζυγίων τῶν Συνοικεσίων, καὶ δέεται τὸ τοιῦτον διορθώσεως. Δεύτερον, περὶ τὸ Ἐφέσε, ὅτι ἔσιν ἀναγκαῖον δεῖναι λόγον, πῶς χίζεται τῆς Συνόδε ἡμῶν. Οὐ γὰρ Φρονιμώτερος ἔσιν ἡμῶν πάντων . . . . Τρίτον, ὅτι ἐπεὶ ὁ Ἁγιώτατος Πατριάρχης Κωνσταντινοπόλεως ἀπῆλθεν εἰς τὰς ἐκεῖθεν μονὰς, δέεται ἡ Ἐκκλησία Πατριάρχε, καὶ μάλιστα γενέθαι ὧδε, ἔνθα πάρειμι καὶ αὐτός. (*) Ἀπεκρίναντο οἱ Γραικοὶ, δικαιότατα μὲν εἶναι ὅσα ὥρισεν ἡ Μακαριότης αὐτὸ· αὐτὸς ἀλλὰ μὴ δύνασθαι ἀποκριθῆναι εἰς τὰ τοιαῦτα, ἄνευ τῆς τὸ Αὐτοκράτορος, καὶ τῆς τῶν λοιπῶν Ἀρχιερέων βελῆς. Ἐλθόντες τοίνυν, καὶ ἀπαγγείλαντες ταῦτα τῷ Βασιλεῖ,

(*) Παρὰ Ἀρδεῖν. Λύτ. Στύλ. 432.

ἀκέσας αὐτὸς ἑδέλως ἰωέχετο λαληθῆναι περαιτέρω τοιοῦτοντι. Καὶ ἕτω πέρας ἔχεν ἡ περιαδομένη ἐκείνη τῶν Γραικῶν ἕνωσις· Οἱ δὲ Γραικοὶ ἐπὶ τὴν αὐτῶν πατρίδα πάλιν ἐπανέστρεψαν. (*)

Τίς ποτε τοίνυν, καὶ ὁποία, ἡ Φλωρεντινὴ αὕτη ἐγένετο Σύνοδος, κἂν ἐκ τῶνδε τῶν σιωτόμως ὧδε ἱστορηθέντων, σαφὲς ἂν ἅπαντι γένοιτο. Ἀ γὰρ, ἐπειδὴ ἐχὶ πρὸς ἔρδναν καὶ ἀκρίβωσιν τῆς ἀληθείας ἤρξαλο γίνεθαι· Ἀλλ' ὑπὸ μὲν τῦ Βασιλέως τῶν Γραικῶν, ἵν' ἑαυτῶτε, καὶ τῷ ἤδη πρὸς ὄλεθρον ἀποκλίνονλι ἑαυτῦ Κράτει, βοηθείας καλὰ τῶν Τέρκων πορίσηται· Ὑπὸ δὲ τῦ Πάπα, ἵνα δὴ τῆς αὐτῦ ἐξσίας καὶ κυριότητος διαπλατύῃ τὰ ὅρια, καὶ τὲς Γραικὲς ἕτως ἑαυτῷ ὑπαγάγηται· Τίς ποτε ταύτλιω ἐξ ἀγαθῆς ἂν φαίη βελῆς καλάρξαθαι; Εἶτα, εἴτις τας τοσαύτας τέχνας τε καὶ λαθραίας ῥᾳδιεργίας, εἴτε τῦ Βασιλέως, εἰς τὸ τὲς οἰκείως ἐνταῦθα συγκαλέσαθαι· Εἴτε τῦ Πάπα, πρὸς τὸ τὲς Γραικὲς ἀπὸ τῆς ἐν Βασιλείᾳ Σινόδε πρὸς ἑαυτὸν ἑφελκύσαθαι, διασαθμήσηται· Οὐδενὶ πάντως τρόπω ἑαυτὸν ἀναπείσει, τὸ νομίμως ταύτλιω σιωθροῖθαι τλιὼ Σινόδον. Καὶ τότε δὴ χάριν καὶ οἱ ἐν Βασιλείᾳ Πατέρες, ὡς θορυβώδητε καὶ Σχισματικλιὼ αὐτλιὼ ἀνεκήρυξαν. Δεύτερον, εἰ δὲ καὶ αὐτὰ τὰ Πρακλικὰ, κέφως γᾶν, καὶ καλὰ παραδρομλὼ διέλθοις, καὶ ὅπως τὸ Πρᾶγμα ἐν πέντε πρὸς ταῖς εἴκασι Σιωελδύσεσι πεπραγμάτδηται ἐπισήσῃ, αὐτίκα σιωήσεις, μὴ ἐν λόγοιστε καὶ ἐπιχειρήμασιν ὧδε τὸν ἀγῶνα συςλῶναι, ἀλλ' ἐν ἤχῳ κενῷ ῥημάτων, καὶ ἐν παραλογισμοῖς καὶ σοφίσμασιν. Ἐνθένδε γὰρ αἱ τοσαῦται σκολιαὶ καὶ διάστροφοι παρερμηνδύσεις· αἱ τοσαῦται ἀσυλλόγιστοι ἐπιχει-

(*) Τὰ Πρακτικὰ τῆς Συνόδ. ταύτης κεῖνται, ἐν ταῖς Συλλογ. τῶν Συνόδ. Λαββέϊκ, Τόμ. ΙΓ'. καὶ Ἀρδεϊν. Τόμ Θ'. Τίνγε μὲν Ἱστορίαν ἀρισάτε καὶ ἀλικρινέστατα συνέγραψε Συρόπελος, ἢ Σγυρόπελος, ὁ καὶ ἐν τῇ Συνόδῳ παρὼν, καὶ τοῖς Γραικοῖς πάντα συμπεπονθώς. Τετύπωται δ' ἡ Βίβλος ἐν Ἅγῃ τῶν Κομίτων, ἐν Ἔτει 1660.

ἐπιχειρήσεις· Αἱ τοσαῦται τῶν Πατέρων ῥήσεις, αἱ ἤτοι παρεφθαρμένως ἐπαγόμεναι, ἢ κακῶς ἐννοούμεναι, καὶ τῷ προκειμένῳ κάκιστα προσεφαρμοζόμεναι, ἐκεῖ ἐπανα-γινώσκονται. Ὡς πρὸς μηδὲν ἕτερον δήπου, εἰμὴ πρὸς τὸ μάτην ἐκεῖ σπερμολογεῖν, καὶ τὸν χρόνον κατατρίβειν, ἐκείνῳ δοκεῖν συγκροτηθῆναι τὴν Σιῶδον. Δῆλον δὲ κἂν ἐκ τούτου, ὅτι δύο μονονουχὶ ὁλοχερεῖς ἐνιαυτὸς κατεναλώ-σαν, περὶ δύο μόνων ζητημάτων διαφερόμενοι. Διὸ αὐ-τὸν δὲ τοῦτον τὸν λόγον καὶ ὁ Βασιλεὺς, ἐκ τῆς πρώτης αὐτίκα Συζητήσεως, τῆς περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθή-κης, σωιδὼν, ὡς μηδὲν ὅλως ἂν ἔσοιτο τέρμα τῶν λογο-μαχιῶν, μηδ' ἂν ἐλπίσειέ τις καρπόντινα ἀντεῦθεν σύ-ωσεως, ἕτερον σύωσεως τρόπον ἐπῳδάσαν εὑρέσθαι, καὶ μεταθεῖν· ὃν ἐπειδὴ οὐχ εὗρεν, ἐς παντοίας ἐτράπετο μη-χανορραφίας, καὶ τὰς οἰκείας, ἐξουσίας τε καὶ βίας χρησά-μενος, ἀπέτρεψε τῆς λαλιᾶς· Τελευταῖον δὲ, πῇ μὲν προτροπαῖστε καὶ παραινέσεσι, πῇ δ' ἀπειλαῖς καὶ ἐπι-τιμήσεσι, καὶ αὐτῷ δ' οὐχ ἧκιστα τῇ ἐξισώσει τῆς πόλεως ἀφελόμενος τὴν ἐλευθερίαν, καὶ τοιούτοις παραπλησίοις ἄλλοις προχρησάμενος τρόποις, συγκαταθέσθαι τοὺς ἀγκασε λατίνοις ὁμοφρονεῖν. Ὁ δὲ δὴ Πάπας, τότε ἀναγκαί-ας, καὶ τὰς ἐκ σωθήκης προλαβούσης ἐποφειλομένας τοῖς Γραικοῖς τροφὰς μηκέτι ἐπιχορηγῶν, ὡς δῆθεν μά-τῃ τὸν καιρὸν κατατρίβοντι, καὶ προαγαγεῖν εἰς πέρας τὴν σύωσιν παραμελοῦντι· παντοίας δὲ φήμας ἀηδεῖς πα-ρὰ τῷ χύδην ὄχλῳ διαφερομένας αὐτῶν καταχέων, δό-λοιστε διαφόροις, καὶ καθαρσίοις μηχανορρήμασι πολυ-τρόπως αὐτὸς ἐκπιέζων, καὶ μάλα δὴ ἄκοντας, ἐπὶ τὰς διαλύσεις παρεβιάσατο ἀπιδεῖν. Τρίτον δὲ, τῷ καιρῷ ἤδη ἐξάντος τῆς τοῦ Σιωδικοῦ ὄρους ὑπογραφῆς, θαυμαστὸν ὅσον, ὅ,τε Βασιλεὺς, ὅ,τε Πάπας περὶ τοῦτο ἐνίδρωσαν, ὥστε πάντας τοὺς Γραικοὺς εἰς τὸ ὑπογράψαι ἀναγαγεῖν. Καὶ ἦπου δ' ἂν ἐματαιώθησαν αὐτῶν καὶ ἔτως αἱ σπουδαὶ πᾶσαι, εἰ μὴ καίτισιν ἄλλοις προσαπεχρήσαντο μέσοις, κἂν ἀθεμίτοις. Ἄλλοι μὲν γὰρ, ἐλπίδι τοῦ τῆς Καρδινα-

λικῆς ἐπιτυχεῖν ἀξίας καλαθελχθέντες· Οἷον Ἰσίδωρός τε ὁ Ῥωσίας, καὶ Βησσαρίων ὁ Νικαίας· αὐτοίτε καθυπέγραψαν, καὶ ἄλλες ὑπογράψαι παρώτρυναν· Ὧν καὶ μόνα τὰ ὀνόματα ὕποπλα· Ἐπειδὴ γὰρ φθάσαντες οἱ τοιῦτοι, τῶν ἰδίων Πατρίδων ὑπερόριοι ἀποβληθῆναι, τλὺ εἰς αὐτὰς ἀπεγνώκεισαν κάθοδον, (*) ἕρμαιον οἷον τλὺ ἐπὶ τὰς Ποντιφικίας παρεμβολὰς καλαφυγὶὼ εὑρηκότες, μελὰ τλὺ ἕνωσιν τῷ ἀριθμῷ τῶν Καρδιναλίων συγκαλελέγησαν. Ἄλλοι δὲ χρήματα παρὰ τῦ Πάπα λαβόντες, ὡς περὶ τῦ Μιτυλιώνης διέξεισιν ὁ Σγυρόπυλος (**) διὰ τῶν οἰκείων διένειμαν, καὶ ἕτω τὰς ὑπὲρ Λατίνων ψήφυς ἐπήυξησαν, τῶν πενεςέρων μονονυχὶ καὶ λιμῷ ἐκθνησκόντων, ἅτε μηδὲν τῆς πρὸς τροφλὺ χορηγίας, ἐπὶ τέσσαρσιν ἢ πεντε μησὶν εἰληφότων. Ἄλλοι δὲ, ἐκ ἄνδρ ςναγμῶντε καὶ θριάων, τλὺ δαλέαν ἐκείνλυ Σωθήκλυ παρεσημλώαντο. Ὡς ἀναφέρει Σγυρόπυλος περὶ ἑαυτῦ, καὶ τῶν αὐτῷ παραπλησίων, μάρτυρα πρὸς τῦτο τὸν παντεπόπτλυ Θεὸν προσκαλέμενος. (†) Μόνον Μάρκον τὸν Ἐφέσε, ἔτε αἱ τῦ Βασιλέως προτροπαὶ, ἔτε αἱ τῶν Λατίνων ὑποχέσεις, ἔτε οἱ τῦ Πάπα τέως κεραυνοὶ, πρὸς τλὺ ὑπογραφλὺ κινῆσαι κατίσχυσαν. Ἔγνω δὲ καὶ ὁ Πάπας αὐτὸς, ἡλίκη ἦν τῆς τῦ Ἀνδρὸς ἐκείνε μαρτυρίας ἡ δύ-

(*) Ὅρα Κρησίν Τερκο-Γραικ. Βίβλ. Α'. Σελ. 4. Καὶ Λέοντα Ἀλλάτ. ἐν τῷ περὶ τῆς Διλωσ. Συμφ. Βιβλ. Γ'. Κεφ. Α'. §. 1.

(**) Τὰ τῦ Μιτυλιώνης ῥήματα παρὰ τῷ Σγυροπύλῳ ἐν Τμήμ. Γ'. Κεφ. Δ'. τοιάδε εἰσὶν: Εἰ θέλει ὁ Πάπας δότω μοι Φλωρία ἵνα δώσω ἐγὼ εἰς πρόσωπα, ἅπερ οἶδα, ὡς εὐεργεσίαν τῦ Πάπα, καὶ καλασκεύασω αὐτὲς εὐκόλως ἔχειν, καὶ πρὸς τλὺ ὑπογραφλὺ τῦ ὄρε, καὶ πρὸς τλὺ ἕνωσιν. Ἔμαθον ἓν τῦτο ὁ Πάπας, καὶ ὥρισε, καὶ δεδώκασιν αὐτῷ Φλωρία, κτ. * Ὅρα καὶ Μιχαὴλ Δάκαν Νέποτα ἐν τῇ Ἱστ. Κεφ. ΛΑ'. περὶ τὸ τέλος.

(†) Ἱστ. Τμήμ. Γ'. Κεφ. Η'.

ἡ διώαμις. Διὸ καὶ ἐρωτήσας εἰ ὑπέγραψεν ὁ Ἐφέσε καὶ ἀκέσας, ὡς ἐχ ὑπέγραψεν· ἔφη: λοιπὸν ἐποιήσαμεν ἐδέν. (*) Παρεκλὸς δὲ τ. Ἐφέσε, ἐδ' ἐκ τῶν Λαϊκῶν ὁ Γεμιςὸς, ἐδ' ὁ Σχολάριος, ἀ τοῖς ὑπογεγραφόσιν ἀναγινώσκονται ἀριθμέμενοι. Πρὶν ἢ γὰρ τὸν τῆς Σιωόδε ὅρον ἑτοιμαθῆναι, ἀπήλθοσαν Ἐνετίαζε Δημητρίῳ ἑπόμενοι τῷ Δεσπότῃ, τῷ τ. Βασιλέως ὁμαίμωνι. Ὃς δὴ καὶ ἕτος, ἐπεὶ προσεκαλεῖτο ὑπογράψαι, σκηπλόμενος ἔφασκεν, ἰδιωτεύειν μὲν τῇ τάξει, μηδὲ τιὼ ἀκριβῆ τ. δόγματος ἔχειν καλάληψιν, ἀλλὰ μηδὲ σιωορᾶν οἷοστε εἶναι, τὶ τὸ ἐκ τῆς τοιαύτης σώσεως ὄφελος, τῆς τοσαύτη βίᾳ τελεσιεργεμένης· εἰμὴ τυχὸν πρόστι τέλος ἀφορᾶ πολιτικώτερον. Ἐπειδὴ τοίνιω ἡ Φλωρεντινὴ Σιώδος, ἐκ ἐπ' ἀγαθῇ μὲν ἤθροισαι τῇ βελῇ· Ἀλλ' ἐδ' ἀνόμως διεπράχθη, μελὰ βιασμῶν δὲ σιωεπράνθη· θαυμάζειν ἐ χρὴ, εἴπερ, ἐχὶ μόνοι οἱ Γραικοὶ, καὶ ὅσοι ἄλλοι τότοις ὁμόφρονες· Ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν διαφόρων, ἄνδρες σ. σοφίᾳ διαπρέποντες, μᾶλλον δὲ καὶ τῶν Γαλλων αὐτῶν τινες, ἐχ ὡς Οἰκεμενικὴ ἦσαν ἐπιγινώσκεσιν. (†) Ὅ,τι ἄν ἄρα Ἀλάτιος, καὶ οἱ λοιποὶ σὺν τότῳ Λατῖνοι, καὶ οἱ ἐν Γραικοῖς οἱ Λα-

(*) Αὐτ. αὐτ. Κεφ. Θ'.

(†) Κατὰ τῆς ἐν Φλωρεντίᾳ Συνόδε πολλοὶ οἱ γράψαντες· Ἐγὼ δὲ μόνες δύω, καὶ τότες Νεωτέρες ὀνομάσω. Α'. τὸν Ἱεροσολύμων Γραικὸν Πατριάρχιω Νεκτάριον· Ὃς ἐν τῇ Βίβλῳ ἧς Ἐπιγραφή: Ἀντίῤῥησις, ἢ ἔλεγχος τ. ἐν τῇ Ἐκκλησίᾳ Παπικῆ Κρατες τῇ μεθερμιωθείσῃ ἐκ τ. Ἑλλιν. εἰς τὸ Λατιν. ὑπὸ τ. Π. Ἀλλεξίε, καὶ ἐν Λονδίνῳ ἐκδοθείσῃ 1702. Σελ. 56. καὶ 262. Ἔκτε τῶν Πρακτ. καὶ ἐκ τῆς Συροπέλε Ἱερ. συντόμως μὲν, εὐτόνως δὲ, τιὼ ἐν Φλωρεντίᾳ Σύνοδον διήλεγξε. Β'. δὲ ἐκ τῶν περὶ Λέθηρον, Γοττ. Ἑρμάνν· Ἐν τῇ Ἱεροίᾳ τῶν διαμαχήσεων, τῶν περὶ τ. Ἀζύμε καὶ τ. ἐνζύμε, τῇ Ἐκδοθ. ἐν Λαφ. 1737. Σελ. 130. Τὰς δέτοι λοιπὰς τῶν Συγγραφέων, ὅρα παρὰ Γεωργ. Βαλχ. ἐν Ἱερ. τ. Ζητήμ. τ. περὶ τῆς Ἐκπορ. τ. Ἁγ. Πνεύμ. Ἐκδ. ἐν Ἰένν 1751. Κεφ. Ζ'.

τινοφρονέντες, ὑπὲρ τῆς Σιωόδε ταύτης προβάλλονται· πάντα δὴ ταῦτα, παρ' οἷς αἱ φρένες πυκναὶ, καὶ τὸ ἀληθὲς εὐδὲν προτιμᾶται, κἄφατε ἐστὶ, καὶ τῆς ἐκ τοῦ φατριασμοῦ ἀλόγου προλήψεως ἐπιγεννήματα. (*)

Ἀλλ' ἴδωμεν δὴ, καὶ ὡς τῇ ἑνώσει ταύτῃ παρηκολούθησε. Πότερον ἆρα οἱ ἐπὶ Φλωρεντίας ὑπογεγραφότες Γραικοὶ, διὰ παντὸς ἐφεξῆς σωημένοι Λατίνοις διέμειναν; ἢ τὰ τῆς ὁμονοίας αὐτίκα μετὰ τὴν εἰς τὴν πατρίδα ἐπάνοδον παρῃτήσαντο; Τετὶ πάντως τὸ δεύτερον συμβεβηκέναι, οἱ κατ' ἐκεῖνο τοῦ χρόνου τὴν Ἱστορίαν ἀναγραψάμενοι ἡμῖν παρέδωκαν. Οὕτω Λαόνικος ὁ Χαλκονονδύλας, Συγγραφεὺς λίαν ἀξιόπιστος, περὶ τούτου διέξεισιν. „Οἱ μὲν ἓν Ἕλλωες, ὡς ἐπ' οἴκου ἐγένοντο, ἐκέτι ἔφασαν ἐμμένειν τοῖς ὡμολογημένοις· Ἀλλὰ τἀναντίον καλέσῃ, μηκέτι βουλομένοις σωτηρίαν τοῖς Ῥωμαίοις. (**) Ἀκέσωμεν δὲ καὶ Μιχαὴλ Δεῦκα τοῦ Νέποποτος, ὅς τί δήποτε περὶ τῆς σφῶν πρὸς Λατίνους Συμφωνίας οἱ Γραικῶν Ἀρχιερεῖς ἐξ Ἰταλίας ἐπανιόντες ὡμολόγουν, ὑφηγέμενος, ἔτω φησίν: „Οἱ δὲ Ἀρχιερεῖς εὐθέως τῶν Τριήρεων ἀποβάντες, καὶ οἱ τῆς Κωνσταντίνου καλιὰ τὸ σώηθες ἠσπάζοντο αὐτοὺς, ἐρωτῶντες: πῶς τὰ ὑμέτερα; πῶς τὰ τῆς Σιωόδε; εἰ ἆρα ἐτύχομεν τοῦ νικῶσαν; Οἱ δὲ ἀπεκρίνοντο: πεπράκαμεν τοῦ πίστιν ἡμῶν. ἀντημάξαμεν τῇ ἀσεβείᾳ τοῦ εὐσέβειαν. Προδόντες τοῦ καθαρὰν θυσίαν ἀζυμίταν γεγόναμεν. Ταῦτα καὶ ἄλλα αἰσχρότερα καὶ ῥερυπασμένα λόγια· Καὶ ταῦτα τίνες; οἱ ὑπογράψαντες ἐν τῷ ὅρῳ· Ὁ Ἡρακλείας Ἀντώνιος· καὶ οἱ πάντες. Εἰ γάρ

(*) Ὑπὲρ δὲ τῆς Φλωρ. Συνόδ. ἠγωνίσαντο ὡσαύτως πολλοὶ, ἓς κατάλογα Γεώργ. ὁ Βάλχ. ἐν τῇ ῥηθ. Ἱστορ.: Ἧς καὶ ἐκ τῶν Νεωτέρων προΐσατο Λέων Ἀλλάτ. περὶ Συμφων. τῶν Ἐκκλη. Ἀνατολ. καὶ Δυτικ. Βιβλ. Γ'. ἀπὸ Κεφ. Α'. Καὶ ὁ Νατάλις Ἀλέξανδρος, ἐν Τόμ. Η'. τῆς Ἐκκλησ. Ἱστορ. Διαλέξ. Ι'.

(**) Ἱστορ. Βιβλ. ε'. Σελ. 156.

γάρτις πρὸς αὐτὸς ἤρετο: καὶ διατὶ ὑπεγράφετε; Ἔλεγον, φοβέμενοι τὰς Φράγκας· καὶ πάλιν ἐρωτῶντες αὐτὸς, εἰ ἐβασάνισαν οἱ Φράγκοι τινά; εἰ ἐμαφίγωσαν; εἰ εἰς φυλακὴν ἔβαλον; Οὐχί· ἀλλὰ πῶς ἡ δεξιὰ αὕτη ὑπέγραψεν, ἔλεγον, κοπήτω· ἡ γλῶττα ὡμολόγησεν, ἐκριζόθω. Οὐκ ἄλλο ἔχοντι λέγειν. (*) Τὸ δ' αὐτὸ ἱστορῆσι καὶ ἄλλοι τῶν Συγγραφέων, οἵ τότε γεγόνασι. (**) Μάταιος ἄρα καὶ ἀναιδὴς ἐστὶ Λέων ὁ Ἀλλάτιος, ὁ τάδε πάντα εἰς ἀμφιβολίαν ἀνακαλέσας μὴ ἐρυθριάσας, μᾶλλον δὲ καὶ ἀρνήσασθαι. (†) Ὁπότε μάλιστα αὐτὸς καὶ τινας ἀνενεγκὼν ἐστὶν, οἵ διαῤῥήδην παρέδωκαν, μὴ μόνος τὰς ἐξ Ἰταλίας ἐπανεληλυθότας ἀποσκορακίσαι τῷ ἕνωσιν, ἀλλὰ καὶ τὰς ἐν Κωνσταντινουπόλει διαμείναντας, παροξυνθῆναι καὶ τὰ Λατίνων τὰς ψυχὰς, καὶ πάντας, τὰς ὅσοι τῇ Σωσθῷ συγκαλέσαντο διαλοιδορεῖσθαι, καὶ μυρίαις καλαπλιῶσιν ταῖς ὕβρεσι. Περὶ ἧς ὁ τῆς Πολιτικῆς Ἱστορίας Συγγραφεὺς ἔτω φησί: Μετὰ τῷ ἐξ Ἰταλίας ἐπάνοδον, οἱ ἐν τῇ πόλει διάγοντες Κληρικοὶ, Ἱερομόναχοι, Ἱερεῖς, Ἡγούμενοι, Πνευματικοὶ, καὶ οἱ λοιποὶ, ἐκ ἤθελον συμπαρεργεῖν, ἢ συμφορεύειν, ἢ ἐν ταῖς εὐχαῖς αὐτῶν μνημονεύειν· Ἀλλ' ἐξ αὐτῶν ὡς ἐξ ἀσεβῶν, ἔτω φάναι, ἀφίσαντο· Πολλοὶ δὲ καὶ τῷ Ἱερωσύνῃ παρητήσαντο· καὶ γέγονεν ἡ ἕνωσις διάσασις. (††) Ὁ σωιδὼν ὁ Αὐτοκράτωρ ἐβελήθη τὸ κακὸν ἐξιάσασθαι, Λεγάτας αἰτήσας παρὰ τὸ Ῥώμης Ποντίφικος· Οἵ καὶ τὸν ἀριθμὸν ἐξ εἰς Βυζάντιον ἀποσαλεύτες, Διάλεξίντε πρὸς τὰς Διαφωνέντας συγκροτήσαντες, ὡς ἂν εἰς τὸ δέον αὐτὰς ἐπανάξωσι, καὶ πρὸς τῷ ἐν Ἰταλίᾳ γνωμενίῳ ἀνακαλέσωνται ἕνωσιν, ἐδὲν ἴσχυσαν

(*) Ἐν τῇ Ἱστορ. Κεφ. ΛΑ.

(**) Ὁ τῆς Πολιτ. Ἱστορ. Συγγραφεὺς, ἐν τῇ Τερκο-Γραικίᾳ Βιβλ. Α'. Καὶ Σγουρόπελος ἐν τῇ Ἱστορ. τῆς Φλωρεντ. Συνόδ. ἐν Τμήμ. ΙΒ'.

(†) Ἐν Γ'. Βιβλ. Κεφ. Ε'. τῆς Διώκησ. Συμφων. τῶν Ἐκκλησ.

(††) Ἐν τῇ Τερκο-Γραικ. Κεφ. Α'. Σελ. 4.

ἴσχυσαν ἐκτελέσαι, ἀλλ' ἐπ' ἀνηνύτοις ὡς τὸν Πάπαν ἐπανέστρεψαν. (**) Ὁ δὲ Βασιλεὺς ἄλλως πως τῶν ἀνθεσηκότων διαπραΰναι ὑπείληφε τὰς ψυχάς, νέον προχειρισάμενος Κωνσταντινουπόλεως Πατριάρχην, Μητροφάνην, τὸν πρὶν Κυζίκου Μητροπολίτην, καὶ τῇ τάξει ἕπεσθαι ἐπὶ τῆς Φλωρεντινῆς Συνόδου καθυπογράψαντα. Ἀλλὰ γὰρ ἐπεὶ ὁ Μητροφάνης ἔτος, ἅτε τοῖς Λατίνοις λίαν προσκείμενος, δι' αὐχηρίας ἔτοι μερίας καταστῆναι ἤρξατο τοὺς ἀντέχοντας, πολλοὺς δηλονότι Ἐπισκόπους εἰς ὑπεροψίας ἐξελάσας, ἄλλους τε τῶν τῇ ἑνώσει προχαριζομένων, ἐπὶ τοὺς ἐκείνων θρόνους ἀντικαταστήσας, ὁ μόνος ἄρα τοὺς ἐν Κωνσταντινουπόλει, ἀλλὰ καὶ τοὺς ἅπανταχοῦ τῆς Ἑλλάδος Γραικοὺς, καθ' ἑαυτοῦ τε, καὶ καλοῦ Λατίνων διήγειρε. Παρὰ γὰρ τὸν Ἐφέσου Μάρκον, καὶ τὸν Σοφώτατον ἐν Γραικοῖς Σχολάριον, τοὺς καὶ φωνῇ, καὶ γράμμασι, τὰ Λατίνων ἔθη, καὶ τὰς διατυπώσεις δριμύταλα ἐλέγχειν ἀναβαλομένους· (***) καὶ οἱ λοιποὶ Πατριάρχαι, Φιλόθεός τε ὁ Ἀλεξανδρείας, καὶ Δωρόθεος ὁ Ἀντιοχείας, καὶ Ἰωακεὶμ ὁ Ἱεροσολύμων χαλεπῶς ἤνεγκαν· καὶ Σιώδου ἠθροικότες, Μητροφάνην μὲν, ὡς τῶν Λατινικῶν προσάτην κακοδοξιῶν, καὶ τοὺς ὑπ' ἐκείνου προχειρισθέντας Ἐπισκόπους, Ἐκκλησιαστικῆς ἀπάσης κοινωνίας ἀπέρρηξαν· Τὸν δὲ καλὸν Φλωρεντίαν Σιώδου, ἐπισυγῆτε καὶ ἀποτρόπαιον ἀπεκήρυξαν. Βασιλεῖ δὲ τῷ Ἰωάννῃ τελευταῖον ἐπισείλαντες ἀναιρῆψαι παρῆναι, ἀφορισμῷ ἄλλως ἀπειλοῦντες αὐτῷ ἐπιτίμιον. (*) Οὕτω τοίνυν ἡ κακῶς ὑπὸ Φλωρεντίας συναρμολογηθεῖσα συμφωνία, τῇ διαφωνίᾳ τῆς Ἑλλάδος ἀπάσης διεπάθη, πολλῶν, μὴ μόνον καλὸν τὸ ἀντιφρονεῖν τῆς ψυχῆς ἐκείνῳ ἀποσρα-

(*) Λέων Ἀλλάτ. Αὐτ. Βιβλ. Γ'. Κεφ. Γ'. §. 1.

(**) Χαλκοκονδύλ. Ἱστορ. Βιβλ. ε'.

(***) Ταύτας δὴ τὰς κατὰ Μητροφάνους Ἐπιστολὰς Ἑλλησὶ καὶ Λατίνοις παρέθετο Λέων ὁ Ἀλλάτιος, ἐν τῷ Γ'. Βιβλ. περὶ τῆς Διηνεκ. Συμφων. τῶν Ἐκκλησ. Κεφ. Δ'. Σελ. 939.

ἀποστραφέντων, ἀλλὰ καὶ διὰ συγγραμμάτων αὐτὴν εἰς βδέλυγμα τίθεσθαι ἐπαγγελλομένων· Τῶν λοιπῶν, ὅσοι δὴ Λατίνοις ὁπωσδῆν προχωρεῖν, ἢ τῇ δόξῃ τῇ ἐκείνων ἐμμένειν ἐδόκουν, τῶν μὲν ὑπερορίων ἀπελαθέντων, τῶν δὲ κακῶς διατεθεισμένων, καὶ ἐν καιρὸς μοίρᾳ λελογισμένων. (*)

Μελὰ Μητροφάνην, ἐπὶ τὴν Κωνσταντινοπόλεως Πατριαρχείαν, Ἔτει 1445. προήχθη Γρηγόριος ὁ Μελισσηνὸς, ὁ καὶ Μάμμας ἄλλως ἐπικληθεὶς, πνεύματικὸς χρηματίζων τῆ Βασιλέως Πατήρ· ὁ καὶ αὐτὸς ἐν τῇ Φλωρεντινῇ Συνόδῳ καθυπογράψας· Τότε δὲ Πατριαρχεύοντος ἡ ἐν Κωνσταντινοπόλει ἠθροίσθη Σύνοδος, ἡ ἐν τῷ Ναῷ τῆς Ἁγίας Σοφίας, ἐν Ἔτει 1450. Ἰωάννε ἤδη τῆ Παλαιολόγε τὸ ζῆν ἐκμετρήσαντος. Ἐν ᾗ Πατριάρχαι παρῆσαν ὁ Ἀλεξανδρείας, καὶ ὁ Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων· καὶ ἄλλοι δὲ Ἐπίσκοποι ἐπ' αὐτοῖς· καὶ οἱ ἐπὶ Σοφίᾳ δὲ, καὶ τῆ γνώσε οἱ Λογάδες. Οἵ καὶ τὸν εἰρημένον Γρηγόριον τὸν Κωνσταντινοπόλεως Πατριάρχιν μεταπεμψάμενοι, ὡς ὑπὲρ Λατίνων ἰσάμενον, καὶ παρασῆναι μηδόλως θελήσαντα, τῆ θρόνε κοινοῖς ψήφοις ἔκπλωτον ἀπεφώναντο, καὶ Ἀθανάσιον ἀντ' ἐκείνε προείλοντο. Ἔπειτα περὶ τῆς τῆ Ἁγίε Πνεύματος Ἐκπορεύσεως Διάλεξιν σωεσήσαντο· ἐν ᾗ τὴν ἐκ τῆ Υἱῆ φωνὴν, κακῶς ἐν τῷ Συμβόλῳ προσεθεῖσαν ἀποφωνάμενοι, τὸ Λατινικὸν δόγμα, τὸ περὶ τῆς Ἐκπορεύσεως τῆ Ἁγίε Πνεύματος καὶ ἐκ τῆ Υἱῆ, καὶ ἐπ' αὐτῷ δὲ, καὶ τὰ λοιπὰ ἄρθρα τῆς κατ' ἐκείνες πίστεως, καθεδίκασαν. (†)

Ταύτας

(*) Ὅρα τὸν Συγγρ. τῆς Πολιτ. Ἱστορ. τῆς ἐν τῇ Κρυσίᾳ Ταυρο-Γρικ. Βιβλ. Α'.

(†) Τὰ Πρακτικὰ τῆς Συνόδε ταύτης, Ἑλληνιστὶ, καὶ Λατινιστὶ ἐξέδωκε Λέων ὁ Ἀλλάτιος, ἐν τοῖς προδήλοις, ἃς προσέθετο τῷ περὶ τῆς Διλωσεκ. Συμφων. ἀμφοτ. τῶν Ἐκκλη. Συγγράμ. Σελ. 1380. καὶ ταῦτα δὲ, καὶ ὡς νόθα ἔκρινε, καὶ ὑποβολιμαῖα. Ἀλλ' ἐχὶ πάντα Ἀλλατίῳ πιστεύειν χρεών. Ἐκ δὲ τῆ Ἀλλατίε μετήνεγκε τὰ αὐτὰ καὶ Ἀρδεήνος ἐν τῷ Θ'. Τόμ. τῶν Συνοδικ. Στύλ. 1353.

Ταύτας δὴ τὰς τῶν ὁμοπατρίων ταραχὰς καὶ διαφωνίας, Κωνσταντῖνος ὁ τῆ Παλαιολόγε Ἰωάννε Αὐτάδελφος, καὶ ἤδη τεθνεῶτος τῆς Ἀρχῆς διάδοχος, ἐπισήσας. Ἐπὶ δὲ τέτοις καὶ Μωάμεθ τὸν Β΄. τὸν Κωνσταντινεπόλεως διαμελετῶντα πολιορκίαν σωεὶς, ἐν Ἔτει 1451. Πρὸς Νικόλαον τὸν Πάπαν Ῥώμης ἀπέσαλκεν Ἀνδρόνικον Βρυέννιον τὸν Λεονταρίῳ, σωαρωγὸν μύτινα οἱ προμηθήσασθαι καλὰ τῶν διαφωνέντων αἰτέμενος, καὶ τὰ Γραικῶν ἅμα, ἤδη ἐς γόνυ κλίνοντα διάτινος ἐπικερίας ὑπαναχεῖν· Ὁ δὲ Πάπας πρὸς καλαρτισμὸν τῆς ἑνώσεως, Ἰσίδωρον τὸν ἀπὸ Μητροπολίτε Κιαβίας διαπέμπεται Καρδινάλιν· ὅν, καὶ ἐπὶ τῆς Κωνσταντίνε παραγενόμενον, ἀσμενέσατα ὁ Βασιλεὺς ὑπεδέξατο· Καὶ αὐτίκα μὲν ὁ Αὐτοκράτωρ μελὰ τῶ Καρδινάλεως, ἔσιν ὅ,τι ἐπεχείρησαν περὶ τῆς μελαξὺ Γραικῶν καὶ Λατίνων ὁμονοίας, ὥσε αὐτίῳ ἐπανασηρίξαι, σίων τὰ πρῶτα πρὸς τῦτο ῥοπίῳ τινα ἐπιδειξαμένων. Ἐπεὶ δὲ, Σωάξεως εἰς τὸν Ναὸν τῆς τῦ Θεῦ Σοφίας γενομένης, δημηγορήσας ὁ Ἰσίδωρος ἐπανέγνω καὶ τὸν περὶ τῆς ἑνώσεως ὅρον, τῶν συγκλύδων ἐπικροτησάντων, ἡ Ἱερὰ Λειτεργία, εἰς τεκμήριον ὁμονοίας, ὑπότε Ἰταλῶν καὶ Γραικῶν ἅμα σωεκλετέλεσαν πολλοὶ ἦσαν καὶ τότων ἔτι, οἵ ἐκ ἔλαβον προσφορὰν ἀντιδώρε, ὡς βδελυκλίῳ θυσίαν τελεσθεῖσαν ἐν τῇ ἑνωτικῇ Λειτεργία. Ἔσι δὲ τὰ ῥήματα Μιχαὴλ Δέκα τῦ Νέποτος, ὃς ἐν τῇ κατ' αὐτὸν Ἱστορίᾳ, Κεφαλαίῳ Λ΄. πείθεσθαι ἔοικεν, ὅτι καὶ αὐτὸς ὁ Βασιλεὺς πεπλασμένως καλένδυσεν. Ὅσα δὲ τοῖς ἄλλοις παρήκει, ἕς ὁ Συγγραφεὺς ἦτος, ἅτε δὴ ἐνθύμως Λατίνοις προσκείμενος, Σχισματικὰς ὀνομάζει· Οὐ μόνον τιὰδε τιῶ ἕνωσιν, ἀλλὰ καὶ τοῖς ἐγκρίνασιν αὐτίῳ, καὶ δόξασιν ἐγκρίνειν, παντάπασιν ἀπεσύγαν, ἐδὲ κοινωνεῖν ὅλως αὐτοῖς ἤθελον. Ὡς διὰ πολλῶν διέξεισιν ὁ ῥηθεὶς Δέκας ἐν τῷ προτεθέντι Κεφαλαίῳ, κἂν τῷ ἑφεξῆς, ὃ ἀμέσως παρέπεται. Τοιγαρῶν ἐδ' ὁ Πάπας διὰ τῆς τοιαύτης πρεσβείας ἐδέντι ἤνυσεν, ἐδ' ὁ Βασιλεὺς παρὰ τῦ Πάπα ἐπικερίας τινὸς καλὰ Τέρκων ἔτυχεν.

Ἐν

Ἐν δὴ τούτοις ὁ Τούρκων αὐτάρχης Μωάμεθ ὁ Β'. τῷ Κωνσταντίνῳ πολιορκεῖν ἀνεβάλετο πόλιν. Ἦν, ἔτω τ. Θεῷ ἐπιτρέψαντος, ἐκπορθήσας τέως καὶ παρεκήσατο, ἐν Ἔτει Χριστ. 1453. Καὶ Κωνσταντῖνος μὲν ἔπεσεν ἐπὶ τῆς μάχης ὁ Παλαιολόγος, μετὰ τῶν περὶ αὐτὸν ἀγωνιζόμενος· Τῶν δὲ λαμπρότητι γένους διαφερόντων μονονοχὶ πάντες, οἱ μὲν ἀνῃρέθησαν, οἱ δὲ ζωγρηθέντες διεπράθησαν, οἱ δὲ εἰς δουλείαν ἀπήχθησαν. Καὶ τῶν ἄλλων δὲ πολιτῶν τὸ πλεῖστον μέρος, μαχαίρας ἔργον ἐγένετο· Εἴτι δὲ καὶ ὑπελείφθη καλάλειμμα, οἱ μὲν εἰς ἀλλοτρίας διεσπάρησαν χώρας φυγῇ χρησάμενοι, οἱ δὲ τῇδε κἀκεῖσε περιήχθησαν δωρυάλωτοι· Πᾶσα δὲ κλῆσις, καὶ περιουσία πᾶσα, ὑπὸ Τούρκοις δεσπόταις μελέπεσε. Καὶ ναοὶ μὲν ἱεροὶ πρὸς τέθησαν εἰς διαρπαγὴν, οἶκοι δὲ λαμπροὶ καὶ περιφανεῖς ὑπέκυψαν γύμνωσιν, καὶ ἡ πόλις ἠρήμωται καὶ χεδὸν ἠφάντωται. Καίτοι δὲ θρησκεύειν τὰ Πάτρια Γραικοῖς ἐπετράπη, ἀλλ' ἡ τ. διδάσκειν τὸν λαὸν ἐλευθερία αὐτοῖς κεκόλασται· Καὶ Μουσεῖα δὲ τὰ παρ' αὐτοῖς ἀνετράπη· Αἵτε τῶν Ἐπισκόπων πρόσοδοι, καὶ αἱ ἄλλαι τῶν ἱερῶν χορηγίαι, πᾶσαι ἀφῄρηνται. Τοιγαροῦν ὑπὸ τηλικαύτῃ Τυραννίδι οἱ Γραικοὶ πιεζόμενοι, καὶ μόλις ὑπὸ τὸν τῆς δουλείας ζυγὸν ἀναπνέοντες, ζητήσεις πανδήμους μετὰ Λατίνων συγκροτεῖν τὸ ἀπ' ἐκείνε ἐδόλως ἔχον. ἀλλ' ὅτι μηδὲ ὕστερον διαφωνεῖν πρὸς αὐτὸς ἐπαύσαντο, ἀναμφιλέκτως παρίστησι τὰ ὑπὸ Γραικῶν ἐξῆς συγγραφέντα καὶ τὰ Λατίνων Συγγράμματα. (*) Καὶ μὲν δὴ καὶ ὁ Πάπας πολλοὺς ἐκ τῶν Γραικῶν ἑαυτῷ προσηγάγετο προσηλύτες, ὅσοι διὰ τῆς δεινῆς ἐκείνης καλαστροφῆς τῷ φόβῳ καλαπλαγέντες, πρὸς τὴν αὐτὸς προσασίαν καλέφυγον· Οἵ δὴ, καὶ ἐχὶ μόνον τὸ τῆς παιδείας καὶ τῶν λόγων καλὸν χρῆμα, ἐπὶ Ἰταλίας ὑποκλάζον ἤδη, ἀνέρρωσάντε καὶ

(*) Ἅπερ Ἀλλάτιος καταλέγει ἐν τῷ Γ'. Βιβλ. τῆς τῶν Ἐκκλησ. Ἀνατολ. καὶ Δυτικ. διωνεκ. Συμφων. ἀπὸ Κεφ. Ζ'. Καὶ Γεώργ. Βάλχ. ἐν τῇ Ἱσορ. τ. Ζητήμ. περὶ τῆς Ἐκπορεύσ. τ. Ἁγ. Πνεύματος.

καὶ ἐπεσήριξαν, ἀλλὰ καὶ καλὰ τῶν ἰδίων ὁμογενῶν τὸν γραφέα κάλαμον ἔβαψαν, τῷ Πάπᾳ προχαριζόμενοι, καὶ πολλὰ συγγράψαντες ἐκδεδώκασι, τῇ δόξῃ σιωπηρεῦντα τῇ Λατινικῇ. Ἐξ ἧ δῆλον, ὅτι αἱ μὲν δημοτελεῖς καὶ καλὰ Συνόδες, Γραικῶντε μέσον καὶ Λατίνων περὶ πίστεως συγκροτέμεναι διαλήξεις, ἀπὸ τῆς ὑπὸ Τέρκων ἁλώσεως τῆς Κωνσαντίνε, ἐπαύσαντο καὶ πέρας ἔχον· Ἀλλ' αἱ ἐκ τῆ ἑτεροδοξεῖν ἐν πολλοῖς, καὶ ἄχρι τῆ νῦν εἰσέτι περίεισι πρὸς ἀλλήλες διαφωνίαι. Τῶν Γραικῶν ἔτι, τῶν πατρίων ἐθῶν ἀπριξ ἐχομένων, καὶ ἑδεν ἧττον ἢ πάλαι ἀντιφερομένων ταῖς Λατίνων διδασκαλίαις καὶ εἰσηγήσεσιν. Οὐ γὰρ ἐκείνων χρὴ ἐπισρέφεθαι, οἳ διὰ τῶν Μισσιοναρίων τῆ Πάπα, ἐν διαφόροις πόλεσίτε τῆς Ἑλλάδος καὶ νήσοις, πρὸς τὴν Λατινίδα Ἐκκλησίαν μολῆσιν· Οὐδ' ὅσοι, ἐν τῷ καλᾷ Ῥώμῃ Φροντισηρίῳ, ὅ Γραικοῖς ἐκεῖσε τέτε χάριν ἀνέωγε, τροφιμοι γεγονότες, τοῖς Ποντιφικίοις ὁμοδοξεῖν ἐκπαιδεύονται περὶ τὰ ἀμφισβητέμενα τῆς πίστεως Κεφάλαια, κἂν ἄλλως τὰς ἐν τελεταῖς τεταγμένας ἐξωτέρας διατυπώσεις, ἀμεταποιήτως διατηρεῖν ἐπιτρέπωνται· Ἐξ ἧ καὶ uniti· ὅπερ ἐσὶν ἰωωμενοι καλεῖθαι ἔλαχον· Τέτων ἐ βραχὺς ἔμπης ὁ ἀριθμός· Ἀλλ' ἡμῖν ὁ λόγος περὶ Γραικῶν ἐνταῦθα, τῶν ἐν κόλποις τῆς μητρὸς αὐτῶν Ἐκκλησίας ἀνατρεφομένων. Οὗτοι καὶ γὰρ ἐκ ἔστιν ὅτε ἐχὶ Λατίνων ἀποδιίσανται· Ὡς μάτιν πάντη ἐπὶ Γραικοῖς καλακαυχᾶθαι τὲς Λατίνες, ὡς ἄρα τιὼ μελὰ τέτων ἀπαζομενοις ὁμοφροσιίω καὶ ἕνωσιν.

Ὅ, τι δ' ἀνήκει περὶ τῆς προόδε, τῦδε τῦ περὶ ἧ ἡμῖν ὁ λόγος Ζητήματος, ἐπὶ τῶν μελὰ τιὼ δεκάτιω Ἑκατονταετηρίδα, τῆστε ς', καὶ τῆς Ζ', καὶ δὴ καὶ τῆς καθ' ἡμᾶς ταύτης Η', εἰπεῖν· δῆλον ὅτι ἐ τοσέτῳ ζήλῳ κεκίνηται, ὅσῳγε πρὸ αὐτῆς τῆς Βυζαντίε ἁλώσεως. Εἰ καὶ, ἐδὲ τὸ τελαξὺ τῦτο διέλιπον ἐξ ἀμφοτέρων τῶν μερῶν, οἱ καὶ φωνῇ καὶ γράμμασι περὶ τῦ ζητεμένε παρακολεθή-

κολεθήσαντες πραγματεύεσθαι. Πολλοὶ γὰρ εἰσὶν ἔκλε Ἰταλῶν, καὶ Γαλλων, καὶ Γερμανῶν, καὶ Πολωνῶν τῶν τῇ Λατινίδι καθωσιωμένων Ἐκκλησίᾳ, οἱ τὸ Δόγμα τῆς τ. Ἁγίου Πνεύματος ἐκπορεύσεως καὶ ἐκ τ. Υἱ., ἤτοι ἐκ προθέσεως, ἢ γὲν καὶ ἐκ παρέδε πως, οἷον πρόστι ἕτερον αὐτοῖς πρεργιαίτερον ἀποσκοπεῦντες, ἀναπλύζαι τε καὶ προσεμπεδώσασθαι ἐδαμῶς ὤκνησαν. Ὧν τὰ ἐπὶ τέτω Συγγράμματα, ἐν τῷ Ἐφεξῆς Χρονολογικῷ πίνακι (*) καὶ λέγονται. Ἐκ δὲ τῶν Ἀνατολικῶν, εἰ μήτις ὧδε τὸν Κωνσαντινεπόλεως Ἱερεμίαν ἀνακαλέσειε, καὶ Μελέτιον ἐπίκλιν Πηγᾶς, τὸν Ἀλεξανδρείας Πατριαρχεύσαντα, καὶ Νεκλάριον τὸν Ἱεροσολύμων (**), ἐδένες φέρονται, ὅσαγ' ἐμὲ εἰδένᾳ, οἱ ἐς πλάτος περὶ τ. προκειμένε πραγματεύσάμενοι, Ἀλλὰ γὰρ τοσέτω δαψιλέςερόντε καὶ ἐπιμελέςερον, Ἀδὰμ ὁ Ζοιρνικάβιος, τῷ γένει Πολωνο-Βορεῦσος, Ἡρακλειόντινα οἷον ἀναβαλόμενος τ. τονὶ ἆθλον, τὰ περὶ τ. Ζητήματος ἐπεξεργασάμενος διηκρίβασε. Πολλὰς γὰρ αὐτὸς Ἰσορήσας Βιβλιοθήκας, καὶ τὰ παρὰ τῶν ἄλλων ἐπὶ τέτω συγγεγραμμένα φιλοπόνως διελθὼν, καλὰ τλὺ πρὸ τῆς παρέσης Ἑκατονταετηρίδα λήγεσαν, ἐν πλείοσι διατεμὼν Πραγματείαις, τλὺ περὶ τῆς ἐκπορεύσεως τ. Ἁγίου Πνεύματος δόξαν τῶν Ἀνατολικῶν, καλάτινος Ῥέτκα ὄνομα, καὶ ἑτέρων Πολωνῶν, καλασκεύασαν ἠγωνίσατο. Τέτε δὲ τῆς

(*) Τὸν δὲ Πίνακα συνέλοχαν ἐπιμελῶς, Ἀνὴρ Σοφίᾳ τε καὶ βίε ὁσιότητι κεκοσμημένος, ὁ τῆς ἐν Μόχᾳ Ἀκαδημίας Ῥήτωρ τε καὶ Ἀρχιμανδρίτης Κῦρος Δαμασκηνός· Προθεὶς τέτον μετὰ τλὺ ἐκτεθεῖσαν Ἱσορικὴν ἀφήγησιν τ. Ζητήματος, καὶ πρὸ τῆς περὶ τ. αὐτ. Πραγματείας, τ. Νοβογοροδίας Ἀρχιεπισκόπε Θεοφάνες Προκοπόβιτζ. Απαντα δ' αὐτ. ἐξεδόθη ἐν Γόδῃ Ἔτ. 1772. Ποσέντας δὲ ἐπὶ τ. ἐηθέντος Καταλόγε, Συγγραφεῖς ὑπὲρ μὲν τῶν Ἀνατολικῶν ἀριθμέμενοι, παρ' ἕνα ὀγδοήκοντα. Ὑπὲρ δὲ τῶν Λατίνων, τρεῖς ἐπὶ τοῖς ἑκατόν.

(**) Περὶ ὧν ἁπάντων, καὶ τῶν αὐτοῖς Συγγεγραφέντων ὅρα Γεώργ. Βάλχιον, ἐν τῇ Ἱερ. τ. Ζητήμ. περὶ τῆς Ἐκπορεύσ. τ. Αγ. Πνεύμ. Κεφ. Η'. καὶ Θ'.

τῆς Φιλοπονίας ἀπωνάμενος Θεοφάνης ὁ Προκοπόβιτζ, κατ' ἀρχὰς τῆς καθ' ἡμᾶς ταύτης ἑκατοσύος τῶν ἀπὸ Χριστῦ Σωτῆρος ἐνιαυτῶν, τιὼ περὶ τῦ αὐτῦ Ζητήματος συνέταξε Πραγματείαν, ἥνπερ αὐτοὶ ἐπὶ τῦ παρόντος τῇ τῶν Φιλολόγων ἀναγνώσει καθυποβάλλομεν. (*)

Ἀλλὰ περὶ μὲν ἀρχῆς καὶ προόδε, τῆς Διαφορᾶς τε καὶ Συζητήσεως, τῆς περὶ τῆς Ἐκπορεύσεως τῦ Ἁγίε Πνεύματος, Ταῦτα.

(*) Λατινιστὶ μὲν ἡ Πραγματεία αὕτη ἐκδέδοται ἐν Γώδῃ κατὰ τὸ ψοθ'. Ἴσως δὲ καὶ ἡμῖν ποτὲ σχολῆς τυχοῦσιν Ἑλληνιστὶ ἑρμηνευθῆναι ἐκδοθήσεται.

ΤΩ
ΠΑΝΙΕΡΩΤΑΤΩ ΑΡΧΙΕΠΙΣΚΟΠΩ
ΣΛΑΒΗΝΙΟΥΤΕ ΚΑΙ ΧΕΡΣΩΝΟΣ
ΚΥΡΙΩ ΚΥΡΙΩ
ΝΙΚΗΦΟΡΩ ΤΩ ΘΕΟΤΟΚΗ,

ΕΥΓΕΝΙΟΣ

Ο ΠΡΟΑΡΧΙΕΠΙΣΚΟΠΗΣΑΣ

ΤΑ ΠΕΡΙ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ ΠΡΟΣΦΩΝΩΝ.

Την ἡ Νικηφόρος ὁ Βλεμμίδης ἐπὶ Λατινοφροσύνῃ καθυπανιώκθαι δίκῃ, τοῖς μὲν λειποταξίᾳ φόβων ὁλοτελῆς, τοῖς δὲ συγκαταβάσεως μόνον καὶ Οἰκονομίας, ἅτοιγε δικαίας ὅμως ἐδὲ ταύτης, ἐδ' ἀνοθεύτῳ κρινόμενος· Ἐγὼ μὲν, διεξελθεῖν καὶ ἐκθέσθαι προὐχθίω, ὡς οἶσθε ἰῶ. Αὐτὸς δὲ ΠΑΝΙΕΡΩΤΑΤΕ ΔΕΣΠΟΤΑ, κατὰ τὸ περιὸν Σοι καὶ τῆς σὺ λόγοις δυνάμεως, καὶ τῆ περὶ τὸν Εὐσέβειαν ζήλῳ, ἐπιδικάσεις. Ἡ μὲν ἓν παρ' ἐμοὶ πλάσιγξ ἔοικέπως ἀμφιῤῥεπὴς, τῇ μὲν ἐπὶ τὰ δεξιὰ,

τῇ δὲ τὸ πλέον ἐπὶ τὰ ἀριστερὰ περὶ τῦ Ἀνδρὸς ἀποκλίνουσα· Ὡς ἐμοὶ τὸ Φρόντισμα ἐχ ἁπλῶν τι, ἀδὲ μονοειδὲς εἶναι συμβαίνειν· Ἀμφίλογον δέπως, καὶ οἷον εἰπεῖν, σωηγορία τε ἅμα καὶ κατηγορία δοκεῖν ἀνάμικ]ον. Σὺ δ' αὖ ἀκριβασμῷ δηλονότι τῆς ἑφ' ἑκάτερα ῥοπῆς τὰ μέτρα καὶ ὅρια ϛήσεις, τὰ μὲν τῦ ΝικηΦόρυ ὁ ΝικηΦόρος ἄμεινον διαιτήσας· κἀμὲ δὲ, κατὰ τιὼ ἀμφίκρημνον ἀτραπὸν ταύτιω ιῶ ἔβιω, εἴτι τῦ δέοντος παρεξιωέχθιω, ἐπὶ τὸ ἀσφαλέϛερον ἀνακαλεσάμενος.

Ἐῤῥωμενῶς κατ' ἀμφότερον τὸν ἄνθρωπον ἔχοις, Ἀδελφὲ καὶ Συλλειτεργὲ αὖ Κυρίῳ φίλτατε· Καὶ νικηφορῶν ἀείποτε εἶης, καὶ αὖ ἅπασι, λόγοιϛε δὴ καὶ πράξεσιν ὑπὸ τῆς χάριτος εὐθυνόμενος.

Ἔτει Σωτηρίῳ ᾳψπά.
Μαρτίυ Μιωὸς κδ'.

τοῦ

ΤΟΥ ΠΑΝΙΕΡΩΤΑΤΟΥ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΠΡΩΗΝ ΣΛΑΒΗΝΙΟΥ ΜΕΝ ΚΑΙ ΧΕΡΣΩΝΟΣ, ΤΗΣ ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ ΔΕ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗΣ ΑΚΑΔΗΜΙΑΣ ΜΕΛΟΥΣ ΝΥΝ ΚΑΤΑΛΕΧΘΕΝΤΟΣ, ΚΥΡΙΟΥ ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ.

ΑΝΑΚΡΙΣΙΣ

ΠΕΡΙ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ.

ΝΙκηφόρος ὁ Βλεμμίδης, ὁ ἐπὶ τῇ χάριτι τῆς Ἱερωσιώης καὶ τῷ Μοναςικῷ ἐπανῃρημένος ἰδέαν, Ἀνὴρ διὰ πάσης ἦκων παιδείας, τῆστε καθ' ἡμᾶς καὶ τῆς θύραθεν· Σιωάμα δὲ τῇ θεωρίᾳ καὶ τὸ πρακτικὸν ἐπασκήσας τῷ βίῳ κατὰ τὸ εὖ Ἡμαθίοις Ἱερὸν Φροντιςήριον, ἔ καὶ Κτήτωρ γενέθαι ἱςόρηται· ἤκμαζεν ἐπὶ Ἰωάννε τῷ Δέκα, καὶ τῷ ἐκείνε Υἱῷ Θεοδώρῳ τῷ Νεωτέρῳ τῷ Λασκάρεως· Ἐπὶ δὲ τέτοις, καὶ ἄχρι τῷ μετ' ἐκείνες ὕςερον βεβασιλδκότος Μιχαὴλ τῷ Παλαιολόγῳ περιεγένετο. Ἀπὸ μὲν τῷ 1233. ἤδη ἐπίσημος ὤν, ἐς δὲ τὸ 1272. τὸ ζιῶ παρατείνας. Τῶτον οἱ Παπισαὶ κοινῇ πάντες, ὡς λατινοφρονήσαντα καθαρῶς ἡμῖν ἀντιπαρεξάγεσι, δύο τῶν αὐτῷ προβαλόμενοι Λόγων· Τὸν μὲν, πρὸς Θεόδωρον τὸν ῥηθέντα Δέκαν τὸν Λάσκαριν,

τὸν καὶ παρ' αὐτῷ μαθητεύσαντα· τὸν δὲ, πρὸς Ἰάκωβον τὸν Βελγαρίας Ἀρχιεπίσκοπον, τῶν σωθέντων ἕνα καὶ φίλων αὐτῷ τυγχάνοντα. Τὰς δὲ Λόγας μετιόντα πάρεσι, παράτε Ὀδερίκῳ Ῥαϋνάλδῳ, ἐν τῷ Α'. Τόμῳ τῶν Ἐκκλησιαστικῶν Χρονικῶν, ἐν τῷ Προσαρτήματι· Καὶ παρὰ Ἀλλατίῳ ἐν τῷ Α'. Τόμῳ τῆς Ὀρθοδόξου Γραικίας, ὡς αὐτὸς Ἀλλάτιος ἐπιγέγραφεν ὁ ἐκδεδωκώς· Ὁ περὶ τὰς ἐπιγραφὰς τῶν Βιβλίων ἐχ ἅπαξ ψοφοσάμενος. Ἐφ' ὧν δὴ λόγων τέτων ἀμφοτέρων ὁ Βλεμμίδης, Δογματικάς τινας προθέμενος συζητήσεις περὶ τῆς τῶ Ἁγίω Πνεύματος ἐκπορεύσεως, δοκεῖν ἔοικε βελομένῳ, πρὸς δόξαν τιὼ τῶν Ἐκκλησιῶν ἑκατέρων εὐμαρῶς αὐτὰς ἐπιλελυκέναι, καὶ τὸ δι' Υἱῦ τὰς Πατέρας ἐννενοηκότας, ὡς τὸ ἐξ Υἱῦ, διατείνεθαι.

Ἀλλὰ γὰρ εἰσὶν, οἷς ἄλλως πως περὶ τῶ Βλεμμίδω κρίνειν παρίσαται· Ὁμολογῶσι μὲν καὶ αὐτοῖς ἐπιεικῶς ἐκ τῶν εἰρημένων δυοῖν Συγγραμμάτων, καὶ μὲν δὴ καὶ ἐξ ὧν ἄλλοθεν περὶ ἐκείνε ἡ Ἱστορία παρέδωκε· Περὶ πολλῶ ἂν ποιήσαθαι Βλεμμίδιω τιὼ τῶν Ἐκκλησιῶν ἕνωσιν, ὡς οἱ ποτε τὸ χίσμα τελευταῖον χωρήσει προτεκμαιρόμενον· Καὶ διὰ τῶτο πρὸς τὸ Οἰκονομικώτερον, ἐν οἷς γεγράφει, συγκαταβαίνοντα, ὥστε τὰς ὁμογενεῖς Γραικὰς ἐπὶ τὸ μετριώτερον δυσωπήσαθαι, καὶ τὸ πρὸς Λατίνες τέτων ὑποχαλάσαι ἄτεγκτον καὶ ἀνένδοτον, διαλύσεις προβαλλομένες, καὶ τιὼ τῶν Ἐκκλησιῶν προτείνοντας μακαρίαν εἰρήνιω καὶ ἕνωσιν. Ἐπιγινώσκεσι δὲ ὅμως τὸν Ἄνδρα, τῶν οἰκείων καὶ ἐχὶ τῶν ὑπεναντίων γενέθαι, ἅτε δὴ τιὼ τῶ Πατρίε Δόγματος ὁμολογίαν, μηδαμῶς μηδέποτε ἐξομόσαντα· Ἐπιμείναντα δὲ ἄχρι τέλες τῇ πίσει, ἐν ᾗ ἐξ ἀρχῆς γεννηθεὶς ἀνετράφη, καὶ ἐβίωσέ τε, καὶ ἀπεβίωσε.

Τῷ ὄντι δὲ, ἔπερ οἱ προσημειωθέντες δύο ἐκεῖνοι λόγοι, ὑπὲρ Λατίνων παρισᾶν ἐοίκασι Βλεμμίδιω παρατασόμενον, ἑτεράγεμιὼ τῶν ἀναφερομένων αὐτῶ Συγγραμμά-

γραμμάτων· (Καὶ λόγοι δὲ παρὰ ταῦτα ἐ φαῦλοι τινὲς ἐδὲ κᾶφοι, καίτινες ἐκ μαρτυρίας καταβαλόμενοι πίστεις, ὧν ἐφεξῆς ἀψόμεθα·) Ἐπὶ τιὼ οἰκείαν αὐτὸν φάλαγγα ἀνάπαλιν ἀντιμεθιστῶσιν, ὑπὲρ τῆς τε Ἁγίε Πνεύματος ἐκ μόνε τε Πατρὸς ἀγωνιζόμενον Ἐκπορεύσεως, καὶ τῆς τῶν Ἀνατολικῶν ἔτως ὀρθοδόξε Διδασκαλίας νεανικῶς ὑπεραμιώμενον.

Ἦτε δ' ἐδεὶς ἂν ἀγνοῶν εἴη τὰ Βλεμμίδε ἀναφερόμενα διοσὰ πονήματα, ὧν καὶ Ἀλλάτιος μνείαν ποιεῖται, ἐν τῷ Β'. Βιβλίῳ τῶν περὶ τῆς ὑπ' αὐτε Ἐπιγραφομένης διωνεκῆς Συμφωνίας τῶν Ἐκκλησιῶν, Κεφ. ΙΔ'. §. δ'. Τὸ μὲν, ἕ ἡ ἀρχὴ: Ταῦτα οἱ τῆς Ῥώμης ἐπάγεσιν: ὁ Πατὴρ ἐνεργεῖ διὰ τε Υἱε· κτ. Τὸ δὲ, πρὸς Ἰωάννιν Δέκαν, ἕ ἡ ἀρχὴ: Εἰ μὲν περὶ καινε τινος Ζητήματος πρέκειτο σωεξετάσαι, κτ. Ταῦτα δὲ δήπε, ἐδ' ἂν αὐτοὶ Λατῖνοι ἐς τοσῆτον, ἤτοι παρανοίας ἐλάσεαν, ὡς μὴ κατ' αὐτῶν αὐτὰ συγγεγράφθαι ὁμολογεῖν· Ἡ ἀπονοίας, (ἐξαιρέιθω μέντοιγε ὁ πάντα ὅρον ὑπερβὰς θρασύτητος, Λατινόφρων Ἀλλάτιος·) Ὥτε μὴ Βλεμμίδε εἶναι τὰ Συγγράμματα διατείνεθαι.

Παρὰ ταῦτα δὲ τὰ εἰρημένα προσέτι, καὶ ἕτερα δύο τῆς αὐτῆς ἰδέας ἀναφέρεται Σωτάγματα τῷ Βλεμμίδῃ Φιλοπονηθίωαν, ὧν μνημονεύει Μελέτιος, ὁ ἀπὸ Ναυπάκτε καὶ Ἄρτης Μητροπολίτης Ἀθίων καὶ τὰ ἀψγ'. χρηματίσας, ἐν τῇ ἔτι Ἀνεκδότῳ Ἐκκλησιαστικῇ αὐτε Ἱστορίᾳ, Βιβλ. ΙΓ'. Κεφ. ΙΑ'. Τὸ μὲν, Ἀρχιὼ ἔχον: Λογίων δὲ τὸ τιωικαῦτα κατὰ τιὼ τῆς Βιθιωίας Μητρόπολιν Νίκαιαν, ἐκ τῆς Ῥωμαϊκῆς Ἐπικρατείας ἐπιδεδημηκότων Ἀνδρῶν; Καίτινων ἐκ ταυτησὶ τῆς Ἑλλάδος συνηθροισμένων διὰ τὸ ἀμφήριτον δόγμα· κτ. Τὸ δὲ: Λογίων δὲ ἐκ Ῥώμης εἰσαῦθις, ἐπὶ συσάσει τε οἰκείε Δόγματος ἐπιπεφοιτηκότων Ἀνδρῶν· κτ. Καίτοιγε περὶ τῶν δύο τέτων, τῶν ὅσες γε περὶ Βλεμμίδε καὶ τῶν ἐκείνῳ Φιλοπονηθέντων, παρὰ Λατίνοις διειλημφότας αὐτὰ ἴσμεν, μνείαν τινὰ πεποιημὼς ἐδαμῆ φαίνεται ἐδὲ εἷς.

Τοῖς δὲ ῥηθεῖσιν, εἶπε λανθάνεσι περιτυχεῖν αὐτῷ ἐξεγένετο, τέτοις Βιβλίοις, ἐπιδηλῶσαι ἥπερ ἡμῖν ὤφειλον ὁ Ἀθίωων Ἀρχιερεύς· Ἢ γὲν ὑποφθάσαι, ὅθεν ποτὲ τὰς ἀρχὰς αὐτὸς ἐκείνων παραλαβὼν ἔχει, ἃς εἰς δεῖγμα παρέθετο· Ἵν' ἔτως ἄμεινον κρίνειν ἔχομεν περὶ τῦ Ἀνδρὸς, καὶ τῦ ἐκείνε φρονήματος.

Ἀλλ' ἐδ' ἐκεῖναι δὴ τῶν Βλεμμίδε ὑπὲρ Γραικῶν τὰ δύο, ὧν τὰ πρῶτα τῶν ῥημάτων παρῆγεν Ἀλλάτιος, τύποις ἠξίωσάν ποτε ἡμῖν δημοσιεῦσαι παῖδες Λατίνων· Ὥσπερ ἓν τὰ ἕτερα δύο εἰς φῶς προλύεγκαν, τὰ ὑπὲρ αὐτῶν. Τέτων γὰρ, ὡς εἴρηται, ἐν τοῖς Ἐκκλησιαστικοῖς χρονικοῖς ὑπὸ Ῥαϋνάλδε, καὶ μὲν δὴ, καὶ ἐν τῇ Ὀρθοδόξῳ ἐπιγραφείσῃ Γραικίᾳ ὑπὸ Ἀλλατίε ἐκδεδομένων, ἐκείνατε, καὶ ἐπ' ἐκείνοις μυρία τῆς αὐτῆς προθέσεως ἄλλα, ὡς κατ' αὐτῶν ὄντα, καὶ ἐδὲ λόγε ἄξια διὰ τῦτο, παρ' αὐτοῖς ἀποκεῖσθαι ἀνέκδοτα κατεκρίθη, καὶ λανθάνειν ἀπρόϊτα. Ἐξ ὧν ἴσως εἰς φῶς προενίωεγμένων, ἡ περὶ τὶω Βλεμμίδε δόξαν ἀχλὺς εὐχερῶς ἂν διεσκεδάσθη, καὶ μαθεῖν παρέσῃ τοῖς μετελθοῦσιν, ὅπως ποτὲ, καὶ τίνι λόγῳ, καὶ καθ' οἵαν ἄρα τὶω κράσιν, ὁ Βλεμμίδης ἔτος τὸ χλιαρὸν ἡμῖν πρόπιεν.

Ὁ μὲν ἓν Ἀλλάτιος, ὅτ' ἴκεν ἐπ' ἀκαιρίμλω οἱ γλώτταν ἐπέλθοι, λαλεῖν εἰωθὼς, ἐφ' ᾧ τε Ῥώμλω περισᾶναι, καὶ τὰ Λατίνοις ἐπικρατῶσαι ἀρέσκοντα, ἐκεῖνα τὸν
„ Βλεμμίδιω (φησὶν) ἐπὶ Ἰωάννε τῦ Δέκα, ἐκ τῦ προχείρε
„ πως πεφλυαρηκέναι, παρὰ τῶν ἄλλων αὐτὰ ἐρανισθέντα
„ Σχισματικῶν, ὡς μήπω ἀνεξετακότα αὐτὸν ἐπ' ἀκρι-
„ βὲς τὶω ὑπόθεσιν. Eum quae in promptu occurrebant, nondum discussa causa, ex penu aliorum schismaticorum
„ effutisse. Ὕστερον δὲ, τὰ περὶ τῦ ζητεμένε ἐπιμελῶς
„ ἀνερευνήσαντα, καὶ τὶω ἀλήθειαν ἐπιγνόντα, ταύτιω
„ πρόστε Θεόδωρον τὸν Ἰωάννε κληρονόμον, καὶ πρὸς Ἰά-
„ κωβον τὸν Βελγαρίας, καὶ δὴ καὶ πρὸς ἄλλες, δι' ὧν ἐξέ-
„ δωκε Συγγραμμάτων, ἀνακηρύξαι. Re diligentius examinata, et veritate cognita, eandem ad Theodorum Iohannis

hannis haeredem, et Iacobum Bulgariae, et alios, ſcriptis editis promulgaſſe. (Ἀλλάτ. Ἐνθ. ἀνωτ.)

Ἀλλ' ὅτι γὰρ λῆρος σαφὴς τὸ λεγόμενον, καὶ ἐδὲ ὑγιὲς, δῆλον ἐκεῖθεν· Ὅτι ἐπὶ τε Βασιλέως Ἰωάννε τε Δέκα, ὅτε τῶν ἀπὸ Ῥώμης ἐπιδεδημηκότων Λεγάτων, ἡ περὶ τε Δόγματος Γραικῶντε μεταξὺ καὶ Λατίνων διεπυρσεύετο ἔρις, ἐδεὶς ἔτε Γραικῶν, ἔτε Λατίνων, ὅλως ὑπονενοηκὼς ἄφθη Βλεμμίδιν, ὡς παῖδα ἄντικρυς ἔναντινά τῶν πρωτοπείρων γενέθαι, ἀρτίως ἤδη περὶ τὶν ἱερὰν Θεολογίαν ὀδόντας φύειν ἀρχόμενον, μήπω δὲ τῷ τότε, τὰ περὶ τε πολυταράχε, ἀπὸ τοσέτε χρόνε, ζητήματος ἐκείνε, ἀποχρώντως ἐξονυχίσαντα· Nondum diſcuſſa cauſa: ὅπερ ὑπονοεῖν ἡμῖν περὶ τε Ἀνδρὸς, Ἀλλάτιος δίδωσι· Τἐναντίον δὲ πάντες περὶ Βλεμμίδε ὁμολογῆσιν, ὡς ἀφ' ἑνὸς ςόματος· Αὐτίκα γὰρ ὁ Γρηγορᾶς (ἐν τῇ κατ' αὐτὸν Ἱςορίας Βιβλ. Ε'. Κεφ. Β'. §. ς'.) ἐπὶ τῆς Ἰωάννε (φησὶ) τε Δέκα Βασιλείας, ἡ τοιαύτη παρὰ Λατίνων ἐκινήθη ὑπόθεσις· καὶ ἰῶ τἰωικαῦτα σοφὸς Ἀνὴρ Νικηφόρος ὁ Βλεμμίδης, Θείων Γραφῶν ἐμπειρόταtος· Ὅς χολῇ δεδωκὼς ἑαυτὸν ἤρξατο συλλέγειν . . . . . καὶ λογογραφεῖν· κτ. Ὁ δὲ Ἰησείτης Πετάβιος (Θεολογ. Δογματ. περὶ Τριάδ. Βιβλ. Ζ'. Κεφ. Α'. §. ε'.) ἐκ τε Γρηγορᾶ λαβὼν, τε ὲ πολὺ τῶν χρόνων ἐκείνων ὕςερον γενομένε, καὶ ἐπίσης τέτῳ μεγαλιών τὸν Ἄνδρα, τῶν μάλιςα (λέγει) διαφερόντων κατ' ἐκεῖνο τε χρόνε (ἐπὶ τῆς Ἰωάννε δηλαδὴ τε Δέκα Βασιλείας·) ὁσιότητι βίε καὶ σοφίᾳ γενέθαι, καὶ τῶν ἄλλων ὑπερέχοντα τε Λατινικε Δόγματος προσάτιν ὀφθῆναι. Praeſtantiſſimum, et pietate eruditioneque per id tempus facile Principem, pro Latino dogmate ſtetiſſe. Ὁμοίως δὲ καὶ καλὰ Κάγγιον (ἐν τοῖς εἰς τὸν Γρηγορᾶν Σημειώσεσι, Σελ. 7.) Ὁ Βλεμμίδης τἰωικαῦτα, ἰχυρόςτις παρίςατο τῆς Λατίνων Ἐκκλησίας ὑπέρμαχος. Validus Latinae Eccleſiae Propugnator. Ὁ δ' αὐτὸς, καὶ ὑπὸ τε Δομινικανε Βερνάρδε δὲ Ῥέβεις (ἐν τῇ Α'. τῶν ἐπὶ τῆς Βιογραφίας Γρηγορίε τε

Κυπρίᾳ, τῇ μετὰ Βέκκον ἐν Κωνσταντινουπόλει Πατριαρχήσαντος, Διαλέξεων, Κεφ. Β'. §. β'.) διαῤῥήδην ἐπὶ Ἰωάννου Δέκα τοῦ Βατάτζη ὑπὲρ Λατίνων ὁμολογῆσαι ἐπιπόνως ἀπεδόσατο. Sub Iohanne Duca Vatatzio pro Latinorum Dogmate Blemmydam Laborasse. Εἰ μὲν οὖν ὑπὲρ τοῦ Λατινικοῦ Δόγματος ὁ Βλεμμίδης τὸ τηνικαῦτα παῤῥησίᾳ κατῆλθεν ἐπὶ τὸ ῥάδιον, τὸ τέως παρεῖθω· Ἀλλ' ἐκεῖνο δὴ συμφώνως μαρτυροῦσιν οἱ πάντες, ὡς ἐχί τις φαῦλος ἰὼ ἐπὶ Ἰωάννου τοῦ Δέκα ὁ Βλεμμίδης ἀγωνιςής· Οὐδ' οἷος ἀσωτάκλως κομιδῇ ἔχων καὶ ἀπαρασκεύαςως, ἔτινα ὑπὲρ τῶν ὁμογενῶν τότε προβάλοιτο· Ὡς τὰ παρατυχόντα οἱ προνοίωοχὼς πεφλυαρηκέναι· nondum discussa causa effutisse, καθὰ περὶ αὐτοῦ φησὶ πεφλυαρηκὼς τῷ ὄντι Ἀλλάτιος· Πῶς γὰρ; ὁ κατὰ μὲν τὸν Γρηγοραν, χολῇ ἑαυτὸν δεδωκὼς ἐπὶ τὰ γράφειν, σοφὸς Βλεμμίδης· Κατὰ δὲ Πετάβιον, Praestantissimus, et eruditione facile Princeps. κατὰ δὲ Κάγγιον, validus Latinae Ecclesiae propugnator· κατὰ δὲ τὸν Δε-Ῥέβεις, ὁ τὸν ὑπὲρ τοῦ Λατινικοῦ Δόγματος ἀναδεξάμενος πόνον, ἔτι μεμπλὸν ἢ δοκεῖ· Ἐξ ἀλλοτρίας ἔπειται ὁ τοιοῦτος ἀφωπλίζετο ἀποθήκης; ex penu aliorum, ἐπειδὰν ἐπῄει λέγειν ὑπὲρ Γραικῶν; καὶ σιωπηρῆσαι τοίνυν προθέμενος τῷ Πατρίῳ Δόγματι, τἰωικαῦτα μόνον, τἰὼ περιῆσαν οἷον ἀῤῥημάτος ἔξιν καὶ δώαμιν, περὶ πραγμάτων λέγειν καὶ γράφειν προήγετο, περὶ ἅ, (κατὰ τἰὼ Ἀλλατίε τῆ γεννάδα κρίσιν·) ἔπω σωτέτακλο; nondum discussa causa?

Καμιὼ δὲ τῆς ἄλλων μαρτυρίας χρεία πρὸς ἔλεγχον, ὁπότε αὐτὸς ἡμῖν καθ' ἑαυτὸν Ἀλλάτιος μάρτυς καθίσταται, καὶ δικαςὴς ἅμα αὐτέλεγκλος. Φθάσας γὰρ μικρὸν ἀνωτέρω αὐτὸς εἰρήκει: Fuit Blemmyda apud Graecos, validus Latinae sententiae adversus Graecos assertor; nam cum Iohanne Duca rerum potiente, inter Graecos discuteretur de processione Spiritus sancti, ipse multis de S. Scriptura, ex S. S. P. P. collectis testimoniis, Latino-

Latinorum ſententiam confirmauit. Ἦν δὲ παρὰ Γραικοῖς ὁ Βλεμμίδης, ἰσχυρὸς τῆς Λατινικῆς δόξης κατὰ Γραικῶν διεκδικητὴς καὶ συνήγορος. Ἐπὶ γὰρ Ἰωάννε τε Δέκα Αὐταρχέντος, λοίπα τὸ περὶ τῆς ἐκπορεύσεως τε Ἁγίε Πνεύματος ἀνεζητάζετο μεταξὺ Γραικῶν, πολλὰς αὐτὸς ἔκτε τῆς Ἱερᾶς Γραφῆς, καὶ ἐκ τῶν θεοπεσίων Πατέρων μαρτυρίας συλλέξας, τὶ τῶν Λατίνων δόξαν ἐσήριζεν. Εἰ γὲν ἔτως, ἐπὶ Ἰωάννε τε Δέκα, ὁ Βλεμμίδης συνήγορος λὶ γενναῖος, ὥσε τὶ δόξαν ἐμπεδέντε καὶ σηρίζειν δυάσθαι τὶ Λατινικίν· Πῶς ἄρα κατὰ τὸ αὐτὸ ὁ αὐτὸς ὑπῆρχε τῷ Ἀλλατίῳ ἀσυντακλόστε καὶ ἀπαράσκλος; καὶ τὸ ὅλον λῆρος τις καὶ φλιάφος, ἐν οἷς ἠγωνισμένος δείκνυται, δι' ὧν κατὰ τὸ αὐτὸ συνέγραφεν ὑπὲρ τῶν Γραικῶν; Ἀλλὰ καὶ κατ' αὐτὸν πάλιν Ἀλλάτιον (Ἐνθ. Ἀνατ.) τῶν ὑπὲρ Γραικῶν δύο ἐκείνων, πρὸς τὸν Δέκαν Ἰωάννιν θάτερον συγγράφων ὁ Βλεμμίδης, ἔτως ἐποιεῖτο τὶν ἀρχίν: Εἰ μὲν περὶ καὶ ἔτινος ζητήματος πρᾶκειτο συνεξετάσαι κτ. Ὁμολόγει τοίνυν ἔτω προοιμιαζόμενος ὁ Βλεμμίδης, ὅτι πάλαι ἐξεζητημένον τε καὶ προεξητασμένον αὐτῷ ὑπῆρχε, τὸ περὶ ᾧ συγγράφειν ἀνεβάλλετο, τῆς τῶν Ἀνατολικῶν δόξης ὑπερμαχῶν. Εἰ δὲ τᾶτο, ψόδεται ἄρα περιφανῶς ἡμῖν Ἀλλάτιος, ὁ τὶν Συγγραφὶν ἐκείνιν τῷ Βλεμμίδη, νέον ὂν δέλτοισιν ἐπὶ γένασι θεὶς, ὡς ἔτυχον αὐτοσχεδιαζομένιν ἐξ ἀνετοίμε· Ἀτε ἀπραγμόνως δῆθεν, καὶ ἀταλαιπώρως, καὶ οἷον ἐξ ὑπογυίε: Indiſcuſſa cauſa: γράφειν ἐπιβαλομένῳ· καὶ ταῦτα πρὸς αὐτὸν τὸν Βασιλέα προσφωνεῖν μέλλοντι τὰ γραφόμενα.

Τοιγαρῆν, ἐπεὶ μὴ πάνυ πιθανῶς εἰρῆθαι τὸ εἰρημένον καὶ αὐτὸς συνεῖδεν Ἀλλάτιος, ἐπ' ἐκεῖνο δεύτερον ἐτράπη, τὸ φᾶναι: Πλάσματα τῶν ἄλλων εἶναι Σχισματικῶν τὰ ὑπὲρ Γραικῶν ἐκεῖνα, ὡς ἐξ ὀνόματος Βλεμμίδε περιφερόμενα. Τᾶτο δὲ συνήθες γενέθαι τοῖς ὕστερον, τὰ νεαράτινα, ὡς ἐξ ὀνόματος δῆθεν τῶν τῆς ἀληθείας προμάχων, ἀνθυποβάλλειν· Ὡς ἂν ἐκείνων δηλονότι τότε πιστὸν

» πιστὸν ὑφέλωνται, καὶ τὸ κλέος ὃ προσεκτήσαντο. Ὁ
» καὶ περὶ Ἰωάννιν Βέκκον τὸν Πατριάρχην, συχνάκις αὐ-
» τὸς πεποιηκέναι, φησίν. (Αὐτ. αὐτ.) secundo commenta ea esse aliorum Schismaticorum . . . moris enim id fuit recentioribus, vt fidem, quam quis pro defendenda veritate aucupaverat, deprimerent, famamque partam convellerent, noua adversus veritatem scripta sub eodem nomine edere; ut de Iohanne Vecco Patriarcha factitarunt. Περὶ μὲν ἓν τῷ Βέκκῳ, ὅτι καλάμῃ δίκην ἀνέμῳ σαλευομένῃ, παλινῳδίαν ἐκεῖνος ἦσε πολλάκις, καὶ τἀναντία ὧν εἶπετο καὶ συνέγραψε πρότερον, ὁ αὐτὸς αὖθις ἀναμαστήσας πεφώραται, οἱ τὰ κατ' αὐτὸν ἐξιστορηκότες, Γεώργιός τε ὁ Παχυμέρης, καὶ ἄλλοι, μάρτυρες εἰσὶν ἁπάσης ὑπονοίας ὑπέρτεροι· Καὶ περὶ τούτου ἴσως καὶ ἡμῖν τὰ ἄλλοις εἰρήσεται. Ὁ δὲ περὶ Βλεμμίδου
» λέγεται ἐνταῦθα. πόθεν Ἀλλατίῳ καὶ δείκνυται; Τοσού-
» τῳ δὴ μᾶλλον (φησὶ) τοῦτο ἐμαυτὸν ἀναπείθω, ὅτι, εἰ δὲ
» τὸ ἐν τοῖς πράγμασιν ἐμβριθὲς, ἔτε τινὶ διδασκαλίαν,
» ἔτε φράσιν τινὶ αὐτῶν ἐπ' ἀμφότερα, (τὰ Συγγράμμα-
» τά μοι νόει, τό, τε ὑπὲρ τῶν Λατίνων, καὶ τὸ ὑπὲρ τῶν
» Γραικῶν·) καθορῶ, ἀλλήλοις παρεξεταζόμενα. (Αὐτ. αὐτ.) Eoque magis id mihi persuadeo, quod videam, neque rerum pondera, neque Doctrinam, neque styli rationem eandem, dum illa confero, in utrisque esse.

Ἐγὼ γὲν ἐνταῦθα, καὶ τὰς ἐμφερομένας ἐξ ἀντιπερισπάσεως ἀκούεσθαι προσεδόκων διαφοράς· (τίς δ' ἐκ ἂν προσεδόκησε;) καὶ τὰς Ἀλλατίου δ' ἐπὶ τούτων κρίσεις ἕτοιμος ἰῶ διδαχθῆναι, ὡς αὐτὸς προήχθη, τὰ μὲν τῶν εἰρημένων, ὡς γνησίως Βλεμμίδου ἐνεργείσασθαι γόνος· Τὰ δ', ὡς νόθα τε καὶ ὑποβολιμαῖα κυήματα, ἐς Κιμώσαργες ἀποῤῥίψαι. Ὁ δὲ, ὡς ἐκ τρίποδος ἀτεχνῶς ἑτοσὶ τὸ δόξαν ἀποφοιβάσας, μηδάμῃ ὅλως παρασημηνάμενος, ὅθεν ἂν καὶ σωιδεῖν παρείη τινὶ ἐν τοῖς ὑπὲρ Γραικῶν ἐκείνοις ἐπιψηφιθεῖσαν αὐτῷ ἀπαιδευσίαντε καὶ ἀφέλειαν, τοσοῦτον μόνον ἀποχρεμψάμενος, ἠρκέθη τινὶ

ψήφου

ψῆφον ἐπαγαγεῖν, ἐπειπών: Ὡς, εἰδενὶ λόγῳ ταῦτα (τὰ ὑπὲρ τῶν Γραικῶν δηλονότι· Τὰ γὰρ κατὰ Γραικῶν ἀναμφηρίστως·) Τε Βλεμμίδε εἰσὶν· Ὡς εἴτινος κἀκεῖνα Βλεμμίδε, ἀλλ' ἑτέρε γεμλῶ, ᾧ τὸ Νικηφόρε τεῦδε τε ἡμετέρε ὑπὸ τῶν ἀντιπάλων ἐπαναπέπλασαι ὄνομα. (Αὐτ. αὐτ.) Nulla ratione Blemmidae ſunt; et ſi Blemmidae, alterius ab hoc noſtro neceſſario fuerint, Licet Nicephori nomen aduerſarii ſuppoſuerint. Τῷ τεῦτο δῆλον; Ὅτι (φησὶν) εἴτις εἰλικρινῶς ἐπισήσειε κρίνας, τὰ μὲν ὑπὲρ τῆς Λατινίδος Ἐκκλησίας Συγγεγραμμένα, Διδασκάλε ἂν εἴποι φιλοπονήματα εἶναι, σοφε τινος· Τὰ δὲ κατ' αὐτῆς, παιδὸς ἄντικρυς, καὶ τέτε ἀγλώσε, ἀπομελετήματα. Quae ſi Cenſor ingenuus perſpexerit, haec quoque pro Latina Eccleſia, a Doctore et magiſtro; quae contra eam, a puero, eoque elingui, dictata eſſe affirmabit.

Ἐπεὶ τοιγαρῦν Ἀλλάτιος ἡμῖν εἰς Ἐφέρες τινὶ δίκην ἐφίησιν, ἰδὲ τίνι ἔφεσιν αὐτοὶ ἐ παραιτησόμεθα, μὴ καὶ ἐρήμην ἁλῶμεν. Ἐφέταν δ' ἡμῖν ἔσονται, οἷσπερ καὶ μυκτὴρ περίεσιν εἰς τὸ κρίνειν, εὐδόντι ἦτλον ἢ Ἀλλατίῳ δριμὺς, καὶ τὸ εἰλικρινὲς δὲ πρόσεσιν, ὡς ἠξίε, καὶ ἀπαθὲς· Ἅτε ὑπὲρ ὧν ἐκεῖνος φρονεῖ, καθ' ἡμῶν δὲ, ἐπὶ τε ὑποκειμένε ζητήματος ἰσαμένοις Ἀνδράσι, καὶ τὸ Λατινικὸν αὐτῷ περιθάλπεσι δόγμα, τὸ περὶ τῆς τε Ἁγίε Πνεύματος ἐκπορεύσεως καὶ ἐκ τε Υἱε. Ὅπερ εὐδὲν ἕτερον ἐσὶν, ἢ δικασὶν καθ' ἑαυτῶν αἱρεῖσθαι καθισάν, τὸν ἀλλοτρίως ὁπωσῦν διακείμενον. Γυλιέλμος τοίνυν ὁ Καβάσος, ἐν τῷ περὶ τῶν Ἐκκλησιασικῶν Συγγραφέων (τόμε Β'., Σελ. 304. κατὰ τὸν παρ' ἐμοὶ ἔκδοσιν·) Ἔτι καὶ καθ' ἡμᾶς (φησι) σώζεται τινα τῶν (Βλεμμίδε) πονημάτιον, ἐν οἷς κατὰ τῆς Λατίνων μάλισα δόξης περὶ τῆς τε Ἁγίε Πνεύματος Ἐκπορεύσεως νεανικῶς διαλέγεται. Καὶ τὸν μὲν δεσμὸν τόνδε, Λέων ὁ Ἀλλάτιος ἐπιλύσαθαι ἀγωνίζεται (φησὶν· Ἐπιφέρων καὶ τὰς ὑπὸ Ἀλλατίε προτεθείσας ἡμῖν εἰκασίας.) Ὅσῳ δὲ ὀρθῶς ταῦτα, ἔχει (δηλαδὴ

» λαδὴ τοὺ Ἀλλατίε·) Ἰδέτωσαν, οἷς ἂν γένοιτο τὲς χει-
» ρογράφες ἀνελίξαθαι Κώδικας. Etiam hodie ſuperſunt opuſcula quaedam, in quibus adverſus ſententiam Latinorum, praecipuè de proceſſione Spiritus S. fortiter diſputat. Nodum iſtum ſolvere conatur Leo Allatius etc. . . . . Quam recte haec, viderint, quibus Codices manuſcriptos inſpicere datum ſit. Ἐν δὴ τέτοις ὁ Καβέος, α'. ἐδόλως ἐνδοιάζων φαίνεται, μήποτε τὰ κατὰ Λατίνων φερόμενα ἐκεῖνα, μὴ Βλεμμίδε γνήσια ᾖ, ἀλλ' ὑποβολιμαῖα καὶ νόθα, ἥτις ἰῶ ἡ Ἀλλατίε ὑπόνοια. β'. Οὐδ' ἀφελῆ τινα ἐκεῖνα κρίνων ἐτύγχανε μελετήματα, καὶ παιδαριώδη. Προθεὶς δὲ τὸ Ἐπίρρημα fortiter (ἰσχυρῶς·) Ἀνδρικὰ μᾶλλον ὑπειληφέναι ἐδόκει αὐτὰ, καὶ ἰσχυρὰ καὶ καὶ γενναῖα. γ'. Καὶ τλιὼ μάτλιω ἐπιχειριθεῖσαν τῇ δεσμῇ λύσιν παρασημειώμενος, τῇ Ἀλλατίε περὶ τῶν τοιέτων Συγγραμμάτων ψήφω, αὐτὸς ἐκ ἔοικεν ἐπιδοκεῖν. Μεθίεησι δ' ἐφ' ἑτέρες τλιὼ δίκλω, τὲς ἐκείνε ἀπαθεξέρες, οἷς ἂν ἀμέσως τοῖς χειρογράφοις ἐντυχεῖν περιγένοιτο. Καὶ ὁ μὲν Ἄγγλος Καβέος, ἔτως.

Ὁ δὲ Γερμανὸς Γεώργιος ὁ Βάλχιος (ἐν τῇ τῆ Ζητήμ. Ἰσορ. τῆ περὶ τῆς Ἐκπορδ. τῆ Ἁγ. Πνεύματ., Κεφ. Ε'. §. Ζ'.) ἐκ τῶν πονηματίων (φησὶ, περὶ ὧν ὁ λόγος·) πρό-
» δηλον αὐτὸν (τὸν Βλεμμίδιν) καὶ ἀπὸ τῶν Λατινικῶν δοξα-
» σμάτων, μάλιστα δὲ περὶ τῆς τῆ Ἁγίε Πνδ. Ἐκ-
» πορδ. γενναίως διαλεχθῆναι. Ἔπειτα καὶ τῆ Ἀλ-
» λατίε μνημονδ. καὶ ἔτος (Αὐτ. Σημειώσ. * *) ὡς τὸν Βλεμμίδιν διαφόροις λόγοις πειρωμένε, τοῖς γνησίοις Φα-
» τριαρχαῖς τῆ Ῥώμης προσκαταλέξαθαι· Αἴγεμην εἰς τῆ-
» το (προσίθησιν) ὑπὸ Ἀλλατίε προβαλλόμενα εἰκασίαι,
» κῆφαί τε καὶ ἀδενεῖς εἰσίν. Ex opuſculis ad nos delatis, patet eum adverſus Latinorum ſententias, praecipue de proceſſione Spirituς S. fortiter diſputaſſe . . . Leo Allatius diverſam rationem iniit difficultatem hanc removendi, ac Blemmidam . . . . veris Praeſulis Romani ſectatoribus adſcribendi. Sed quae hanc in rem proponit, conjecturae ſunt Leves atque infirmae.

Τελὸ-

Τελευταῖον δὲ καὶ ὁ ἀπὸ τῶν Δομινικανῶν ἀποσκιρτήσας Κασιμῖρος Ὀσδῖνος, Γάλλος ἔτος· (ὡ τῷ Γ. τῶν ὑπομνημάτων αὐτε Τόμῳ, περὶ τῶν Ἐκκλησιας. Συγγραφ. Στήλῃ 227.) Τὰ τε Παπολάτρε ἐπαγαγὼν ἐπιφέρει: Ταῦτα Ἀλλάτιος τῇ Ποντιφικίῳ δίκῃ σωηγορῶν· "Ἔξοχος γὰρ ἐσὶν ἀκέσωρ, ὥσε πᾶσι τοῖς ὑτριβομένοις τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ τραύμασι, καίτοιγε θανατηφόροις ἔσι, δι' ἑνὸς ἐμπλάσρε καὶ μόνε, καὶ τότε προχείρε, ἐπιμηχανᾶσθαι τλὼ ἄκεσιν. Haec Allatius ad Pontificiae Cauſae tutelam. Eximius enim medicus eſt, qui vulneribus Romanae Eccleſiae inflictis omnibus, et ſi Loetalibus, unico emplaſtro, illoque facili, medetur.

Ὁρᾷς ὅπως ὑπὸ Δικαιοσύνῃ, ἴσως μὲν καὶ Σοφωτέροις· Σὲ δὲ πάντως εἰλικρινεςέροιστε καὶ ἀπαθεςέροις, ἐκπέπλωκας τῆς δίκης Ἀλλάτιε; Ὅπως γενναίως τε καὶ εὐτόνως, (fortiter) ἀνεκρίθη διαλεγόμενος, ὁ τὰ ὑπὲρ Γραικῶν ἐκεῖνα συγγράψας, ὃν αὐτὸς ἡμῖν ἀγλώσσῳ παιδὶ (puero elingui) παρεικάζειν ἐβέλε, ἵνα μὴ Βλεμμίδε ἀναγκαθῇς ὁμολογῆσαι εἶναι, τὸ παρὰ πάντων ὡς Συγγραφεῖ τῷ Βλεμμίδῃ ἀπονεμόμενον Συγγραμμα; ὡς μάτλιω ἀνεβάλε λῦσαι (nodum conatus ſolvere) τὸν σωέχοντά σε δεσμόν; ὡς ἀθενεῖς σε καὶ κῶφαι αἱ εἰκασίαι; (conjecturae Leves atque infirmae) ὡς φαῦλος σὺ τυγχάνων ἀκέσωρ καὶ ἀσωτελὴς ἀπελήλεγξαι; Σὺ μὲν γὰρ, ὡς βέλη νηπίων τὰς ἐκεῖθεν ἐλογίζε πληγὰς, καὶ ταύτας ὥε σωελεῖν τῇ σωήθειᾳ Πανακείᾳ προχρώμενος, τῷ νοθείας κρίνειν, ἢ ἀπαιδευσίας τε καὶ ἀφελείας, ὁπόσα τῶν Συγγραμμάτων τῇ σαυτε δόξῃ ἐκ ἄραρε. Τραυματίας δὲ ἄλλοι ἐπιθανατίες ἐκ τῶν πληγῶν ἐκείνων ἐπέγνωσαν μονονεχὶ πεπλωκότας τὲς ἐκ τῆς Ῥώμης· οἷς ἐδὲν εἰς ἄκος τὰ παρὰ σε ἔμπλασρα ταῦτα, ἔτ' ἔγχρισα, ἔτ' ἐπίπασα, σωετέλεσαν.

Τε τοίνυν Παπολάτρε Ἀλλατίε σαφῶς ἔτως ἡμῖν ἐξεληλεγμένε, ὀρθότερον ἐοίκασι κρίνειν, οἱ ὡ αὐτῷ τῷ Βλεμμίδῃ τὸν μεσίτιω τε καὶ διαλακτῆρα τῶν διαφερομένων

μένων ἐπιγιγνώσκοντες, καὶ, ὡς εἰώθασιν ὀνομάζειν, τὸν Συγκρητισμόν. Τὸν Ἄνδρα δηλονότι, τὸν διὰ τὸ ἡσύχιον καὶ εἰρωνικὸν τῷ τρόπῳ, ὡς πορρωτάτω ἀπέχοντα τῆ Φιλονεικίᾳ τε καὶ ἐριστικῇ. Καὶ διὰ τοῦτο καλαλλάξαι πως καὶ συμβιβάσαι τὰ διαπληκτιζόμενα τῶν μερῶν διὰ ἀστειότητος ἁπάσης τιθέμενον· Καὶ τινὶ ἐκ πολλῆ περὶ τὸ δόγμα ἐξαφθεῖσαντε, καὶ εἰς ἐρανὸν κορυφωθεῖσαν ἔριν καταπαῦσαι καὶ ἀποσβέσαι, ὡς ἐδόκει ἦτον τὸ πολίτευμα, ἢ τινὶ Ἐκκλησίαν, διακυκῶσαν καὶ συνταράττουσαν. Ὅτι γὰρ δὴ ἔτως εἶχε τρόπε Βλεμμίδης καὶ διαθέσεως, κἂν ἐκ τῆς τῆ θρόνε παραιτήσεως συμφανὲς εἴη, ὃ πολὺ πρότερον ποιεῖσθαι τινὶ ἐν τῷ ἡσυχαστηρίῳ διατριβῇ μεγαλοφρόνως ἐνεδείξατο καὶ θαυμαστῶς, ὅτε ὁ μαθητεύσας αὐτῷ πρότερον, καὶ Βασιλεὺς ὕστερον, Θεόδωρος ὁ Λάσκαρις, ἐπὶ τινὶ Πατριαρχικῇ αὐτὸν ἐξάραι περιωπῇ ἐφιλοτιμήσατο. Ὃδε ἐδαμῶς ἐνδὲς εἶχε, παντὸς ὄγκε τε καὶ περιφανείας ἀξιωμάτων προτιμήσας τὸ καθ' ἡσυχίαν ζῆν, καὶ βίον ἄγειν θορύβων ἐλεύθερον καὶ ἀπράγμονα· (Ὅρα Γεώργ. τὸν Ἀκροπολ. Ἱσορ. ΝΓ. Καὶ Νικηφόρον τὸν Γρηγοραν, Βιβλ. Γ'. Κεφ. Α'. §. Β'.) Καιμὴ καὶ ἐκ τῆς ἀδιαφορίας (πῶς ἄν εἴποιμι;) ἢ ἀπαθείας, ἣν διασῴζων ἄφθη Βλεμμίδης ἐπὶ τῆ γνομένῃ Σχίσματος τῶν Ἀρσενιατῶν καὶ Ἰωσηφιτῶν, ὁ χαρακτὴρ τῆ Ἀνδρὸς γνωρίζεται· Ὅτι τῶν πάντων ἐπὶ θάτερα ἀποκλινόντων, μόνος ὡς ἐπὶ πλάσιγγος ἀκλινὴς αὐτὸς ἵστατο ἀβρέπως, ἑκάτερα μὴν ἐπίσης τὰ μέρη διὰ τιμῆς ἄγων καὶ σέβων, ἑδέτερον δὲ κακίζειν ἐπιβαλλόμενος, ἢ διαμέμφεσθαι· Οὐδὲ τότες ὅλως πρὸ ἐκείνων τότων, ἢ μετ' ἐκείνες· ἀπαθῶς γὰρ εἶχε πρὸς τὰ γινόμενα, ἔτέτινι προσπαθῶν, ἔτεμιὴ ἐμπαθῶν· ἀλλ' ἦν ὁ νῆς ἐκείνῳ, ὡς εἰμὴ σώματι ὅλως κατείχετο· Ἐν ἐλογίζετο εἶναι καὶ Ἀρσένιον, καὶ Ἰωσήφ· (Γεώργ. Παχυμέρ. Ἱσορ. Βιβλ. Ε'. Κεφ. Β'.)

Οὕτως ἔν καὶ τρόπε ἔχων καὶ προαιρέσεως ὁ Βλεμμίδης, τῶν λοιπῶν ἁπαξαπάντων ἄνωτε καὶ κάτω, ὡς

ἐπὶ

ἐπὶ πολέμε παρασκευῆς, φερομένων· Αὐτὸς ἰδιοπραγῶν
τὸν πῖθον τὸν αὐτῷ ἔφερέτε καὶ ἦγεν· Οὐχ ὡς μὴ μόνος
αὐτὸς ἀργεῖν δοκοίη ἐν τοσούτοις περιαχολεμένοις, κατὰ
τὸν Σινωπέα τότε, ἀλλ' ἵνα τὸ περιττὸν ἴσως περικόψῃ,
ἢ ὑπελέγξῃ τῆς φιλοταράχε περιεργείας, καὶ τὸν Ἄρειν
σήσῃ, τὸν ἐν ὁμοφύλοις μαινόμενον. Ταύτῃ τοι καὶ συλ-
λέγειν τηνικαῦτα ἀνεβάλλετο τὰς ἐκ τῶν Ἱερῶν Γραφῶν,
καὶ τῶν θεσπεσίων Πατέρων ἀπαντώσας πρὸς τὸ ζητέμε-
νον χρήσεις, εἴπως ἄρα αὐτῷ καὶ γένοιτο, τῇ ἐκείνων
παραθέσει τε καὶ παρεξετάσει, ἓν ὁποιονῦντι μέσον εἰς
διαλαγὴν ἐξευρέσθαι, δι' ἧς σωναγαγεῖν δυνηθείη, καὶ
ὁμοφρονεῖν ἀναπείσαι τὰ σασιάζοντα· Τῆς δ' ἐγχειρήμα-
τος ἀπόπειραν οἷον ποιέμενος, πρῶτον μὲν τὰς τῶν ἀπὸ
Ῥώμης ἐπιδεδημηκότων, καὶ ἴσοι τούτοις ἐκ τῶν Γραικῶν
συρῤῥωμανίζοντες ἦσαν, τὰς προτεινομένας λόγας διαλύων,
τὰ πρὸς Ἰωάννην τὸν Δέκαν σωέγραφε, τῇ πατροπαρα-
δότε αὐτῷ καὶ ὀρθοδόξε Δόγματος ὑπεραμυνόμενος· Καὶ
ταῦτα δὲ, τὰ Βλεμμίδε ἰῶ ὑπὲρ τῶν Ἀνατολικῶν Συγ-
γράμματα, ἅπερ, ὡς εἴρηται, καὶ Ἀλλάτιος αὐτὸς ἀνα-
φέρει, καίτοι κακίζων αὐτὰ, καὶ ὕποπλα δεῖξαι ἀπο-
πειρώμενος· Καὶ ὧν ἔτι παρ' αὐτάγε ταῦτα ἄλλων,
μνείαν ὁ Ἀθηνῶν ἐποιῆτο Μελέτιος. Ἔπειτα δὲ τῆς
σάσεως εἰς ὑπερβολὰς προϊέσης, ὡς ἀνένδοτα ἑκατέρω-
θεν τὰ τῶν ἀντιφρονέντων ἔῤῥωτο, σωιδὼν οἱ κακῶ χω-
ρήσει τὰ πράγματα· Ἴσως δὲ καὶ περὶ τῇ Ἐκκλησίᾳ ἐπί-
σης, καὶ περὶ τῷ γένει ὁλοκλήρῳ, δεδιὼς καὶ ἀγωνίῳ,
καὶ περὶ αὐτῷ δὲ τῷ Κράτει, κομιδῇ πάντοθεν φορμορ-
ραφεμένῳ· Ἐπεχείρει δὴ καὶ τὰ τῶν ἐναντίων ἡρέμα πως
ὑποκατασκάζειν, ἵνα τῶν ἰδίων ἔτως ὑποχαλάσῃ τὸ
σφόδρα ἀτεγκλίντε καὶ βίαιον, καὶ εἰς ἔριν τιὼ μηδέποτε
μὲν παυσομένῳ, τάχα δὲ καὶ πρὸς ὄλεθρον παντελῆ
τῶν ἐμογενῶν προελθσομένῳ, ἀντιπεριῑσάμενον. Οὕτω
δέτοι τῷ ζητήματι ἐπεχείρει, ὡς μηδαμῇ μὲν μηδαμῶς
τὴν καλὴ ἐκ τε Υἱε προαθήκην παρεισάγεσθαι ἐνδιδόναι,
ἐπεισφέρεσθαι δὲ τὸ διὰ τε Υἱε μόνον ἐπιτρέπειν, ὡς
ἔτοιγε πάντως ἀδόκιμον. Περὶ ἧ ὁ πᾶς χεδὸν αὐτῷ,

πρόστε τὸν Ἀρχιεπίσκοπον, καὶ Θεόδωρον τὸν Βασιλέως ὕστερον, κατιωάλωταν λόγος· Ἔκρινε γὰρ ὅτι θεολογημένε τῷ Ἁγίῳ Πνεύματος, παρὰ Πατρὸς διὰ τοῦ Υἱοῦ· Καὶ τῷ μὲν Πατρὶ ταύτη γε τῆς αἰτίας λόγε ἐπὶ τῆς Θεότητος διασωζομένε, καὶ μηδὲ τῆς τοῦ Υἱοῦ δὲ μεσιτείας ἀπὸ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως πάντη ἀποκλειομένης, ἔξει μὲν ἀμφότερα τὰ μέρη τιὼ τοῦ Δόγματος ὁμολογίαν ἀραρότως κρατῆσαν, κατὰ τὸ σφίσι βελόμενον· Εἰς ὃ δ' ἂν ἕτω ῥαδίως σωέλθοι, τῆστε ἔριδος ἐπέκεινα, καὶ τῶν περιτῶν λογομαχιῶν ἀφεξόμενα. Ἐν ᾧ, εὖ ἂν πάνυ πόρρω τοῦ σκοποῦ βάλων ὁ Βλεμμίδης οἶμαι νομίζοιτο, εἰ μόνον ἐκεῖνο προθείη, ὅτι τὸ διὰ τοῦ Υἱοῦ, κατὰ τὴν εὐσεβεστέραν διάνοιαν δέον ἐκδέχεθαι· καθάπερ ἦν καὶ ὁ Θεῖος Νύσσης, καὶ ὁ Ἱερὸς Μάξιμος, καὶ ὁ ἐκ Δαμασκοῦ Ἰωάννης, αὐτὸ ἐξεδέχοντο· Ὅπως μὲν ἦν τέως καὶ ἔχοι τὸ περὶ τούτων, ἀλλ' ἐκεῖνα δὴ αὐτοὶ καὶ σφόδρα διατεινόμεθα περὶ τοῦ Βλεμμίδε, τὰ ἐφεξῆς.

Α'. Ὅτι πλάσμα ψευδῶς ἐστὶν ἐπινοηθὲν, ὃ κοινῇ περὶ τοῦ Ἀνδρὸς οἱ τοῦ Πάπα θεράποντες περιθρυλλοῦσιν· Ὡς δῆθεν ἐπὶ τοῦ Βασιλέως Ἰωάννε τοῦ Δέκα, προσάτης ἀναδειχθείη ὁ Βλεμμίδης τοῦ Δόγματος τοῦ Λατινικοῦ διαπρύσιος.

1. Οὐ γὰρ ἐπὶ τῆς κατὰ τὸ Νυμφαῖον συγκροτηθείσης κατ' ἐκεῖνο (Ἔτ. 1233.) Συνόδε, μικρὸς ὅλως ἢ μέγας περὶ Βλεμμίδε γίνεται λόγος, παρ' ὅσοις δήποτε περὶ τῶν ἐκεῖ πεπραγμένων τε καὶ λελεγμένων μνεία ἐγένετο.

2. Ὅτι, καὶ εἰ λατινοφρονῶν δημοσίᾳ τότε Βλεμμίδης γένοιτο, καθ' ἑαυτοῦ ἂν τιὼ Ἀνατολικιὼ Ἐκκλησίαν, καὶ τὸ γένος ὅλον παρώξιωε· Καὶ κατέση ἂν πρὸς ἅπαντας τοὺς ὀρθοδοξοῦντας, ὡς ὁ Βέκκος ὕστερον, καὶ αὐτὸς ἐπίῤῥητός τε καὶ ἐπιβόητος, ἵνα μὴ συγητὸς εἴπω καὶ ἀποτρόπαιος. Καὶ πολλοῦ γ' ἂν δεήσειε, τοῦ προφανῶς αὐτὸν ἐπὶ Ἰωάννε τοῦ Βασιλέως λελατινικότα, ὑπὸ τοῦ μετὰ

μετὰ τέτον ὕσερον βασιλεύσαντος Θεοδώρε ἐπὶ τῳ Πατριαρχικῳ προβάλλεθαι περιωπῳ, τῇ τῇ Λατινικῇ καινοτομίᾳ ἐκθύμως ἀντιφερομένε, καὶ ἀπριξ ἀντεχομένε τῆς πατροπαραδότε εὐσεβείας καὶ πίσεως.

3. Καὶ ἐδὲ λίαν ὅλως Ἀνδρὸς Φρένας ἔχοντος τὸ παράπαν, κατὰ τὸ αὐτὸ πανδήμως ὑπὲρ Λατίνων ἀγωνίζεθαι, καὶ ἅμα τὰ ὑπὲρ Γραικῶν ἐκεῖνα Βιβλία συγγράφειν τε καὶ ἐκδιδόναι· Περὶ ὧν ἐδενὶ παρέση (ὅτι μὴ Ἀλλατίῳ) τῆς γνησιότητος ἀμφισβητεῖν· Καὶ μάλιςα τὸ, ἔ ἡ ἀρχή: Εἰ μὲν περὶ καινοτίνος ζητήματος πρόκειτο σωεξετάσαι, κτ. αὐτῷ τῷ Βασιλεῖ Ἰωάννῃ τῷ Δέκᾳ προσφωνεῖν· Τέτο γὰρ ἂν λίαν, οἷον καὶ τὸν Βασιλέα αὐτὸν ἀναιδεύεθαι παίζειν, καὶ τῳ Ἐκκλησίαν αὐτῳ· Καὶ πάντα ἐπιδήλως ὑπερφρονεῖν Θεία τε δὴ, καὶ ἀνθρώπινα· Ὅπερ ἐκ ἂν ὅτι Γραικὸς εἴποιμι μόνον, ἀλλὰ καὶ Λατίνος αὐτὸς, καὶ τὸς Λατινοφρονέντας δὲ πάντας εἰς ἀποσροφῳ, καὶ τῳ κατ' αὐτῆ δικαίαν ὀργῳ ἐκότως ἐκίνησεν.

